A. 8



# ΠΛΟΥΤΑΡΧΟΣ

# PLVTARCHI CHAERONENSIS

## QVAE SVPERSVNT OMNIA.

CVM ADNOTATIONIBVS VARIORVM
ADJECTAQVE LECTIONIS DIVERSITATE.

OPERA

JOANNIS GEORGII HVTTEN
PHILOS. MAG. ET SCHOL. ANATOL. TVBING. RECTORIS.




*VOLVMEN QVINTVM*

TVBINGAE
IMPENSIS JOANNIS GEORGII COTTAE
CIↃIↃCCXCIII

3996

92.399

BIBLIOTEKA W TORUNIU UNIWERSYTECKA

# CVLTORI LECTORIQVE
# PLVTARCHI
S. P. D.
JOANNES GEORGIVS HVTTEN.

---

QVintum hoc Plutarchi Operum Volumen, Lector Benevole, cum, jam nunc, haud interrupto, neque, ut ſperare licet, deinceps interrumpendo inſtituti noſtri ſucceſſu, Tuis tradere manibus, Tuoque judicio ſubjicere mihi contingat, paucula quaedam putavi praemonenda, ne quid forte Tibi in eo occurrat, quod temere a nobis factum judices, aut quod a conſilio, in quo, cum abs Te benigniſſime fuit comprobatum, hactenus obſervando omnem noſtram curam & diligentiam poſuimus, nimis abhorrere videatur.

* Facile

Facile nimirum obſervabis, me in annotationibus, quibus *Vitae Demoſthenis & Ciceronis* erant illuſtrandae, quodam modo a conſuetudine, qua in reliquis Vitis uſus ſum, deceſſiſſe, cum plura, qualia alibi prorſus omiſi, notaverim, omninoque in excerpendis colligendisque Variorum notis largior fuerim & copioſior. At ſi quid hac in re peccaſſe videar, ſatis tamen abs Te ipſo me excuſatum iri confido, ſi intellexeris, quid ſpectaverim, vel quanam re adductus, id conſilii eſſe capiendum cenſuerim. Cum enim eaedem Vitae a *Philippo Barton* Oxonii Anno MDCCXLIV. ſeparatim editae fuerunt, praeter latinam verſionem, ab ipſo confectam, notis Ejusdem & obſervationibus illuſtratae, meum eſſe ſtatui, ex illis pari cura atque attentione, qua reliquos commentatores hactenus conſului, notare, excerpere, &, quidquid convenire videatur, uſui noſtrae editionis accommodare. Tantum abfuit, ut prolixitatem copiamque notarum, inde oriundam, in vitio ponerem, ut me ipſum negligentiae non defendendae accuſarem, ſi *Bartonianae* in illuſtrando Plutarcho curae rationem non habuiſſem. Ipſe *Reiske* non dubitavit, omnes & ſingulas *Bartoni* notas ſuae editioni integras ſeparatim inſerere, idque ratione, me judice, minus commoda, qua ſcilicet haud raro unum idemque, a pluribus obſervatum, bis terve diverſis locis notatum occurrit. Quid ergo me impedire aut deterrere potuit, quo minus *Reiskii* veſtigia ſequerer, & cum fautoribus noſtrae editionis ea, quae *Bartono* debemus, quoad inſtituto noſtro fuit conforme, communicarem. Ad hoc accedit, quod meis optatis, & jam longo ex tem-

tempore initis consiliis, singularem earundem Vitarum editionem concinnandi, Bibliopola, cujus in omni re libraria adjuvanda ornandaque industria, nemini non satis dudum perspecta & probata, meo quidem testimonio, mea laude & commendatione non eget, satisfacere haud recusaverit. Lubentissime fateor, maxime necessarium & optabile id me duxisse in usum studiosae Juventutis, cujus, meo saltim judicio, plurimum interest, mature & ex ipsis fontibus eos accuratius nosse, quorum scripta, ut legat relegatque, ad quorum ingenium ut sese potissimum conformet, quos ut imitetur, nunquam non excitatur, & optimo jure est excitanda. Quare nolui in hoc ipso Volumine brevior sive in annotando parcior esse, quam in ista singulari editione, quae, verborum rerumque indice instructa, brevi tempore divulgabitur.

Restat adhuc, quod huic Volumini *Vitam Artaxerxis* inserens, ab ordine discesserim, quem Henr. Stephanus, Editor Francofurtanus, Bryanus recepepunt, & Reiske retinuit. Priorum editionum ratio haberi non potest, cum alia alium sequatur ordinem. Attamen, qui rem accuratius perpendit, temeritatis certe me non incusabit. Post *Demosthenis & Ciceronis Vitas* ex ordine consueto ad *Demetrii & Antonii Vitas* fuisset transeundum. Quas cum prolixiores viderem, ita ut, illis receptis, limites, singulis editionis nostrae voluminibus determinatos, & pretio, quo veneunt, aequissima ratione respondentes, nimis transgrederer; satius duxi, meo arbitratu unam alteramve vitam, neglecto Reiskeiano ordine, huic Volumini ad-

 jun-

jungere, ut justa ejus proportio obſervaretur, neque nimium ſequenti Volumini, quo *Vitae parallelae* abſolutae apparebunt, detraheretur. Cum nulla, ſive rerum ſive temporis rationem ſpectaveris, in Vitis adeſt neceſſaria connexio, qua ſe ſequantur; meri ſane arbitrii res eſt, quo ordine ſiſtantur.

Amicorum noſtri Plutarchi, qui novi acceſſerunt, nomina in Catalogo, ſequenti Volumini praefigendo, recenſebuntur.

Vale, Lector Benevole! Fave Plutarcho noſtro. Fave mihi. Dabam Tubingae Cal. Novembr. MDCCXCIII.

PLV-

# PLVTARCHI
# VITARVM PARALLELARVM
## *PARS QVINTA.*

CONTINENS

PHOCIONEM, CATONEM MINOREM, AGIN, CLEOMENEM, GRACCHOS, DEMOSTHENEM, CICERONEM, ARTAXERXEM.

# ΠΛΟΥΤΑΡΧΟΥ ΠΑΡΑΛΛΗΛΑ.

## Η ΒΙΟΙ ΠΑΡΑΛΛΗΛΟΙ.

## ΦΩΚΙΩΝ.

Δημάδης ὁ ῥήτωρ, ἰσχύων μὲν ἐν ταῖς Ἀθήναις διὰ τὸ πρὸς χάριν πολιτεύεσθαι Μακεδόνων καὶ Ἀντιπάτρου, πολλὰ δὲ γράφειν καὶ λέγειν ἀναγκαζόμενος παρὰ τὸ ἀξίωμα τῆς πόλεως καὶ τὸ ἦθος, ἔλεγε συγγνώμης ἄξιος εἶναι, πολιτευόμενος τὰ ναυάγια τῆς πόλεως. τοῦτο δ' εἰ καὶ τῷ ῥήματι [1] θρασύτερον εἴρηται, δόξειεν ἂν ἀληθὲς εἶναι, μετενεχθὲν ἐπὶ τὴν Φωκίωνος πολιτείαν. Δημάδης μὲν γὰρ αὐτὸς ἦν ναυάγιον τῆς πόλεως, οὕτως ἀσελγῶς βιώσας καὶ πολιτευσάμενος, ὥστ' Ἀντίπατρον εἰπεῖν ἐπ' αὐτοῦ γέροντος ἤδη γεγονότος, ὅτι, καθάπερ ἱερείου διαπεπραγμένου, γλῶσσα καὶ κοιλία μόνον ἀπολέλειπται· τὴν δὲ Φωκίωνος ἀρετὴν, ὥσπερ ἀνταγωνιστῇ, βαρεῖ καὶ βιαίῳ καιρῷ συλλαχοῦσαν, αἱ τύχαι τῆς Ἑλλάδος ἀμαυρὰν καὶ ἀλαμπῆ πρὸς δόξαν ἐποίησαν. οὐ γὰρ Σοφοκλεῖ γε προσεκτέον ἀσθενῆ [2] ποιοῦντι τὴν ἀρετὴν, ἐν οἷς φησίν·

Ἀλλ'

[1] Teste H. Steph. in quibusd. legitur τῷ ῥήτορι, quod Mosi Duf. haud displicet.

[2] R. subaud. monet διὰ τὰς τύχας γεγενημένην, *debilitatam & imminutam a rerum adversitatibus.* Sophoclis versus extant in *Antigona*, v. 573. & 574.

Ἀλλ' ὁ γὰρ, ὦ ναξ, ὀδ' ὃς ἂν βλαςῇ, μένει
Νȣς τοῖς κακῶς πράξασιν, ἀλλ' ἐξίςαται.

τοσȣ̃τον δὲ τῇ τύχῃ δοτέον, ἀντιτατ]ομένῃ πρὸς τȣ̀ς ἀγαθȣ̀ς ἄνδρας, ἰχύειν, ὅσον ἀντὶ τῆς ἀξίας τιμῆς καὶ χάριτος ἐνίοις ψόγȣς πονηρȣ̀ς καὶ διαβολὰς ἐπιφέρȣσαν, τὴν πίςιν ἀθενεςέραν ποιεῖν τῆς ἀρετῆς.

II. Καίτοι δοκȣ̃σιν οἱ δῆμοι μᾶλλον εἰς τȣ̀ς ἀγαθȣ̀ς ἐξυβρίζειν, ὅταν εὐτυχῶσιν [1], ὑπὸ πραγμάτων μεγάλων καὶ δυνάμεως ἐπαιρόμενοι· συμβαίνει [2] δὲ τȣ̓ναντίον. ἀεὶ γὰρ αἱ συμφοραὶ πικρὰ μὲν τὰ ἤθη καὶ μικρόλυπα [3] καὶ ἀκροσφαλῆ πρὸς ὀργὰς ποιȣ̃σι, δύσκολον δὲ τὴν ἀκοὴν καὶ τραχεῖαν, ὑπὸ παντὸς λόγȣ καὶ ῥήματος τόνον ἔχοντος ἐνοχλȣμένην. ὁ δ' ἐπιτιμῶν τοῖς ἐξαμαρτανομένοις ἐξονειδίζειν τὰ δυςυχήματα δοκεῖ, καὶ καταφρονεῖν ὁ παῤῥησιαζόμενος. καὶ καθάπερ τὸ μέλι λυπεῖ τὰ τετρωμένα καὶ ἡλκωμένα μέρη τȣ̃ σώματος, ȣ̔́τως πολλάκις οἱ ἀληθινοὶ καὶ νȣ̃ν ἔχοντες λόγοι δάκνȣσι καὶ παροξύνȣσι τȣ̀ς κακῶς πράτ]οντας, ἐὰν μὴ προσηνεῖς ὦσι καὶ συνείκοντες [4]. ὥσπερ ἀμέλει τὸ ἡδὺ μενοεικὲς [5] ὁ ποιητὴς κέκληκεν, ὡς τῷ ἡδομένῳ [6] τῆς ψυχῆς ὑπεῖκον, καὶ μὴ μαχόμενον, μηδ' ἀν]ιτυπȣ̃ν. καὶ γὰρ ὄμμα φλεγμαῖνον ἥδιςα τοῖς σκιεροῖς καὶ ἀλαμπέσιν ἐνδιατρίβει χρώμασι, τὰ δ' αὐγὴν ἔχοντα καὶ φῶς ἀποςρέφε-

1 Sic R. dedit auctoritate Juntinae, pro vulg. ὅταν δοκῶσιν εὐτυχεῖν. Eandem lectionem in quibusdam esse, testatur H. Steph. In Junt. quidem non est εὐτυχῶσιν, sed ἐντυχῶσιν, quod & V. habet.

2 Sic V. quod Mos. Dus. maluit, & R. dedit. Vulgo συμβαίνειν.

3 V. μικρολόγα.

4 Junt. συνέλκοντες. V. ex ead. idem.

5 Vocabulum apud Homer. saepius obvium, a μένος, *animus*, *audacia*, & *fervor animi*, & εἴκω, *cedo*, deductum.

6 Cruf. & Dacer. leg. censent οἰδȣμένῳ. Id sequuntur Kind & Schirach. Vulgatam tuentur Br. & Mos. Dus. cum & ἥδιςα mox sequatur.

στρέφεται. καὶ πόλις ἐν τύχαις ἀβουλήτοις γενομένη ψοφοδεὲς καὶ τρυφερόν ἐστι δι' ἀσθένειαν ἀνέχεσθαι παρρησίας, ὅτε μάλιστα δεῖται, τῶν πραγμάτων ἀναφορὰν ἁμαρτήματος οὐκ ἐχόντων. διὸ πάντη σφαλερὸν ἡ τοιαύτη πολιτεία. συναπόλλυσι γὰρ τὸν πρὸς χάριν λέγοντα, καὶ προσαπόλλυσι [1] τὸν μὴ χαριζόμενον. ὥσπερ οὖν τὸν ἥλιον οἱ μαθηματικοὶ λέγουσι, μήτε τὴν αὐτὴν τῷ οὐρανῷ φερόμενον φορὰν, μήτ' ἄντικρυς ἐναντίαν καὶ ἀντιβατικὴν, ἀλλὰ λοξῷ καὶ παρεγκεκλιμένῳ πορείας σχήματι χρώμενον, ὑγρὰν καὶ εὐκαμπῆ καὶ περιελιττομένην ἕλικα ποιεῖν, ᾗ σώζεται πάντα καὶ λαμβάνει τὴν ἀρίστην κρᾶσιν· οὕτως ἄρα τῆς πολιτείας ὁ μὲν ὄρθιος ἄγαν καὶ πρὸς ἅπαντα τοῖς δημοσίοις [2] ἀντιβαίνων τόνος, ἀπηνὴς καὶ σκληρός. ὥσπερ αὖ πάλιν ἐπισφαλὲς καὶ κάταντες τὸ συνεφελκόμενον τοῖς ἁμαρτάνουσιν, ᾧ πολλοὶ καὶ συνεπιρρέπουσιν. ἡ δ' ἀνθυπείκουσα πειθομένοις καὶ διδοῦσα τὸ πρὸς χάριν, εἶτ' ἀπαιτοῦσα [3] τὸ συμφέρον ἐπιστασία καὶ κυβέρνησις ἀνθρώπων πολλὰ πράως καὶ χρησίμως ὑπουργούντων, εἰ μὴ πάντα δεσποτικῶς καὶ βιαίως ἄγοιντο, σωτήριος, ἐργώδης δὲ καὶ χαλεπὴ, καὶ τὸ σεμνὸν ἔχουσα τῷ ἐπιεικεῖ δύσμικτον· ἐὰν δὲ μιχθῇ, τοῦτό ἐστιν ἡ πάντων μὲν ῥυθμῶν, πασῶν δ' ἁρμονιῶν ἐμμελεστάτη καὶ μουσικωτάτη κρᾶσις, ᾗ καὶ τὸν κόσμον ὁ θεὸς λέγεται διοικεῖν, οὐ βιαζόμενος, ἀλλὰ πειθοῖ καὶ λόγῳ παράγων τὴν ἀνάγκην.

III. Ταῦτα δὲ καὶ Κάτωνι τῷ νέῳ συνέβη. καὶ γὰρ οὗτος οὐ πιθανὸν ἔχεν, οὐδὲ προσφιλὲς ὄχλῳ, τὸ ἦθος, οὐδ' ἤνθησεν ἐν τῇ πολιτείᾳ πρὸς χάριν· ἀλλ' ὁ



1 Cruſer. vertit: ingrata loquentem *perdit ante*, quaſi legerit προαπολλ. Id ſequuntur Kind & Schirach, & probat Br.

2 R. legi vult aut δημόταις, aut δημοτικοῖς.

3 R. ſuſp. εἶτ' ἀνταπαιτοῦσα.

μὲν Κικέρων [1] Φησὶν, αὐτὸν, ὥσπερ ἐν τῇ Πλάτωνος πολιτείᾳ, καὶ ἐκ ἐν τῇ Ῥωμύλȣ πολιτευόμενον ὑποσαθμῇ, τῆς ὑπατείας ἐκπεσεῖν. ἐμοὶ δὲ ταὐτὸ δοκεῖ παθεῖν τοῖς μὴ καθ' ὥραν ἐκΦανεῖσι καρποῖς. ὡς γὰρ ἐκείνȣς ἡδέως ὁρῶντες καὶ θαυμάζοντες, ȣ χρῶνται· ȣ̔́τως ἡ Κάτωνος ἀρχαιοτροπία διὰ χρόνων πολλῶν ἐπιγενομένη βίοις διεΦθορόσι καὶ πονηροῖς ἔθεσι, δόξαν μὲν εἶχε μεγάλην καὶ κλέος, ȣ̓κ ἐνήρμοσε δὲ ταῖς χρείαις, διὰ βάρος [2] καὶ μέγεθος τῆς ἀρετῆς ἀσύμμετρον τοῖς καθεςῶσι καιροῖς. καὶ γὰρ αὐτὸς ȣ κεκλιμένης μὲν ἤδη τῆς πατρίδος, ὥσπερ ὁ Φωκίων, πολὺν δὲ χειμῶνα καὶ σάλον ἐχȣ́σης, ὅσον ἱςίων καὶ κάλων ἐπιλαβέσθαι, καὶ παραςῆναι τοῖς πλέον δυναμένοις πολιτευσάμενος, οἰάκων δὲ καὶ κυβερνήσεως ἀπωσθεὶς, ὅμως μέγαν ἀγῶνα τῇ τύχῃ περιέςησεν. εἷλε μὲν γὰρ καὶ κατέβαλε [3] τὴν πολιτείαν δι' ἄλλȣς, μόλις δὲ, καὶ βραδέως, καὶ χρόνῳ πολλῷ, καὶ παρὰ μικρὸν ἐλθȣ̂σαν περιγενέσθαι διὰ Κάτωνα καὶ τὴν Κάτωνος ἀρετήν· ᾗ παραβάλλομεν τὴν Φωκίωνος, ȣ κατὰ κοινὰς ὁμοιότητας, ὡς [4] ἀγαθῶν καὶ πολιτικῶν ἀνδρῶν. ἔςι γὰρ ἀμέλει καὶ ἀνδρείας διαΦορὰ πρὸς ἀνδρείαν, ὡς τῆς Ἀλκιβιάδȣ πρὸς τὴν Ἐπαμεινώνδȣ· καὶ Φρονήσεως πρὸς Φρόνησιν, ὡς τῆς Θεμιςοκλέȣς πρὸς τὴν Ἀριςείδȣ· καὶ δικαιοσύνης πρὸς δικαιοσύνην, ὡς τῆς Νομᾶ πρὸς τὴν Ἀγησιλάȣ. τȣ́των δὲ τῶν ἀνδρῶν αἱ ἀρεταὶ, μέχρι τῶν τελευταίων καὶ ἀτόμων

1 Ep. ad Attic. II. 2. Quod autem de repulsa Catonis consulatum petentis hic additur, Plutarchi, non Ciceronis, est. Post annos enim demum VIII. a scripta hac epistola id accidit, ut a Xyl. & Dacer. est observatum. *Bry.*

2 Mos. Dus. hoc quoque loco βάθος suspicatur. Cf. Pompej. T.IV. pag. 210. lin. 2.

3 Sic e Junt. se restituisse monet R. pro vulg. κατέλαβε. Haec vox non nisi in Br. vitiose datur.

4 R. aut delendum censet ὡς, aut post ἀνδρῶν addendum γεγενημένων.

μων διαφορῶν, ἕνα χαρακτῆρα καὶ μορφὴν καὶ χρῶμα κοινὸν ἤθους ἐγκεκραμένον ἐκφέρουσιν, ὥσπερ ἴσῳ μέτρῳ μεμιγμένου πρὸς τὸ αὐστηρὸν τοῦ φιλανθρώπου, καὶ πρὸς τὸ ἀσφαλὲς τοῦ ἀνδρείου, καὶ τῆς ὑπὲρ ἄλλων μὲν κηδεμονίας, ὑπὲρ αὐτῶν δ' ἀφοβίας, καὶ πρὸς μὲν τὸ αἰσχρὸν εὐλαβείας, πρὸς δὲ τὸ δίκαιον εὐτονίας συνηρμοσμένης ὁμοίως· ὥστε λεπτοῦ πάνυ λόγου δεῖσθαι, καθάπερ ὀργάνου, πρὸς διάκρισιν καὶ ἀνεύρεσιν τῶν διαφερόντων.

IV. Τὸ μὲν οὖν Κάτωνος ὡμολόγηται γένος ἐκ λαμπρῶν ὑπάρχειν, ὡς λεχθήσεται· Φωκίωνα δὲ τεκμαίρομαι μὴ παντάπασιν εἶναι γένους ἀτίμου καὶ καταπεπτωκότος [1]. εἰ γὰρ ἦν, ὥς φησιν Ἰδομενεύς, δοιδυκοποιοῦ πατρὸς, οὐκ ἂν ἐν τῷ λόγῳ Γλαύκιππος ὁ Ὑπερίδου, μυρία συνειλοχὼς καὶ εἰρηκὼς κατ' αὐτοῦ κακὰ, τὴν δυσγένειαν παρῆκεν· οὐδ' ἂν οὕτως ἐλευθερίου βίου καὶ σώφρονος καὶ [2] παιδείας μετέσχεν, ὥστε τῆς Πλάτωνος, ἔτι μειράκιον ὢν, ὕστερον δὲ τῆς Ξενοκράτους διατριβῆς ἐν Ἀκαδημίᾳ μεταχεῖν, καὶ τῶν ἀρίστων ἐξ ἀρχῆς ἐπιτηδευμάτων ζηλωτὴς γενέσθαι. Φωκίωνα γὰρ οὔτε γελάσαντά τις, οὔτε κλαύσαντα ῥᾳδίως Ἀθηναίων εἶδεν, οὐδ' ἐν βαλανείῳ δημοσιεύοντι λουσάμενον, ὡς ἱστόρηκε Δοῦρις, οὐδ' ἐκτὸς ἔχοντα τὴν χεῖρα τῆς περιβολῆς, ὅτε τύχοι περιβεβλημένος. ἐπεὶ κατά γε τὴν χώραν καὶ τὰς στρατείας ἀνυπόδητος ἀεὶ καὶ γυμνὸς ἐβάδιζεν, εἰ μὴ ψῦχος ὑπερβάλλον εἴη καὶ δυσκαρτέρητον, ὥστε καὶ παίζοντας ἤδη τοὺς στρατευομένους σύμβολον μεγάλου ποιεῖσθαι χειμῶνος ἐνδεδυμένον Φωκίωνα.

V. Τῷ δ' ἤθει προσηνέστατος ὢν καὶ φιλανθρωπότατος, ἀπὸ τοῦ προσώπου δυσξύμβολος ἐφαίνετο καὶ σκυ-



1 Mos. Dus. mavult καταπεπληχότος.

2 Mos. Dus. leg. censet γε pro καί. Abundare mihi videtur, sicuti in lin. praeced. Juntinae post εἰρηκὼς male inseritur καί.

σκυθρωπός· ὥςε μὴ ῥᾳδίως ἄν τινα μόνον ἐντυχεῖν αὐτῷ τῶν ἀσυνήθων. διὸ καὶ Χάρητι ποτὲ πρὸς τὰς ὀφρῦς αὐτοῦ λέγοντι [1], τῶν Ἀθηναίων ἐπιγελώντων· Οὐδὲν, εἶπεν, αὕτη ὑμᾶς λελύπηκεν ἡ ὀφρύς· ὁ δὲ τούτων γέλως πολλὰ κλαῦσαι τὴν πόλιν πεποίηκεν. ὁμοίως δέ πως τοῦ Φωκίωνος καὶ ὁ λόγος ἦν ἐπὶ χρηςοῖς εὐτυχήμασι [2] καὶ διανοήμασι σωτήριος, προστακτικήν τινα καὶ αὐςηρὰν καὶ ἀνήδυςον ἔχων βραχυλογίαν. ὡς γὰρ ὁ Ζήνων ἔλεγεν, ὅτι δεῖ τὸν φιλόσοφον εἰς νοῦν ἀποβάπτοντα προφέρεσθαι [3] τὴν λέξιν, οὕτως ὁ Φωκίωνος λόγος πλεῖςον ἐν ἐλαχίςῃ λέξει νοῦν εἶχε. καὶ πρὸς τοῦτ' ἔοικεν ἀπιδὼν ὁ Σφήττιος Πολύευκτος εἰπεῖν, ὅτι ῥήτωρ μὲν ἄριςος εἴη Δημοσθένης, εἰπεῖν δὲ δεινότατος ὁ Φωκίων. ὡς γὰρ ἡ τοῦ νομίσματος [4] ἀξία πλείςην ἐν ὄγκῳ βραχυτάτῳ δύναμιν ἔχει [5], οὕτω λόγου δεινότης ἐδόκει πολλὰ σημαίνειν ἀπ' ὀλίγων. καὶ μέντοι καὶ αὐτόν ποτε τὸν Φωκίωνά φασι, πληρουμένου τοῦ θεάτρου, περιπατεῖν ὑπὸ [6] σκηνὴν, αὐτὸν ὄντα πρὸς ἑαυτῷ τὴν διάνοιαν· εἰπόντος δέ τινος τῶν φίλων· Σκεπτομένῳ, Φωκίων, ἔοικας· Ναὶ μὰ τὸν Δία, φάναι, σκέπτομαι, εἴ τι δύναμαι τοῦ λόγου ἀφελεῖν, ὃν μέλλω λέγειν πρὸς Ἀθηναίους. ὁ δὲ Δημοσθένης τῶν μὲν ἄλλων κατεφρόνει πολὺ ῥητόρων, ἀνιςαμένου δὲ Φωκίωνος, εἰώθει λέγειν ἀτρέμα πρὸς τοὺς φίλους· Ἡ τῶν ἐμῶν λόγων κοπὶς πάρεσιν. ἀλλὰ τοῦτο μὲν ἴσως πρὸς τὸ ἦθος ἀνοιςέον· ἐπεὶ καὶ ῥῆμα καὶ νεῦμα

1 R. susp. λέγοντί τι.

2 Spuria haec vox. Salvin. Dacer. Br. & R. susp. ἐνθυμήμασι; Mos. Dus. ἐπιχειρήμασι. Nonne ἐπιτήδευμα huic loco conveniret, quod & Hesych. per ἐπίνοιαν explicat? An forte glossema subest? Saltim ἐνθυμ. & διανοήμ. minus apte, me judice, conjunguntur.

3 Anon. προσφέρεσθαι.

4 R. susp. ἡ τοῦ χρυσοῦ (vel χρυσέου) νομίσμ. aureae monetae.

5 Anon. ἔχειν. Pro οὕτω λόγ. δειν. R. susp. οὕτως ἡ τούτου δεινότης.

6 V. ἐπὶ. Id. paulo post ἑαυτὸν pro ἑαυτῷ.

μα μόνον ἀνδρὸς ἀγαθοῦ μυρίοις ἐνθυμήμασι καὶ περιόδοις ἀντίῤῥοπον ἔχει πίστιν.

VI. Νέος δ' ὢν Χαβρίᾳ προσέμιξεν ἑαυτὸν τῷ στρατηγῷ, καὶ παρείπετο, πολλὰ μὲν εἰς ἐμπειρίαν τῶν πολεμικῶν ὠφελούμενος· ἔστι δ' ἐν οἷς ἐπανορθούμενος τὴν ἐκείνου φύσιν, ἀνώμαλον οὖσαν καὶ ἄκρατον. νωθρὸς γὰρ ὢν ὁ Χαβρίας καὶ δυσκίνητος ἄλλως, ἐν αὐτοῖς τοῖς ἀγῶσιν ὤργα καὶ [1] διεπυροῦτο τῷ θυμῷ, καὶ συνεξέπιπτε τοῖς θρασυτάτοις παραβολώτερον· ὥσπερ ἀμέλει καὶ κατέστρεψε τὸν βίον ἐν Χίῳ πρῶτος εἰσελάσας τῇ τριήρει, καὶ βιαζόμενος πρὸς τὴν ἀπόβασιν. ἀσφαλὴς οὖν ἅμα καὶ δραστήριος ὁ Φωκίων φαινόμενος, τήν τε μέλλησιν ἀνεθέρμαινε τοῦ Χαβρίου, καὶ πάλιν ἀφῄρει τὴν ἄκαιρον ὀξύτητα τῆς ὁρμῆς. ὅθεν εὐμενὴς ὢν ὁ Χαβρίας καὶ χρηστὸς ἠγάπα καὶ προῆγεν αὐτὸν ἐπὶ πράξεις καὶ ἡγεμονίας, γνώριμον ποιῶν τοῖς Ἕλλησι, καὶ πρὸς [2] τὰ πλείστης ἄξια σπουδῆς ἐκείνῳ χρώμενος. κἀκ τῆς περὶ Νάξον ναυμαχίας ὄνομα καὶ δόξαν οὐ μικρὰν Φωκίωνι περιεποίησε. τοῦ γὰρ εὐωνύμου κέρως ἀπέδωκεν αὐτῷ τὴν ἡγεμονίαν, καθ' ὃ καὶ τὴν μάχην ὀξεῖαν εἶχεν ὁ ἀγὼν, καὶ κρίσιν ἐποίησε ταχεῖαν. πρώτην οὖν ἐκείνην ναυμαχίαν ἡ πόλις αὐτὴ δι' αὑτῆς ἀγωνισαμένη τοῖς Ἕλλησι μετὰ τὴν ἅλωσιν [3], καὶ κατατυχοῦσα, τόν τε Χαβρίαν ὑπερηγάπησε, καὶ τοῦ Φωκίωνος, ὡς ἀνδρὸς ἡγεμονικοῦ, λόγον ἔσχεν. ἐνίκων δὲ μεγάλοις μυστηρίοις· καὶ παρεῖχεν οἰνοχόημα Χαβρίας Ἀθηναίοις καθ' ἕκαστον ἐνιαυτὸν τῇ ἕκτῃ ἐπὶ δέκα τοῦ Βοηδρομιῶνος.

VII. Ἐκ τούτου λέγεται, πέμποντος αὐτὸν ἐπὶ τὰς νησιωτικὰς συντάξεις τοῦ Χαβρίου, καὶ ναῦς εἴκοσι διδόντος, εἰπεῖν, εἰ μὲν ὡς πολεμήσων πέμποιτο, μείζονος



1 Desunt Juntinae hae voces ὤργα καί.

2 Praepositionem πρὸς R. de suo addidit.

3 V. ἀνάλωσιν.

δεῖν δυνάμεως, εἰ δ' ὡς πρὸς συμμάχους, ἀρκεῖν ναῦν μίαν· καὶ πλεύσαντα τῇ αὐτοῦ τριήρει, καὶ διαλεχθέντα ταῖς πόλεσι, καὶ συγγενόμενον τοῖς ἄρχουσιν ἐπιεικῶς καὶ ἀφελῶς, καταπλεῦσαι μετὰ πολλῶν νεῶν, ἃς ἀπέστειλαν οἱ σύμμαχοι τὰ χρήματα τοῖς Ἀθηναίοις κομιζούσας. οὐ μόνον δὲ ζῶντα τὸν Χαβρίαν θεραπεύων διετέλει καὶ τιμῶν, ἀλλὰ καὶ τελευτήσαντος αὐτοῦ, τῶν προσηκόντων καλῶς [1] ἐπεμελεῖτο, καὶ τὸν παῖδα Κτήσιππον ἐβούλετο μὲν ἄνδρα ποιεῖν ἀγαθὸν, ἔμπληκτον δ' ὁρῶν καὶ ἀνάγωγον, ὅμως οὐκ ἀπεῖπεν ἐπανορθούμενος καὶ ἀποκρύπτων τὰ αἴσχη. πλὴν ἅπαξ λέγεται, παρενοχλοῦντος ἐν στρατείᾳ τινὶ τοῦ νεανίσκου, καὶ κόπτοντος αὐτὸν ἐρωτήμασιν ἀκαίροις καὶ συμβουλίαις, οἷον ἐπανορθουμένου καὶ παραστρατηγοῦντος, εἰπεῖν· Ὦ Χαβρία, Χαβρία, μεγάλην γέ σοι χάριν ἐκτίνω τῆς φιλίας, ὑπομένων σου τὸν υἱόν. Ὁρῶν δὲ τοὺς τὰ κοινὰ πράσσοντας τότε, διῃρημένους ὥσπερ ἀπὸ κλήρου τὸ στρατήγιον καὶ τὸ βῆμα, καὶ τοὺς μὲν λέγοντας ἐν τῷ δήμῳ καὶ γράφοντας μόνον· ὧν Εὔβουλος ἦν, καὶ Ἀριστοφῶν, καὶ Δημοσθένης, καὶ Λυκοῦργος, καὶ Ὑπερίδης· Διοπείθη δὲ, καὶ Μενεσθέα, καὶ Λεωσθένη [2], καὶ Χάρητα, τῷ στρατηγεῖν καὶ προσπολεμεῖν αὔξοντας ἑαυτούς· ἐβούλετο τὴν Περικλέους καὶ Ἀριστείδου καὶ Σόλωνος πολιτείαν, ὥσπερ ὁλόκληρον καὶ διηρμοσμένην ἐν ἀμφοῖν, ἀναλαβεῖν καὶ ἀποδοῦναι. καὶ γὰρ τῶν ἀνδρῶν ἐκείνων ἕκαστος ἐφαίνετο, κατὰ τὸν Ἀρχίλοχον·

Ἀμφότερον, θεράπων μὲν Ἐνυαλίοιο θεοῖο,
Καὶ Μουσέων ἐρατᾶν [3] δῶρον ἐπιστάμενος.

καὶ

1 V. καλῶν.

2 V. Κλεωθένη. Id. paulo poſt πολεμεῖν pro προσπολεμεῖν, pro qua voce R. mavult πρὸς πολέμῳ, aut πρὸς πολέμοις εἶναι — aut ſaltim προπολεμεῖν ſubaudiendo πατρίδος.

3 V. ἐρατῶν, ut paulo ante ἐνυαλίοις θεοῖς.

καὶ τὴν θεὸν ἑώρα πολεμικήν τε ἅμα καὶ πολιτικὴν [1] οὖσαν, καὶ προσαγορευομένην.

VIII. Οὕτω δὲ συντάξας ἑαυτὸν, ἐπολιτεύετο μὲν ἀεὶ πρὸς εἰρήνην καὶ ἡσυχίαν, ἐστρατήγησε δὲ πλείστας οὐ μόνον τῶν καθ' ἑαυτὸν, ἀλλὰ καὶ τῶν πρὸ αὐτοῦ, στρατηγίας, οὐ παραγγέλλων, οὐδὲ μετιὼν, ἀλλ' οὐδὲ φεύγων, οὐδ' ἀποδιδράσκων, τῆς πόλεως καλούσης. ὁμολογεῖται γὰρ, ὅτι πέντε καὶ τεσσαράκοντα στρατηγίας ἔλαβεν, οὐδ' ἅπαξ ἀρχαιρεσίοις [2] παρατυχὼν, ἀλλ' ἀπόντα μεταπεμπομένων αὐτὸν ἀεὶ καὶ χειροτονούντων· ὥστε θαυμάζειν τοὺς οὐκ εὖ φρονοῦντας τὸν δῆμον, ὅτι, πλεῖστα τοῦ Φωκίωνος ἀντικρούοντος αὐτῷ [3], καὶ μηδὲν εἰπόντος πώποτε, μηδὲ πράξαντος πρὸς χάριν, ὥσπερ ἀξιοῦσι [4] τοὺς βασιλεῖς τοῖς κόλαξι χρῆσθαι μετὰ τὸ κατὰ χειρὸς ὕδωρ, ἐχρῆτο οὗτος [5] τοῖς μὲν κομψοτέροις καὶ ἱλαροῖς ἐν παιδιᾶς μέρει δημαγωγοῖς, ἐπὶ δὲ τὰς ἀρχὰς ἀεὶ νήφων καὶ σπουδάζων τὸν αὐστηρότατον καὶ φρονιμώτατον ἐκάλει τῶν πολιτικῶν [6], καὶ μόνον, ἢ μᾶλλον, ταῖς βουλήσεσιν αὐτοῦ καὶ ὁρμαῖς ἀντιτασσόμενον. χρησμοῦ μὲν γὰρ ἐκ Δελφῶν ἀναγνωσθέντος, ὅτι, τῶν ἄλλων Ἀθηναίων ὁμοφρονούντων, εἷς ἀνὴρ ἐναντία φρονοίη τῇ πόλει, παρελθὼν ὁ Φωκίων ἀμελεῖν ἐκέλευσεν, ὡς αὐτὸς ὢν ὁ ζητούμενος· μόνῳ γὰρ αὐτῷ μηδὲν ἀρέσκειν τῶν πραττομένων. ἐπεὶ δὲ λέγων ποτὲ γνώμην πρὸς τὸν δῆμον εὐδοκίμει, καὶ πάντας ὁμαλῶς ἑώρα τὸν λόγον ἀποδεχομένους,



1 V. πολιτικὴν. καὶ γὰρ ἐκαλεῖτο αὐτὴ καὶ πολίας.
2 Anon. ἀρχαιρεσίαις.
3 In Ind. var. Frft. & Br. αὐτοῦ, absque nota codicis.
4 ſcil. homines. Lauti & ſplendidi homines, menſis ſublatis (h. e. μετὰ τὸ κατὰ χειρὸς ὕδωρ poſt dicta illa verba: *date aquam manibus*) paraſitos deridebant, vexabant. R.
5 Populus Athenienſis.
6 Junt. habere πολιτῶν, Br. monet & probat. Eſt idem in Ald. & Crat. Ex Steph. prodiit πολιτικῶν, quod R. tuetur, quaſi πολιτευομένους, rempubl. conſiliis & imperiis gerentes.

μένȣς, ἐπιϛραφεὶς πρὸς τȣ̀ς φίλȣς εἶπεν [1]· Οὐ δή πȣ τι κακὸν λέγων ἐμαυτὸν λέληθα;

IX. Πρὸς δὲ θυσίαν τινὰ τῶν Ἀθηναίων αἰτȣ́ντων ἐπιδόσεις, καὶ τῶν ἄλλων ἐπιδιδόντων, κληθεὶς πολλάκις, ἔφη· Τȣ́τȣς αἰτεῖτε τȣ̀ς πλȣσίȣς· ἐγὼ δ' αἰσχυνοίμην ἂν, εἰ τȣ́τῳ μὴ ἀποδιδȣ̀ς, ὑμῖν ἐπιδοίην· δείξας Καλλικλέα τὸν δανειϛήν. ὡς δ' ȣ̓κ ἐπαύοντο κεκραγότες καὶ καταβοῶντες, λόγον εἶπεν αὐτοῖς τȣ̃τον· Ἀνὴρ δειλὸς ἐπὶ πόλεμον ἐξῄει, φθεγξαμένων δὲ κοράκων, τὰ ὅπλα θεὶς ἡσύχαζεν· εἶτ' ἀναλαβὼν αὖθις ἐξῄει, καὶ φθεγγομένων πάλιν ὑπέϛη. καὶ τέλος εἶπεν· Ὑμεῖς κεκράξεσθε μὲν μέγιϛον ὡς δυνατὸν, ἐμȣ̃ δ' ȣ̓ γεύσεσθε. Πάλιν δέ ποτε τῶν Ἀθηναίων ἐξαγαγεῖν αὐτὸν ἐπὶ τȣ̀ς πολεμίȣς κελευόντων, ὡς δ' ȣ̓κ [2] ἐβȣ́λετο, δειλὸν καὶ ἄνανδρον ἀποκαλȣ́ντων· Οὔτε ὑμεῖς, εἶπεν, ἐμὲ δύνασθε ποιῆσαι θαρσαλέον, ȣ̓́τ' ἐγὼ ὑμᾶς δειλȣ́ς [3]. ȣ̓ μὴν ἀλλ' ἴσμεν ἀλλήλȣς. Ἐν δὲ καιροῖς ἐπισφαλέσι τραχυνομένȣ τȣ̃ δήμȣ πρὸς αὐτὸν σφόδρα, καὶ τῆς ϛρατηγίας εὐθύνας ἀπαιτȣ̃ντος· Σωθείητε [4], εἶπεν, ὦ μακάριοι, πρῶτον. ἐπεὶ δὲ πολεμȣ̃ντες μὲν ἦσαν ταπεινοὶ καὶ περιδεεῖς, γενομένης δ' εἰρήνης, ἐθρασύνοντο, καὶ κατεβόων τȣ̃ Φωκίωνος, ὡς ἀφῃρημένȣ τὴν νίκην αὐτῶν· Εὐτυχεῖτε, εἶπεν, ἔχοντες ϛρατηγὸν εἰδότα ὑμᾶς· ἐπεὶ πάλαι ἂν ἀπολώλειτε [5]. τοῖς δὲ Βοιωτοῖς ȣ̓

1 Junt. Ald. Crat. εἰπεῖν.

2 Sic quodam modo cum Anon. ex quo enotatur ὡς δ' ἐβȣ́λ. Br. dari voluit, deditque R. pro vulg. ὡς ȣ̓κ ἐβ.

3 R. ad haec ita: „per ſarcaſmum, aut ironiam, aut ad declinandam invidiam, ſic dicebat, volens inverſo verborum ordine dicere, & ſignificans quidem haud obſcure: ȣ̓́τε ὑμεῖς ἐμὲ δύνασθε δειλὸν ποιῆσαι, ȣ̓́τε ἐγὼ ὑμᾶς θαρσαλέȣς — neque convicia veſtra me, qui vir fortis ſum, imbellem & timidum reddent, neque ego mearum cohortationum crebritate animum, quo caretis, fortem vobis injiciam."

4 V. σωθεῖτε. R. quaerit, an voluerit σώθητε in imper.

5 Subaud. εἰ μὴ τȣ̃τον (vel τοιȣ̃τον) εἴχετε. R.

ȣ βȣλομένων αὐτῶν δικάζεσθαι περὶ τῆς χώρας, ἀλλὰ πολεμεῖν, συνεβȣ́λευε διὰ τῶν λόγων, ἐν οἷς εἰσι κρείττȣς, μὴ διὰ τῶν ὅπλων, ἐν οἷς ἥσσȣς [1], μάχεσθαι. λέγοντα δ' αὐτὸν, ȣ̓ προσιεμένων, ȣ̓δὲ ὑπομενόντων ἀκȣ́ειν· Ἐμὲ, εἶπεν, ὑμεῖς, ἃ μὴ βȣ́λομαι ποιεῖν, βιάσασθαι δύνασθε, λέγειν δ', ἃ μὴ δεῖ, παρὰ γνώμην ȣ̓κ ἀναγκάσετε. τῶν δ' ἀντιπολιτευομένων αὐτῷ ῥητόρων, Δημοσθένȣς μὲν εἰπόντος· ἀποκτενȣ̃σί σε Ἀθηναῖοι, Φωκίων· Ἂν [2] μανῶσιν, εἶπε, σὲ δ', ἐὰν σωφρονῶσι. Πολύευκτον δὲ τὸν Σφήττιον ὁρῶν ἐν καύματι συμβȣλεύοντα τοῖς Ἀθηναίοις πολεμεῖν πρὸς Φίλιππον, εἶτα ὑπ' [3] ἄσθματος πολλȣ̃ καὶ ἱδρῶτος, ἅτε δὴ καὶ ὑπέρπαχυν ὄντα, πολλάκις ἐπιῤῥοφȣ̃ντα τȣ̃ ὕδατος· Ἄξιον, ἔφη, τȣ́τῳ πιςεύσαντας ὑμᾶς ψηφίσασθαι τὸν πόλεμον· ὃν τί οἴεσθε ποιήσειν ἐν τῷ θώρακι καὶ τῇ ἀσπίδι, τῶν πολεμίων ἐγγὺς ὄντων, ὅτε λέγων πρὸς ὑμᾶς, ἃ ἔσκεπται, κινδυνεύει πνιγῆναι; τȣ̃ δὲ Λυκȣ́ργȣ πολλὰ βλάσφημα πρὸς αὐτὸν εἰπόντος ἐν ἐκκλησίᾳ, καὶ πρὸς ἅπασιν, ὅτι, δέκα τῶν πολιτῶν [4] ἐξαιτȣ̃ντος Ἀλεξάνδρȣ, συνεβȣ́λευεν ἐκδȣ̃ναι, εἶπε· Πολλὰ ἐγὼ συμβεβȣ́λευκα καλὰ καὶ συμφέροντα τȣ́τοις, ἀλλ' ȣ̓ πείθονταί μοι.

X. Ἦν δέ τις Ἀρχιβιάδης, ἐπικαλȣ́μενος Λακωνιςὴς, πώγωνά τε καθειμένος ὑπερφυῆ μεγέθει, καὶ τρίβωνα φορῶν ἀεὶ καὶ σκυθρωπάζων· τȣ̃τον ἐν βȣλῇ θορυβȣ́μενος ὁ Φωκίων ἐπεκαλεῖτο τῷ λόγῳ μάρτυν [5] ἅμα καὶ βοηθόν. ὡς δ' ἀναςὰς ἐκεῖνος, ἃ πρὸς χάριν ἦν τοῖς

1 V. ἥττȣς, quod probat Mos. Dus.

2 Mos. Dus. susp. Φωκίων, ἐὰν μανῶσι. Ἐμὲ μὲν, ἂν μαν. Cf. Plut. Apophth.

3 Sic e Junt. se restituisse R. monet pro vulg. ἐπ' ἄσθ. Ita sola est in Frft. quam Br. secutus est. Reliquae edd. ὑπ' exhibent.

4 Br. h. l. susp. πολιτικῶν esse legendum, cum fuerint δημαγωγοὶ, quos nominatim sibi dedi, postulavit Alexander.

5 V. μάρτυρα.

τοῖς Ἀθηναίοις συνεβέλευεν, ἀψάμενος αὐτᾶ τῶν γενείων· Ὦ Ἀρχιβιάδη, εἶπε, τί ἔν ἐκ ἀπεκείρω; Ἀριστογείτονος δὲ τᾶ συκοφάντε, πολεμικᾶ μὲν ὄντος ἐν ταῖς ἐκκλησίαις, καὶ παροξύναντος ἐπὶ τὰς πράξεις τὸν δῆμον, ἐν δὲ τῷ καταλόγῳ προσελθόντος ἐπὶ βακτηρίᾳ τὼ σκέλη καταδεδεμένω [1], πόῤῥωθεν αὐτὸν ἀπὸ τᾶ βήματος ἰδὼν ὁ Φωκίων, ἀνέκραγε· Γράφε καὶ Ἀριστογείτονα χωλὸν καὶ πονηρόν. ὥστε θαυμάζειν, ὅπως καὶ ὁπόθεν τραχὺς ἔτως ἀνὴρ καὶ [2] σκυθρωπὸς ἐκλήσατο τὴν τᾶ χρηστᾶ προσηγορίαν. ἔστι δ', οἶμαι, χαλεπὸν, ἐ μὴν ἀδύνατον, ὥσπερ οἶνον, καὶ ἄνθρωπον τὸν αὐτὸν ἡδὺν ἅμα καὶ αὐστηρὸν εἶναι· καθάπερ ἕτεροι πάλιν, φαινόμενοι γλυκεῖς, ἀηδέστατοι τοῖς χρωμένοις εἰσὶ καὶ βλαβερώτατοι. καίτοι φασὶν, Ὑπερίδην ποτ' εἰπεῖν πρὸς τὸν δῆμον· Ἄνδρες Ἀθηναῖοι, μὴ σκοπεῖτε μόνον, εἰ πικρὸς, ἀλλ' εἰ προῖκά εἰμι πικρός. ὥσπερ τῇ πλεονεξίᾳ μόνον ἐπαχθεῖς καὶ λυπηρὲς ὄντας, ἐχὶ μᾶλλον, ὅσοι πρὸς ὕβριν καὶ φθόνον, ἢ ὀργὴν, ἢ φιλονεικίαν τινὰ, χρῶνται τῷ δύνασθαι, τέτες δεδιότων καὶ προβαλλομένων τῶν πολλῶν. Φωκίων τοίνυν ἔχθρᾳ μὲν ἐδένα τῶν πολιτῶν κακῶς ἐποίησεν, ἐδ' ἐνόμιζεν ἐχθρόν· ἀλλ' ὅσον ἔδει μόνον τῶν ἐνισταμένων, οἷς ἔπραττεν ὑπὲρ τῆς πατρίδος, κατεξαναστῆναι [3], τραχὺς ὢν καὶ δυσεκβίαστος καὶ ἀπαραίτητος, εἰς τὸν ἄλλον βίον εὐμενῆ πᾶσι καὶ κοινὸν καὶ φιλάνθρωπον ἑαυτὸν παρεῖχεν, ὥστε καὶ πταίσασι βοηθεῖν, καὶ κινδυνεύεσι συνεξετάζεσθαι τοῖς διαφόροις. ἐγκαλέντων δὲ τῶν φίλων, ὅτι πονηρῷ τινι κρινο-

1 R. sic dedit pro vulg. τῷ σκέλει καταδεδεμένῳ, maxime ductus lectione Juntinae, quae habet τὼ σκέλη καταδεδεμένω, ut sint accusativi absoluti pro genit. τοῖν σκελοῖν καταδεδεμένοιν. Anon. τὰ σκέλη καταδεδεμένε. Ald. & Crat. τῷ σκέλη καταδεδεμένῳ.

2 Deest hoc καὶ Juntinae.

3 Sic H. Steph. dedit pro συνεξαναστῆναι, quod in prioribus edd. legebatur. V. κατεξανιστάναι, quod probat Mos. Dus.

κρινομένῳ συνεῖπε, τοὺς χρηστοὺς ἔφη μὴ δεῖσθαι βοηθείας. Ἀριστογείτονος δὲ, τοῦ συκοφάντου, μετὰ τὴν καταδίκην [1] πέμψαντος καὶ δεηθέντος ἐλθεῖν πρὸς αὐτὸν, ὑπακούσας ἐβάδιζεν εἰς τὸ δεσμωτήριον· οὐκ ἐώντων δὲ τῶν φίλων· Ἐάσατε, εἶπεν, ὦ μακάριοι· ποῦ γὰρ ἄν τις ἥδιον Ἀριστογείτονι συμβάλοι;

XI. Καὶ μὴν οἵ γε σύμμαχοι καὶ οἱ νησιῶται τοὺς Ἀθήνηθεν ἀποστόλους, ἑτέρου μὲν ἐκπλέοντος στρατηγοῦ, πολεμίους νομίζοντες, ἐφράγνυντο τείχη, καὶ λιμένας ἀπεχώννυσαν, καὶ κατεκόμιζον ἀπὸ τῆς χώρας εἰς τὰς πόλεις βοσκήματα, καὶ ἀνδράποδα, καὶ γυναῖκας, καὶ παῖδας· εἰ δὲ Φωκίων ἡγοῖτο, πόῤῥω ναυσὶν ἰδίαις ἀπαντῶντες ἐστεφανωμένοι, καὶ χαίροντες, ὡς αὐτοὺς κατῆγον.

XII. Παραδυομένου δ' εἰς τὴν Εὔβοιαν τοῦ Φιλίππου, καὶ δύναμιν ἐκ Μακεδονίας διαβιβάζοντος, καὶ τὰς πόλεις οἰκειουμένου διὰ τυράννων, Πλουτάρχου δὲ τοῦ Ἐρετριέως καλοῦντος τοὺς Ἀθηναίους, καὶ δεομένου τὴν νῆσον ἐξελέσθαι καταλαμβανομένην ὑπὸ τοῦ Μακεδόνος, ἀπεστάλη στρατηγὸς ὁ Φωκίων, ἔχων δύναμιν οὐ πολλὴν, ὡς τῶν ἐκεῖ συστησομένων ἑτοίμως πρὸς αὐτόν. εὑρὼν δὲ προδοτῶν ἅπαντα μεστὰ, καὶ νοσοῦντα, καὶ διορωρυγμένα δωροδοκίᾳ, εἰς κίνδυνον μέγαν κατέστη· καί τινα λόφον χαράδρᾳ βαθείᾳ τῶν περὶ τὰς Ταμύνας ἐπιπέδων ἀποκρυπτόμενον [2] καταλαβὼν, συνεῖχεν ἐν τούτῳ καὶ συνεκρότει τὸ μαχιμώτατον τῆς δυνάμεως. τῶν δ' ἀτάκτων καὶ λάλων καὶ πονηρῶν διαδιδρασκόντων ἐκ τοῦ στρατοπέδου, καὶ ἀποχωρούντων, ἐκέλευσεν ἀμελεῖν τοὺς ἡγεμόνας· καὶ γὰρ ἐνταῦθα δυσχρήστους ὑπ' ἀταξίας ἔσεσθαι, καὶ βλαβερούς;

1 V. dat simplex *δίκην*.

2 Br. & Dus. legend. censent *ἀποκοπτόμενον*, vel potius *ἀποκεκομμένον*. Mox seq. *συνεκρότει* R. dedit de suo, *compescebat*, *condensabat*, in densum agmen confertos tenebat, una exercens, pro vulg. *συνεκράτει*, quod non usitatum esse monet.

βερὺς τοῖς μαχομένοις, κἀκεῖ τοιαῦτα συνειδότας αὐτοῖς ἧττον αὐτὲ καταβοήσεσθαι, καὶ μὴ πάνυ συκοφαντήσειν.

XIII. Ὡς δ' ἐπῆεσαν οἱ πολέμιοι, κελεύσας ἐν τοῖς ὅπλοις ἀτρεμεῖν, ἄχρις ἂν αὐτὸς σφαγιάσηται, πλείω διέτριβε χρόνον, ἢ δυσιερῶν, ἢ βελόμενος ἐγγυτέρω τὲς πολεμίες ἐπισπάσασθαι. διὸ πρῶτον μὲν ὁ Πλέταρχος, οἰόμενος ἀποδειλιᾶν καὶ κατοκνεῖν ἐκεῖνον, ἐξέδραμε μετὰ τῶν ξένων. ἔπειτα τἔτον ἰδόντες οἱ ἱππεῖς ἐκ ἐκαρτέρησαν, ἀλλ' ἤλαυνον εὐθὺς εἰς τὲς πολεμίες, ἀσύντακτοι καὶ σποράδες ἐκ τε̃ ϛρατοπέδε προσφερόμενοι. νικωμένων δὲ τῶν πρώτων, ἅπαντες ἐσκεδάσθησαν, καὶ ὁ Πλέταρχος ἔφυγε· καὶ τῷ χάρακι προσμίξαντες ἔνιοι τῶν πολεμίων, ἐκκόπτειν ἐπειρῶντο καὶ διασπᾶν, ὡς ἁπάντων κεκρατηκότες. ἐν τέτῳ δὲ τῶν ἱερῶν γενομένων, τὲς μὲν εὐθὺς ἐκ τε̃ ϛρατοπέδε προσπεσόντες οἱ Ἀθηναῖοι τρέπεσι [1], καὶ καταβάλλεσι τὲς πλείϛες περὶ τοῖς ἐρύμασι φεύγοντας· ὁ δὲ Φωκίων τὴν μὲν φάλαγγα προσέταξεν ἐφεδρεύειν, ἀναλαμβάνεσαν ἅμα καὶ προσδεχομένην τὲς ἐν τῇ φυγῇ πρότερον διασπαρέντας, αὐτὸς δὲ τὲς ἐπιλέκτες ἔχων, ἐνέβαλλε [2] τοῖς πολεμίοις. καὶ μάχης καρτερᾶς γενομένης, πάντες μὲν ἐκθύμως ἠγωνίσαντο καὶ ἀφειδῶς· Θάλλος δ' ὁ Κινέε, καὶ Γλαῦκος ὁ Πολυμήδες, περὶ αὐτὸν τεταγμένοι τὸν ϛρατηγὸν, ἠρίϛευσαν. ὐ μὴν ἀλλὰ καὶ Κλεοφάνης ἄξιον πλείϛε παρέχεν ἑαυτὸν ἐν ἐκείνῃ τῇ μάχῃ. τὲς γὰρ ἱππεῖς ἀνακαλέμενος ἐκ τῆς τροπῆς, καὶ βοῶν καὶ διακελευόμενος κινδυνεύοντι τῷ ϛρατηγῷ βοηθεῖν, ἐποίησεν ἀναϛρέψαντας ἐπιρρῶσαι τὸ νίκημα τῶν ὁπλιτῶν. ἐκ τέτε τόν τε Πλέταρχον [3] ἐξέβαλλεν ἐκ τῆς Ἐρετρίας, καὶ

1 R. mavult τρέπονται, in med.

2 Crat. ἐνέβαλε. V. ἐνέβαλλεν.

3 Legi volunt alii, notante Kindio, Κλείταρχον, de quo, Macedonum auxilio Eretriam occupante, in Diod. Sic. fit mentio,

καὶ Ζάρητρα Φρούριον ἑλὼν ἐπικαιρότατον, ᾗ μάλιςα συνελαύνεται τὸ πλάτος εἰς βραχὺ διάζωμα, τῆς νήσου σφιγγομένης ἑκατέρωθε ταῖς θαλάσσαις, οὓς ἔλαβεν [1] αἰχμαλώτους Ἕλληνας ἀφῆκε, φοβηθεὶς τοὺς ῥήτορας τῶν Ἀθηναίων, μὴ πρὸς ὀργήν τινα βιάσωνται τὸν δῆμον ἀγνωμονῆσαι περὶ [2] αὐτούς.

XIV. Ἐπεὶ δὲ ταῦτα διαπραξάμενος ἀπέπλευσεν ὁ Φωκίων, ταχὺ μὲν ἐπόθησαν οἱ σύμμαχοι τὴν χρηςότητα καὶ δικαιοσύνην αὐτοῦ, ταχὺ δ᾽ ἔγνωσαν οἱ Ἀθηναῖοι τὴν ἐμπειρίαν καὶ ῥώμην τοῦ ἀνδρός. ὁ γὰρ μετ᾽ ἐκεῖνον ἐλθὼν ἐπὶ τὰ πράγματα Μολοσσὸς οὕτως ἐπολέμησεν, ὥςε καὶ ζῶν αὐτὸς ὑποχείριος γενέϑαι τοῖς πολεμίοις. ἐπεὶ δὲ μεγάλα ταῖς ἐλπίσι περινοῶν ὁ Φίλιππος εἰς Ἑλλήσποντον ἦλθε μετὰ πάσης τῆς δυνάμεως, ὡς Χεῤῥόνησον ἐν ταὐτῷ καὶ Πέρινθον ἕξων καὶ Βυζάντιον· ὡρμημένων δὲ τῶν Ἀθηναίων βοηθεῖν, οἱ μὲν [3] ῥήτορες ἠγωνίσαντο τὸν Χάρητα ςρατηγὸν ἀποςαλῆναι· καὶ πλεύσας ἐκεῖνος οὐδὲν ἄξιον τῆς δυνάμεως ἔπραττεν, οὐδ᾽ αἱ πόλεις ἐδέχοντο τὸν ςόλον, ἀλλ᾽ ὕποπτος ὢν πᾶσιν ἐπλανᾶτο χρηματιζόμενος ἀπὸ τῶν συμμάχων, καὶ καταφρονούμενος ὑπὸ τῶν πολεμίων· ὁ δὲ δῆμος ὑπὸ τῶν ῥητόρων παροξυνόμενος ἠγανάκτει, καὶ μετενόει τοῖς Βυζαντίοις πέμψας τὴν βοήθειαν· ἀναςὰς ὁ Φωκίων εἶπεν, ὅτι δεῖ μὴ τοῖς ἀπιςοῦσιν ὀργίζεϑαι τῶν συμμάχων, ἀλλὰ τοῖς ἀπιςουμένοις τῶν ςρατηγῶν. οὗτοι γὰρ ὑμᾶς ποιοῦσι φοβεροὺς καὶ τοῖς χωρὶς ὑμῶν σώζεϑαι μὴ

tio, cum non sit, cur Plutarchum, cui Athenienses subsidio venerint, ex Eretria expulerit.

1 R. sic dedit ex parte de suo pro vulg. ἔτι λαβεῖν. V. ὅσους ἔλαβεν. Ex eod. & Anon. seq. ἀφῆκε, quod & H. Steph. legi testatur, a R. receptum est pro vulg. ἐφῆκε.

2 V. πρὸς αὐτούς.

3 Sic R. dedit de suo, praeeunte quodammodo Juntina, in qua legitur οἱ οὐ ῥήτ. Vulgo οἱ ῥήτορες.

μὴ δυναμένοις [1]. κινηθεὶς ȣ̓ν ὁ δῆμος ὑπὸ τȣ̃ λόγȣ καὶ μεταπεσὼν, ἐκέλευεν αὐτὸν ἐκεῖνον ἑτέραν προσλαβόντα δύναμιν βοηθεῖν τοῖς συμμάχοις εἰς τὸν Ἑλλήσποντον· ὃ μεγίστην ῥοπὴν ἐποίησε πρὸς τὸ σωθῆναι τὸ Βυζάντιον. ἦν μὲν γὰρ [2] ἤδη μεγάλη δόξα τȣ̃ Φωκίωνος· ἐπεὶ δὲ Κλέων, ἀνὴρ Βυζαντίων πρῶτος ἀρετῇ, καὶ τῷ Φωκίωνι γεγονὼς ἐν Ἀκαδημίᾳ συνήθης, ἀνεδέξατο τὴν πίστιν ὑπὲρ αὐτȣ̃ πρὸς τὴν πόλιν, ȣ̓κ εἴασαν ἔξω στρατοπεδεῦσαι βȣλόμενον, ἀλλ' ἀνοίξαντες τὰς πύλας, ἐδέξαντο καὶ κατέμιξαν ἑαυτοῖς τȣ̀ς Ἀθηναίȣς, ȣ̓ μόνον ἀνεγκλήτȣς ταῖς διαίταις καὶ σώφρονας, ἀλλὰ καὶ προθυμοτάτȣς ἐν τοῖς ἀγῶσι διὰ τὴν πίστιν γενομένȣς. ȣ̔́τω μὲν ὁ Φίλιππος ἐξέπεσε τȣ̃ Ἑλλησπόντȣ τότε καὶ κατεφρονήθη, δοκῶν ἄμαχός τις εἶναι καὶ ἀνανταγώνιστος· ὁ δὲ Φωκίων καὶ ναῦς τινας [3] εἷλεν αὐτȣ̃, καὶ φρȣρȣμένας πόλεις ἀνέλαβε, καὶ πολλαχόθι τῆς χώρας ἀποβάσεις ποιȣ́μενος, ἐπόρθει καὶ κατέτρεχε, μέχρις ȣ̔ τραύματα λαβὼν ὑπὸ τῶν προσβοηθȣ́ντων ἀπέπλευσε.

XV. Τῶν δὲ Μεγαρέων ἐπικαλȣμένων κρύφα, φοβȣ́μενος ὁ Φωκίων τȣ̀ς Βοιωτȣ̀ς, μὴ προαισθόμενοι φθάσωσι τὴν βοήθειαν, ἐκκλησίαν συνήγαγεν ἕωθεν, καὶ προσαγγείλας τὰ παρὰ [4] τῶν Μεγαρέων τοῖς Ἀθηναίοις, ὡς ἐπεψηφίσαντο, τῇ σάλπιγγι σημήνας, εὐθὺς ἀπὸ τῆς ἐκκλησίας ἦγεν αὐτȣ̀ς τὰ ὅπλα λαβόντας. δεξαμένων δὲ τῶν Μεγαρέων προθύμως, τήν τε Νίσαιαν ἐτείχισε, καὶ διὰ μέσȣ σκέλη δύο πρὸς τὸ ἐπίνειον ἀπὸ τȣ̃ ἄστεος ἐνέβαλε, καὶ συνῆψε τῇ θαλάττῃ τὴν πόλιν, ὥστε τῶν

κατὰ

1 Dari ſic voluit Br. praeeuntibus hinc Anon. (qui habet καί τοι) hinc Ald. (quae dat cum Crat. δυναμένοις) deditque R. pro vulg. καίτοι — δυνάμενοι.

2 Hanc particulam ab Ald. & reliquis, eam ſecutis, omiſſam reſtituit R. e Junt. & Anon.

3 V. τινὲς.

4 V. περὶ.

κατὰ γῆν πολεμίων ὀλίγου ἤδη φροντίζουσαν ἐξηρτῆσθαι τῶν Ἀθηναίων.

XVI. Ἤδη δὲ [1] πρὸς Φίλιππον ἐκπεπολεμωμένων παντάπασι, καὶ στρατηγῶν, αὐτοῦ μὴ παρόντος, ἑτέρων ἐπὶ τὸν πόλεμον ᾑρημένων, ὡς κατέπλευσεν ἀπὸ τῶν νήσων, πρῶτον μὲν ἔπειθε τὸν δῆμον, εἰρηνικῶς ἔχοντος τοῦ Φιλίππου, καὶ φοβουμένου τὸν κίνδυνον ἰσχυρῶς, δέχεσθαι τὰς διαλύσεις· καί τινος ἀντικρούσαντος αὐτῷ [2] τῶν εἰωθότων κυλινδεῖσθαι περὶ τὴν Ἡλιαίαν καὶ συκοφαντεῖν, καὶ εἰπόντος· Σὺ δὲ τολμᾷς, ὦ Φωκίων, ἀποτρέπειν Ἀθηναίους ἤδη τὰ ὅπλα διὰ χειρῶν ἔχοντας; Ἐγώ γε, εἶπε, καὶ ταῦτ' εἰδὼς, ὅτι, πολέμου μὲν ὄντος, ἐγώ σοῦ, εἰρήνης δὲ γενομένης, σὺ ἐμοῦ ἄρξεις. ὡς δ' οὐκ ἔπειθεν, ἀλλ' ὁ Δημοσθένης ἐκράτει κελεύων ὡς πορρωτάτω τῆς Ἀττικῆς θέσθαι μάχην τοὺς Ἀθηναίους· Ὦ τᾶν, ἔφη, μὴ, ποῦ μαχώμεθα, σκοπῶμεν, ἀλλὰ πῶς νικήσωμεν. οὕτω γὰρ ἔσται μακρὰν ὁ πόλεμος, ἡττωμένοις δὲ πᾶν ἀεὶ δεινὸν ἐγγὺς πάρεσι. γενομένης δ' ἥττης, καὶ τῶν θορυβοποιῶν καὶ νεωτεριστῶν τῶν [3] ἐν ἄστει τὸν Χαρίδημον ἑλκόντων ἐπὶ τὸ βῆμα, καὶ στρατηγεῖν ἀξιούντων, ἐφοβήθησαν οἱ βέλτιστοι· καὶ τὴν ἐξ Ἀρείου πάγου βουλὴν ἔχοντες, ἐν τῷ δήμῳ δεόμενοι καὶ δακρύοντες, μόλις ἔπεισαν ἐπιτρέψαι τῷ Φωκίωνι τὴν πόλιν. ὁ δὲ τὴν μὲν ἄλλην τοῦ Φιλίππου πολιτείαν καὶ φιλανθρωπίαν ᾤετο δεῖν προσδέχεσθαι· Δημάδου δὲ γράψαντος, ὅπως ἡ πόλις μετέχοι τῆς κοινῆς εἰρήνης καὶ τοῦ συνεδρίου τοῖς Ἕλλησιν, οὐκ εἴα πρὸ τοῦ γνῶναι, τίνα Φίλιππος αὐτῷ γενέσθαι παρὰ τῶν Ἑλλήνων

1 Vulgo ſecundum Steph. legitur ἤδη δὲ τῶν. Hinc Br. ſuſp. leg. αὐτῶν; Moſ. Duſ. voluit τῶν Ἀθηναίων. R. τῶν expunxit, ſecutus Junt. Ald. Crat.

2 Sic cum Anon. Junt. Ald. Crat. dedit R. pro vulg. αὐτοῦ.

3 Junt. Ald. Crat. omittunt τῶν; Steph. dedit.



BIBLIOTEKA
BIBLIOTEKA W TORUNIU UNIWERSYTECKA

λήνων ἀξιώσει· κρατηθεὶς δὲ τῇ γνώμῃ διὰ τὸν καιρὸν, ὡς εὐθὺς ἑώρα τοὺς Ἀθηναίους μεταμελομένους [1], ὅτι καὶ τριήρεις ἔδει παρέχειν τῷ Φιλίππῳ καὶ ἱππεῖς· Ταῦτα, ἔφη, φοβούμενος ἠναντιούμην· ἐπεὶ δὲ συνέθεσθε, δεῖ μὴ βαρέως φέρειν, μηδ' ἀθυμεῖν, μεμνημένους, ὅτι καὶ οἱ πρόγονοι, ποτὲ μὲν ἄρχοντες, ποτὲ δ' ἀρχόμενοι, καλῶς δ' ἀμφότερα ταῦτα ποιοῦντες, καὶ τὴν πόλιν ἔσωσαν καὶ τοὺς Ἕλληνας. Φιλίππου δ' ἀποθανόντος, εὐαγγέλια θύειν τὸν δῆμον οὐκ εἴα· καὶ γὰρ ἀγεννὲς εἶναι ἐπιχαίρειν, καὶ τὴν ἐν Χαιρωνείᾳ παραταξαμένην πρὸς αὐτοὺς δύναμιν, ἑνὶ σώματι μόνον ἐλάττω γενέσθαι.

XVII. Δημοσθένους δὲ λοιδοροῦντος τὸν Ἀλέξανδρον ἤδη προσάγοντα ταῖς Θήβαις, ἔφη·

Σχέτλιε, τίπτ' ἐθέλεις ἐρεθιζέμεν ἄγριον ἄνδρα [2],

καὶ δόξης μεγάλης ὀρεγόμενον; ἢ βούλει, πυρκαϊᾶς τηλικαύτης οὔσης ἐγγὺς, ῥίψαι [3] τὴν πόλιν; ἀλλ' ἡμεῖς οὐδὲ βουλομένοις ἀπολέσθαι τούτοις [4] ἐπιτρέψομεν, οἱ διὰ τοῦτο στρατηγεῖν ὑπομένοντες. ὡς δ' ἀπολώλεισαν αἱ Θῆβαι, καὶ ὁ Ἀλέξανδρος ἐξῃτεῖτο [5] τοὺς περὶ Δημοσθένην, καὶ Λυκοῦργον, καὶ Ὑπερίδην, καὶ Χαρίδημον, ἡ δ' ἐκκλησία πρὸς ἐκεῖνον ἀπέβλεπεν, ὀνομαστὶ πολλάκις καλούμενος ἀνέστη· καὶ τῶν φίλων ἕνα παραστησάμενος, ᾧ μάλιστα χρώμενος διετέλει καὶ πιστεύων καὶ ἀγαπῶν· Εἰς τὰ τοιαῦτα, ἔφη, τὴν πόλιν οὗτοι παραγηόχασιν, ὥστ' ἔγωγε, κἂν Νικοκλέα τις τοῦτον ἐξαιτῇ, διδόναι κελεύ-

1 Quod pacem cum Philippo fecissent cum reliquis Graecis communem; ejus rei poenitentiae ideo ductos, quod ex hujus pacti necessitate praestandae Philippo triremes una cum equitatu essent. R.

2 Odyss. I. 494.

3 R. subaud. monet εἰς ταύτην τὴν πυρκαϊὰν, *rempublicam in hunc ardentem rogum conjicere*. Br. voluit ῥιπίσαι.

4 scil. ὅπως μὴ ἀπόλωνται. R.

5 R. mavult ἐξῄτει.

λεύσω. τὸ μὲν γὰρ αὐτὸς ὑπὲρ ὑμῶν ἀπάνἰων ἀποθανεῖν, εὐτυχίαν ἐμαυτῷ θείμην. ἐλεῶ δ', εἶπεν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τοὺς ἐκ Θηβῶν δεῦρο πεφευγότας. ἀρκεῖ δὲ τὰς Θήβας κλαίειν τοῖς Ἕλλησι. διὸ βέλτιόν ἐστιν ὑπὲρ ἀμφοῖν πείθειν, καὶ παραιτεῖσθαι τοὺς κρατοῦντας, ἢ μάχεσθαι. Τὸ μὲν οὖν πρῶτον ψήφισμα λέγεται Ἀλέξανδρον, ὡς ἔλαβε, ῥίψαι, καὶ φυγεῖν ἀποστραφέντα τοὺς πρέσβεις· τὸ δὲ δεύτερον ἐδέξατο, κομισθὲν ὑπὸ Φωκίωνος, τῶν πρεσβυτέρων ἀκούων, ὅτι καὶ Φίλιππος ἐθαύμαζε τὸν ἄνδρα τοῦτον· καὶ οὐ μόνον τὴν ἔντευξιν ὑπέμεινεν αὐτοῦ καὶ τὴν δέησιν, ἀλλὰ καὶ συμβουλεύοντος ἤκουσε. συνεβούλευε δ' ὁ Φωκίων, εἰ μὲν ἡσυχίας ὀρέγεται, θέσθαι τὸν πόλεμον· εἰ δὲ δόξης, μεταθέσθαι πρὸς τοὺς βαρβάρους ἀπὸ τῶν Ἑλλήνων τραπόμενον. καὶ πολλὰ καὶ πρὸς τὴν Ἀλεξάνδρου φύσιν καὶ βούλησιν εὐστόχως εἰπὼν, οὕτω μετέβαλε καὶ κατεπράϋνεν αὐτὸν, ὥστ' εἰπεῖν, ὅπως προσέξουσι τὸν νοῦν Ἀθηναῖοι τοῖς πράγμασιν, ὡς, εἴ τι γένοιτο περὶ αὐτὸν [1], ἐκείνοις ἄρχειν προσῆκον. ἰδίᾳ δὲ τὸν Φωκίωνα ποιησάμενος αὐτοῦ φίλον καὶ ξένον, εἰς τοσαύτην ἔθετο τιμὴν, ὅσην εἶχον ὀλίγοι τῶν ἀεὶ συνόντων. ὁ γ' οὖν Δοῦρις εἴρηκεν, ὡς μέγας γενόμενος, καὶ Δαρείου κρατήσας, ἀφεῖλε τῶν ἐπιστολῶν τὸ Χαίρειν, πλὴν ἐν ὅσαις ἔγραφε Φωκίωνι. τοῦτον δὲ μόνον, ὥσπερ Ἀντίπατρον, μετὰ τοῦ Χαίρειν προσηγόρευε. τοῦτο δὲ καὶ Χάρης ἱστόρηκε.

XVIII. Τὸ μέντοι περὶ τῶν χρημάτων ὁμολογούμενόν ἐστιν, ὅτι δωρεὰν αὐτῷ κατέπεμψεν ἑκατὸν τάλαντα. τούτων κομισθέντων εἰς Ἀθήνας, ἠρώτησεν ὁ Φωκίων τοὺς φέροντας, τί δή ποτε, πολλῶν ὄντων Ἀθηναίων, αὐτῷ μόνῳ τοσαῦτα δίδωσιν Ἀλέξανδρος. εἰπόντων δ' ἐκείνων, ὅτι σὲ κρίνει μόνον ἄνδρα καλὸν



1 scil. humanum, fatale sibi eveniret, si a fato suo repente sit opprimendus. R.

καὶ ἀγαθόν· Οὐκῦν, εἶπεν ὁ Φωκίων, ἐασάτω με καὶ δοκεῖν ἀεὶ καὶ εἶναι τοιῦτον. ὡς δ' ἀκολυθήσαντες εἰς οἶκον αὐτῷ, πολλὴν ἑώρων εὐτέλειαν, τὴν μὲν γυναῖκα μάττυσαν, ὁ δὲ Φωκίων αὐτὸς ἀνιμήσας ὕδωρ ἐκ τῦ Φρέατος, ἀπενίπτετο τὺς πόδας, ἔτι μᾶλλον ἐνέκειντο, καὶ ἠγανάκτυν· δεινὸν εἶναι λέγοντες, εἰ Φίλος ὢν τῦ βασιλέως ὕτω διαιτήσεται πονηρῶς. ἰδὼν ὖν ὁ Φωκίων πένητα πρεσβύτην, ἐν τριβωνίῳ ῥυπαρῷ πορευόμενον, ἠρώτησεν, εἰ τῦτυ χείρονα νομίζυσιν αὐτόν. εὐΦημεῖν δ' ἐκείνων δεομένων· Καὶ μὴν ὗτος, εἶπεν, ἀπ' ἐλαττόνων ἐμῦ ζῇ, καὶ ἀρκεῖται. τὸ δ' ὅλον, ἢ μὴ χρώμενος, ἔΦη, μάτην ἕξω τοσῦτον χρυσίον, ἢ χρώμενος ἐμαυτὸν ἅμα κἀκεῖνον διαβαλῶ πρὸς τὴν πόλιν. ὕτω μὲν ὖν ἐπανῆλθε πάλιν τὰ χρήματα ἐξ Ἀθηνῶν, ἐπιδείξαντα τοῖς Ἕλλησι πλυσιώτερον τῦ διδόντος τοσαῦτα τὸν μὴ δεόμενον. ἐπεὶ δ' Ἀλέξανδρος ἠγανάκτησε, καὶ πάλιν ἔγραψε τῷ Φωκίωνι, Φίλυς μὴ νομίζειν τὺς μηδὲν αὐτῦ [1] δεομένυς, χρήματα μὲν ὐδ' ὡς Φωκίων ἔλαβεν, ἀΦεθῆναι δ' ἠξίωσε τὸν σοΦιστὴν Ἐχεκρατίδην, καὶ τὸν Ἴμβριον Ἀθηνόδωρον, καὶ Ῥοδίυς δύο, Δημάρατον καὶ Σπάρτωνα [2], συνειλημμένυς ἐπ' αἰτίαις τισὶ, καὶ κατειργμένυς ἐν Σάρδεσι. τύτυς μὲν ὖν εὐθὺς ἀπέλυσεν ὁ Ἀλέξανδρος, Κρατερὸν δ' ἀποστέλλων εἰς Μακεδονίαν, ἐκέλευσε τεττάρων πόλεων ἐν Ἀσίᾳ, Κίυ, Γεργῆθυ, Μυλάσσων, Ἐλαίας, μίαν, ἣν ἂν αἱρῆται, παραδῦναι τῷ Φωκίωνι· διατεινάμενος ἔτι μᾶλλον, ὡς χαλεπανεῖ μὴ λαβόντος. ἀλλ' ὕτε Φωκίων ἔλαβεν, ὅ τ' [3] Ἀλέξανδρος ταχέως ἀπέθανεν. ἡ δ' οἰκία τῦ Φωκίωνος ἔτι νῦν ἐν Μελίτῃ δεικνυ-

1 Junt. Ald. Crat. αὐτῷ. Steph. correxit. Seq. χρήματα R. mavult cum articulo.

2 Conferas locum Aeliani V. H. I. 25. ex hoc Plutarchi loco emendandum. Pro ἐπ' αἰτίαις V. ἐπ' αἰτίαι.

3 V. ὕτε.

κυυται, χαλκαῖς λεπίσι κεκοσμημένη, τὰ δ' ἄλλα λιτὴ καὶ ἀφελής.

XIX. Τῶν δὲ γυναικῶν, ἃς ἔγημε, περὶ τῆς προτέρας ὀδὲν ἱσορεῖται, πλὴν ὅτι Κηφισόδοτος ἦν, ὁ πλάσης, ἀδελφὸς αὐτῆς· τῆς δὲ δευτέρας ὀκ ἐλάττων ἐπὶ σωφροσύνῃ καὶ ἀφελείᾳ λόγος ἦν παρὰ τοῖς Ἀθηναίοις, ἢ Φωκίωνος ἐπὶ χρηςότητι. καί ποτε θεωμένων καινὰς τραγῳδὰς Ἀθηναίων, ὁ μὲν τραγῳδὸς εἰσιέναι μέλλων, βασιλίδος πρόσωπον ᾔτει, καὶ κεκοσμημένας πολλὰς πολυτελῶς ὀπαδὰς, τὸν χορηγόν· καὶ μὴ παρέχοντος, ἠγανάκτει καὶ κατεῖχε τὸ θέατρον, ὀ βελόμενος προελθεῖν. ὁ δὲ χορηγὸς, Μελάνθιος, ὠθῶν αὐτὸν εἰς τὸ μέσον, ἐβόα· Τῦ Φωκίωνος ὀχ ὁρᾷς γυναῖκα προϊῦσαν ἀεὶ μετὰ μιᾶς θεραπαινίδος; ἀλλ' ἀλαζονεύῃ καὶ διαφθείρεις τὴν γυναικωνῖτιν; ἐξακέσε δὲ τῆς φωνῆς γενομένης, ἐδέξατο κρότῳ πολλῷ καὶ θορύβῳ τὸ θέατρον. αὐτὴ δ' ἡ γυνὴ, ξένης τινὸς Ἰωνικῆς ἐπιδειξαμένης [1] χρυσῦν καὶ λιθοκόλλητον κόσμον ἐμπλοκίοις [2] καὶ περιδεραίοις· Ἐμοὶ δ', ἔφη, κόσμος ἐςὶ Φωκίων, εἰκοςὸν ἔτος ἤδη ςρατηγῶν Ἀθηναίων.

XX. Φωκίων [3] δὲ τῷ υἱῷ βελομένῳ ἀγωνίσασθαι Παναθηναίοις, ἀποβάτην ἐφῆκεν, ὀχὶ τῆς νίκης ὀρεγόμενος,



1 Hanc vocem R. e Junt. Ald. Crat. restituit pro vulg. ἐπιδεξαμένης.

2 V. & Anon. ἐν πλοκίοις. Sic ego quidem voces has in ind. Fist. lego distinctas, non ἐνπλοκίοις, quod Br. profert, qui cum Salvinio & Dacerio genuinam lectionem censet ἐν πλοκίοις. R. susp. κόσμον ἐν ἐμπλοκ.

3 H. Steph. teste in quibusdam codd. legitur Φώκῳ, quod Mos. Dus. probat. De certaminis genere ipso variae extant sententiae. Dacer. putat, cum *curru certare* adolescens cuperet, parentem *pedibus* tantum concessisse. Xyl. tollit comma ante ἀποβάτην (quod & Dus. tollendum censet) vertitque *desultorio certamine contendere.* Lapus *equestre ludum* vertit; generalius quoque Kind: seine Fertigkeit im Kämpfen bey den Wettspielen

μενος, ἀλλ᾽ ὅπως ἐπιμεληθεὶς καὶ ἀσκήσας τὸ σῶμα, βελτίων ἔσοιτο. καὶ γὰρ ἦν ἄλλως φιλοπότης καὶ ἄτακτος ὁ νεανίσκος. νικήσαντος δὲ, καὶ πολλῶν αἰτουμένων ἑστιᾶσαι τὰ νικητήρια [1], τοὺς ἄλλους Φωκίων παραιτησάμενος, ἑνὶ τὴν φιλοτιμίαν ταύτην παρεχώρησεν [2]. ὡς δ᾽ ἐλθὼν ἐπὶ τὸ δεῖπνον, ἄλλην τε σοβαρὰν ἑώρα παρασκευὴν, καὶ ποδονιπτῆρας οἴνου δι᾽ ἀρωμάτων προσφερομένους τοῖς εἰσιοῦσι, καλέσας τὸν υἱόν· Οὐ παύσεις, ἔφη, τὸν ἑταῖρον, ὦ Φῶκε [3], διαφθείροντά σου τὴν νίκην; βουλόμενος δὲ καὶ καθόλου μεταστῆσαι τὸ μειράκιον ἐκ τῆς διαίτης ἐκείνης, ἀπήγαγεν εἰς Λακεδαίμονα, καὶ κατέμιξε τοῖς ἀγομένοις τὴν λεγομένην ἀγωγὴν νεανίσκοις. καὶ τοῦτο τοὺς Ἀθηναίους ἐλύπησεν, ὡς ὑπερορῶντος καὶ ὑπερφρονοῦντος τὰ οἰκεῖα τοῦ Φωκίωνος. εἰπόντος δὲ τοῦ Δημάδου πρὸς αὐτόν· Τί οὐ πείθομεν, ὦ Φωκίων, Ἀθηναίους τὴν Λακωνικὴν προσδέξασθαι πολιτείαν; ἐὰν γὰρ σὺ κελεύῃς, ἐγὼ γράφειν καὶ λέγειν ἕτοιμός εἰμι. Πάνυ γοῦν, ἔφη, πρέψειεν ἄν σοι, μύρου [4] τοσοῦτον ὄζοντι, καὶ χλαμύδα τοιαύτην φοροῦντι, συμβουλεύειν Ἀθηναίοις περὶ φιλιτίων, καὶ τὸν Λυκοῦργον ἐπαινεῖν.

XXI.

ſpielen ſehen zu laſſen — nota tamen illuſtrante adjuncta: „Es bedeutet die Redensart ἀγων. ἀποβ. ſich mit einem andern in einen Wettſtreit einlaſſen, wer am geſchwindeſten auf ein Pferd ſteigen, und wieder herabſpringen, oder auch einem Pferd gleich laufen kann.“

1 R. ex hoc loco colligit, non a victore amicos epulis victorialibus fuiſſe exceptos, ſed contra victorem ab amicis, ſententia loci ſic ſtruenda: *Multis Phocionem rogantibus, ut veniam ſibi daret, palmam ab ipſius filio reportatam epulis ſplendidis e pecunia collatitia concelebrandi, veniam hanc ex omnibus uni tantum dabat Phocio.*

2 V. συνεχώρησεν, quod Duſ. probat. Ad ſeq. ἐλθὼν ſubaudi *Phocionem.*

3 In edd. Stephanica prioribus extat Φώκιε. Steph. ex vet. cod. repoſuit Φῶκε, quod nomen in iisdem infra quoque datur.

4 V. μύρον. R. mavult μύρων τοσούτων, in gen. pl.

XXI. Γράψαντος δὲ τοῦ Ἀλεξάνδρου περὶ τριηρῶν, ὅπως ἀποστείλωσιν αὐτῷ, καὶ τῶν ῥητόρων ἐνισταμένων, τῆς δὲ βουλῆς τὸν Φωκίωνα λέγειν κελευούσης· Λέγω τοίνυν ὑμῖν, εἶπεν, ἢ τοῖς ὅπλοις κρατεῖν, ἢ τοῖς κρατοῦσι φίλους εἶναι. πρὸς δὲ Πυθέαν [1] ἀρχόμενον τότε πρῶτον ἐντυγχάνειν Ἀθηναίοις, ἤδη δὲ λάλον ὄντα καὶ θρασύν· Οὐ σιωπήσεις, ἔφη, καὶ ταῦτα νεώνητος ὢν τῷ δήμῳ; ἐπεὶ δ' Ἅρπαλος μετὰ χρημάτων πολλῶν ἀποδρὰς Ἀλέξανδρον ἐκ τῆς Ἀσίας τῇ Ἀττικῇ προσέβαλε, καὶ τῶν εἰωθότων ἀπὸ τοῦ βήματος χρηματίζεσθαι δρόμος ἦν καὶ ἅμιλλα φθειρομένων πρὸς αὐτὸν, τούτοις [2] μὲν ἀπὸ πολλῶν μικρὰ δελεάζων προήκατο καὶ διέῤῥιψε, τῷ δὲ Φωκίωνι προσέπεμψε διδοὺς ἑπτακόσια τάλαντα, καὶ τἄλλα πάντα, καὶ μετὰ πάντων ἑαυτὸν ἐπ' ἐκείνῳ μόνῳ παρακατατιθέμενος. ἀποκρινομένου δὲ τραχέως τοῦ Φωκίωνος, οἰμώξεσθαι τὸν Ἅρπαλον, εἰ μὴ παύσηται διαφθείρων τὴν πόλιν, τότε μὲν συσταλεὶς ἀπέστη· μετ' ὀλίγον δὲ βουλευομένων Ἀθηναίων, ἑώρα τοὺς μὲν εἰληφότας τὰ χρήματα παρ' αὐτοῦ, μεταβαλλομένους καὶ κατηγοροῦντας, ἵνα μὴ φανεροὶ γένωνται· Φωκίωνα δὲ, τὸν μηδὲν λαβόντα, μετὰ τοῦ κοινοῦ συμφέροντος ἅμα καὶ τὴν ἐκείνου σωτηρίαν ἔν τινι λόγῳ τιθέμενον. πάλιν οὖν ἐνεχθεὶς ἐπὶ τὸ θεραπεύειν ἐκεῖνον, αὐτὸν μὲν ὡς ἔρυμα πανταχόθεν ἀνάλωτον ὑπὸ τοῦ χρυσίου περιοδεύων ἑώρα [3]. Χαρικλέα δὲ, τὸν γαμβρὸν αὐτοῦ, ποιησάμενος συνήθη καὶ φίλον, ἐνέπλησε δόξης πονηρᾶς, πάντα πιστεύων καὶ πάντα χράμενος ἐκείνῳ.

XXII. Καὶ δὴ καὶ Πυθιονίκης [4] τῆς ἑταίρας ἀποθανού-



1 Xyl. locum hunc mutilum censet. Seq. τότε R. dedit ex Anon. pro vulg. ποτε.

2 V. τούτους. Id. προσήκατο pro seq. προήκ.

3 R. susp. περιοδεύων πόῤῥωθεν ἑώρα, e longinquo spectabat.

4 Sic Palm. ex Athenaeo scribendum censuit, deditque R. pro vulg. Πυθονίκης. Eadem scriptura ex Pausania firmatur. Dacer. a Curtio *Pothymian* appellari ait.

θανούσης, ἣν εἶχεν ὁ Ἅρπαλος ἐρῶν, καὶ θυγατρίου πατὴρ ἐξ αὐτῆς γέγονε, μνημεῖον ἀπὸ χρημάτων πολλῶν ἐπιτελέσαι θελήσας, προσέταξε τῷ Χαρικλεῖ τὴν ἐπιμέλειαν. οὖσαν δὲ τὴν ὑπουργίαν ταύτην ἀγεννῆ προσκατῄσχυνεν ὁ τάφος συντελεσθείς. διαμένει γὰρ ἔτι νῦν ἐν Ἑρμείῳ [1], ᾗ βαδίζομεν ἐξ ἄστεος εἰς Ἐλευσῖνα, μηδὲν ἔχων τῶν τριάκοντα ταλάντων ἄξιον, ὅσα τῷ Ἁρπάλῳ λογισθῆναι φασὶν εἰς τὸ ἔργον ὑπὸ τοῦ Χαρικλέους. καὶ μέντοι καὶ τελευτήσαντος αὐτοῦ, τὸ παιδάριον ὑπὸ τοῦ Χαρικλέους καὶ τοῦ Φωκίωνος ἀναληφθὲν ἐτύγχανε πάσης ἐπιμελείας. κρινομένου μέντοι τοῦ Χαρικλέους ἐπὶ τοῖς Ἁρπαλείοις, καὶ δεομένου βοηθεῖν αὐτῷ τὸν Φωκίωνα, καὶ συνεισελθεῖν εἰς τὸ δικαστήριον, οὐκ ἠθέλησεν, εἰπών· Ἐγώ σε, ὦ Χαρίκλεις, ἐπὶ πᾶσι τοῖς δικαίοις γαμβρὸν ἐποιησάμην. πρώτου δ' Ἀθηναίοις Ἀσκληπιάδου τοῦ Ἱππάρχου τεθνάναι προσαγγείλαντος Ἀλέξανδρον, ὁ μὲν Δημάδης ἐκέλευσε μὴ προσέχειν· πάλαι γὰρ ἂν ὅλην ὄζειν νεκροῦ τὴν οἰκουμένην· ὁ δὲ Φωκίων ἐπηρμένον ὁρῶν πρὸς τὸ νεωτερίζειν τὸν δῆμον, ἐπειρᾶτο παρηγορεῖν καὶ κατέχειν. ἀναπηδώντων δὲ πολλῶν ἐπὶ τὸ βῆμα, καὶ βοώντων, ἀληθῆ τὸν Ἀσκληπιάδην ἀπαγγέλλειν, καὶ τεθνάναι τὸν Ἀλέξανδρον· Οὐκοῦν, εἶπεν, εἰ σήμερον τέθνηκε, καὶ αὔριον ἔσται καὶ εἰς τρίτην [2] τεθνηκώς; ὥστε ἡμᾶς ἐν ἡσυχίᾳ [3] βουλεύσασθαι, μᾶλλον δὲ μετ' ἀσφαλείας.

XXIII. Ὡς δὲ Φέρων ἐνέσεισεν ὁ Λεωσθένης τὴν πόλιν εἰς τὸν Ἑλληνικὸν [4] πόλεμον, καὶ τοῦ Φωκίωνος δυσ-

1 Palm. legi vult ἐν Ἑρμεῖ. Cf. Plut. T. I. pag. 10. not. 1.

2 V. εἰς τρίτην ἡμέραν. In Apophth. extat εἰσέτι τεθν.

3 R. mavult ἐν ἡσ. δεῖ βουλεύσ.

4 Anon. Λαμιακὸν πόλ. Sic & Xyl. vertit, & leg. susp. in Apophth. ubi simpliciter datur εἰς τὸν πόλεμον. R. tuetur vulgatam, & bellum graecum illud esse monet, quod a Graecis universis contra hostes Graeciae communes geritur. Cf. cap. 25. Ἑλληνικὸν στράτευμα.

δυσχεραίνοντος, ἠρώτα καταγελῶν, τί πεποίηκεν ἀγαθὸν τὴν πόλιν, ἔτη τοσαῦτα στρατηγῶν; Οὐ μικρὸν, ἔφη, τὸ τοὺς πολίτας ἐν τοῖς ἰδίοις μνήμασι θάπτεσθαι. Πολλὰ δὲ θρασυνομένου καὶ κομπάζοντος [1] ἐν τῷ δήμῳ τοῦ Λεωσθένους, ὁ Φωκίων· Οἱ λόγοι σου, εἶπεν, ὦ μειράκιον, ἐοίκασι κυπαρίττοις. μεγάλοι γὰρ ὄντες καὶ ὑψηλοὶ, καρποὺς οὐ φέρουσι. Ὡς δ' ἐπαναστὰς ὁ Ὑπερίδης ἠρώτησε· Πότ' οὖν, ὦ Φωκίων, συμβουλεύεις [2] πολεμεῖν Ἀθηναίοις; Ὅταν, εἶπε, τοὺς μὲν νέους ἴδω τὴν τάξιν βουλομένους φυλάττειν, τοὺς δὲ πλουσίους εἰσφέρειν, τοὺς δὲ ῥήτορας ἀπέχεσθαι τοῦ κλέπτειν τὰ δημόσια. Θαυμαζόντων δὲ πολλῶν τὴν ὑπὸ τοῦ Λεωσθένους συνηγμένην δύναμιν, καὶ τοῦ Φωκίωνος πυνθανομένων· Πρὸς τί [3] παρεσκευάσθαι δοκοῦσιν αὐτῷ· Καλῶς, ἔφη, πρὸς τὸ στάδιον· τὸν δὲ δόλιχον τοῦ πολέμου φοβοῦμαι, μήτε χρήματα τῆς πόλεως ἕτερα, μήτε ναῦς, μήτε ὁπλίτας ἐχούσης. Ἐμαρτύρει δ' αὐτῷ καὶ τὰ ἔργα. πρῶτον μὲν γὰρ Λεωσθένης λαμπρὸς ἤρθη ταῖς πράξεσι, τῶν δὲ Βοιωτῶν μάχῃ κρατήσας, καὶ τὸν Ἀντίπατρον εἰς Λαμίαν συνελάσας. ὅτε καί φασι τὴν μὲν πόλιν, ἐλπίδος μεγάλης γενομένην [4], ἑορτάζειν εὐαγγέλια συνεχῶς, καὶ θύειν τοῖς θεοῖς, τὸν δὲ Φωκίωνα, πρὸς τοὺς ἐλέγχειν αὐτὸν οἰομένους, καὶ πυνθανομένους· εἰ ταῦτ' οὐκ ἂν ἤθελεν αὐτῷ [5] πεπρᾶχθαι· Πάνυ μὲν οὖν, ἔφη· βεβουλεῦσθαι δ' ἐκεῖνα. καὶ πάλιν ἄλλων ἐπ' ἄλλοις εὐαγγελίων γραφομένων καὶ φερομένων ἀπὸ τοῦ στρατοπέδου· Πότε ἄρα, φάναι, παυσόμεθα νικῶντες;



1 V. συγκομπάζοντος.

2 Malim συμβουλεύσεις.

3 Sic R. de ſuo dedit pro vulg. πῶς τί. Pro ſeq. αὐτῷ Anon. οὕτω.

4 R. leg. cenſet aut γευομένην, *guſtantem*, aut μεστὴν γενομένην.

5 Moſ. Duſ. ſcribi vult αὑτῷ. Cf. Plut. T. II. p. 122. not. 4.

XXIV. Ἐπεὶ δὲ, τοῦ Λεωσθένους ἀποθανόντος, οἱ φοβούμενοι τὸν Φωκίωνα, μὴ στρατηγὸς ἐκπεμφθεὶς καταλύσῃ τὸν πόλεμον, ἄνθρωπόν τινα τῶν οὐκ ἐπιφανῶν ἐν ἐκκλησίᾳ παρεσκεύασαν ἀναστάντα λέγειν, ὅτι φίλος ὢν τοῦ Φωκίωνος καὶ συμπεφοιτηκὼς, παραινεῖ φείδεσθαι τοῦ ἀνδρὸς καὶ φυλάσσειν, ὡς ἄλλον ὅμοιον οὐκ ἔχοντας· ἐκπέμπειν δ' Ἀντίφιλον ἐπὶ τὸ στράτευμα· καὶ ταῦτα τοῖς Ἀθηναίοις συνεδόκει· παρελθὼν [1] ὁ Φωκίων ἔλεγε, μήτε συμπεφοιτηκέναι ποτὲ τῷ ἀνθρώπῳ, μήτ' ἄλλως γεγονέναι γνώριμος, ἢ συνήθης· Ἀλλὰ νῦν, εἶπεν, ἀπὸ τῆς σήμερον ἡμέρας καὶ φίλον σε ποιοῦμαι, καὶ οἰκεῖον· ἃ γὰρ ἦν ἐμοὶ συμφέροντα, συμβεβούλευκας. Ὡρμημένων δὲ τῶν Ἀθηναίων ἐπὶ τοὺς Βοιωτοὺς στρατεύειν, πρῶτον μὲν ἀντεῖχε· καὶ τῶν φίλων λεγόντων, ὡς ἀποθανεῖται προσκρούων τοῖς Ἀθηναίοις· Ἀδίκως, εἶπεν, ἂν ποιῶ τὸ συμφέρον· ἂν δὲ παραβαίνω, δικαίως. Ἐπεὶ δ' ὁρῶν οὐκ ἀνιέντας, ἀλλὰ βοῶντας, ἐκέλευσε τὸν κήρυκα ἀνειπεῖν· Ἀθηναίων τοὺς ἄχρις ἑξήκοντα ἐτῶν ἀφ' ἥβης [2], πέντε ἡμερῶν σιτία λαβόντας, εὐθὺς ἀκολουθεῖν ἀπὸ τῆς ἐκκλησίας. Θορύβου δὲ πολλοῦ γενομένου, καὶ τῶν πρεσβυτέρων βοώντων καὶ ἀναπηδώντων· Οὐδὲν, ἔφη, δεινόν· ἐγὼ γὰρ ὁ στρατηγὸς ὀγδοηκοστὸν ἔχων ἔτος ἔσομαι μεθ' ὑμῶν· Καὶ τότε μὲν οὕτως κατέπαυσεν αὐτοὺς καὶ μετέβαλε.

XXV. Πορθουμένης δὲ τῆς παραλίας ὑπὸ Μικίωνος συχνοῖς Μακεδόσι καὶ μισθοφόροις ἀποβεβηκότος εἰς Ῥαμνοῦντα, καὶ κατατρέχοντος τὴν χώραν, ἐξήγαγε τοὺς Ἀθη-

1 Addit Junt. post h. v. δὲ, quod excusari posse R. censet, ut more historicorum eleganter iteratum e δὲ ab init. capitis.

2 Hunc locum ab Interpp. non intellectum, mentemque auctoris miseris modis depravatam fuisse, adnotat Mos. Dus. & vult verti: *qui stipendia fecissent sexaginta.* Kind ita: die nach erlangter Mündigkeit sechszig Jahre noch gelebt hätten. Schirach: die über sechszig Jahr alt wären.

Ἀθηναίους ἐπ' αὐτόν. ὡς δὲ προστρέχοντες ἀλλαχόθεν ἄλλος διεστρατήγουν, καὶ συνεβούλευον αὐτῷ τὸν λόφον καταλαβεῖν, ἐκεῖ περιπέμψαι τοὺς ἱππέας, ἐνταῦθα παρεμβαλεῖν· Ὦ Ἡράκλεις, εἶπεν, ὡς πολλοὺς ὁρῶ στρατηγοὺς, ὀλίγους δὲ στρατιώτας! Ἐπεὶ δὲ, παρατάξαντος αὐτοῦ τοὺς ὁπλίτας, εἷς πολὺ πρὸ τῶν ἄλλων προῆλθεν· εἶτα δείσας, ἀντιστάντος ἀνδρὸς πολεμίου, πάλιν εἰς τὴν τάξιν ἀνεχώρησεν· Ὦ μειράκιον, εἶπεν, οὐκ αἰδῇ δύο τάξεις ἀπολελοιπὼς, ἣν ἐτάχθης ὑπὸ τοῦ στρατηγοῦ, καὶ πάλιν ἐφ' ἣν σεαυτὸν ἔταξας; Ἐμβαλὼν δὲ τοῖς πολεμίοις καὶ κατὰ κράτος τρεψάμενος, αὐτόν τε τὸν Μικίωνα καὶ πολλοὺς ἄλλους ἀπέκτεινε. τὸ δ' Ἑλληνικὸν ἐν Θετταλίᾳ στράτευμα, συμμίξαντος Ἀντιπάτρῳ Λεοννάτου, καὶ τῶν ἐξ Ἀσίας Μακεδόνων, ἐνίκα μαχόμενον [1]. καὶ Λεοννάτος ἔπεσεν, ἡγουμένου τῆς μὲν φάλαγγος Ἀντιφίλου, τῶν δ' ἱππέων τοῦ Θεσσαλοῦ Μένωνος.

XXVI. Ὀλίγῳ δ' [2] ὕστερον χρόνῳ Κρατεροῦ διαβάντος ἐξ Ἀσίας μετὰ πολλῆς δυνάμεως, καὶ γενομένης πάλιν ἐν Κράνωνι παρατάξεως, ἡττήθησαν μὲν οἱ Ἕλληνες, οὔτε μεγάλην ἧτταν, οὔτε πολλῶν πεσόντων· ἀπειθείᾳ δὲ πρὸς τοὺς ἄρχοντας, ἐπιεικεῖς [3] καὶ νέους ὄντας, καὶ ἅμα τὰς πόλεις αὐτῶν πειρῶντος Ἀντιπάτρου, διαρρυέντες, αἴσχιστα προήκαντο τὴν ἐλευθερίαν. εὐθὺς οὖν ἐπὶ τὰς Ἀθήνας ἄγοντος τοῦ Ἀντιπάτρου τὴν δύναμιν, οἱ μὲν περὶ Δημοσθένην καὶ Ὑπερίδην ἀπηλλάγησαν ἐκ τῆς πόλεως· Δημάδης δὲ, μηθὲν [4] μέρος, ὧν ὤφειλε, χρημάτων ἐπὶ ταῖς καταδίκαις ἐκτῖσαι τῇ πόλει δυνάμενος, (ἡλώκει γὰρ ἑπτὰ γραφὰς παρανόμων) καὶ γεγονὼς ἄτιμος, ἐξείργετο τοῦ λέγειν, ἄδειαν εὑρόμενος τότε, γρά-

1 V. e Junt. μαχόμενος.
2 Deest δ' Juntinae.
3 R. quaerit, num ἀνεπιεικεῖς?
4 Bryano ante hanc vocem videtur deesse ὃς.

γράφει ψήφισμα, καὶ πέμπει πρὸς Ἀντίπατρον ὑπὲρ εἰρήνης πρέσβεις αὐτοκράτορας. Φοβουμένου δὲ τοῦ δήμου, καὶ καλοῦντος [1] Φωκίωνα, καὶ μόνῳ πιστεύειν ἐκείνῳ λέγοντος· Ἀλλ' εἴγ' ἐπιστευόμην, εἶπεν, ἐγὼ συμβουλεύων ὑμῖν, οὐκ ἂν νῦν ἐβουλευόμεθα περὶ πραγμάτων τοιούτων. οὕτω δὲ τοῦ ψηφίσματος ἐπικυρωθέντος, ἀπεστάλη πρὸς Ἀντίπατρον ἐν τῇ Καδμείᾳ στρατοπεδεύοντα, καὶ παρασκευαζόμενον εὐθὺς εἰς τὴν Ἀττικὴν βαδίζειν. καὶ τοῦτο πρῶτον ᾔτει, τὸ μένοντα κατὰ χώραν ποιήσασθαι τὰς διαλύσεις. τοῦ δὲ Κρατεροῦ λέγοντος, ὡς οὐ δίκαια πείθει Φωκίων ἡμᾶς, τὴν τῶν συμμάχων καὶ φίλων καθημένους χώραν κακῶς ποιεῖν, δυναμένους ἐκ τῆς τῶν πολεμίων ὠφελεῖσθαι, λαβόμενος αὐτοῦ τῆς δεξιᾶς ὁ Ἀντίπατρος· Δοτέον, εἶπε, Φωκίωνι ταύτην τὴν χάριν. περὶ δὲ τῶν ἄλλων ἐκέλευσεν αὐτοῖς ἐπιτρέπειν τοὺς Ἀθηναίους, ὥσπερ ἐν Λαμίᾳ Λεωσθένει ἐκεῖνον [2].

XXVII. Ὡς οὖν ἐπανῆλθεν ὁ Φωκίων εἰς ἄστυ [3], καὶ τοῖς Ἀθηναίοις τὸ αὐτὸ ἔδοξεν ὑπ' ἀνάγκης, αὖθις εἰς Θήβας ἐβάδιζε μετὰ τῶν ἄλλων πρέσβεων, Ξενοκράτη τὸν φιλόσοφον τῶν Ἀθηναίων προελομένων [4]. τοσοῦτον γὰρ ἦν ἀξίωμα τῆς ἀρετῆς τοῦ Ξενοκράτους καὶ δόξα καὶ λόγος παρὰ πᾶσιν, ὡς οἴεσθαι μήτε ὕβριν εἶναι, μήτ' ὠμότητα, μήτε θυμὸν ἐν ἀνθρωπίνῃ ψυχῇ φυόμένον,

1 V. καλοῦντός τε pro καὶ καλ.

2 scil. ἐπιτρέψαι — seu verbis planioribus: ὥσπερ αὐτὸς (Antipater puta, qui hic loquitur) τότε Λεωσθένει ἐπέτρεψε περὶ τῶν Μακεδονικῶν καὶ ἑαυτοῦ. R. Pro Λεωσθένει Junt. Λεωσθένης (non Λεωσθένῃ, ut vult nota Reiskii) & V. ex ea. An vero textui respondeat Schirachi versio hujus loci, alii judicent. Haec est: wegen der übrigen Friedensbedingungen verlangte er, dass *die Athenienser sie ihm zu bestimmen gänzlich überlassen sollten, so wie er es in Lamia gegen den Leosthenes hätte thun sollen.*

3 V. εἰς τὸ ἄστυ. Pro seq. τὸ αὐτὸ idem ταῦτα, quod Duf. probat.

4 Mallim προσελομένων.

μενον, ὦ, Ξενοκράτȣς μόνον ὀφθέντος, ȣ̓κ ἂν αἰδȣ̃ς τι καὶ τιμῆς ἐγγένοιτο πρὸς αὐτόν. ἀπέβη δὲ τȣ̓ναντίον, ἀγνωμοσύνῃ τινὶ καὶ μισαγαθίᾳ τȣ̃ Ἀντιπάτρȣ. πρῶτον μὲν γὰρ ȣ̓κ ἠσπάσατο τὸν Ξενοκράτην, τȣ̀ς ἄλλȣς δεξιωσάμενος· ἐφ᾿ ᾧ φασὶν εἰπεῖν ἐκεῖνον, ὡς Ἀντίπατρος καλῶς ποιεῖ, μόνον αὐτὸν αἰσχυνόμενος ἐφ᾿ οἷς ἀγνωμονεῖν μέλλει πρὸς τὴν πόλιν. ἔπειτα λέγειν ἀρξάμενον ȣ̓χ ὑπομένων, ἀλλ᾿ ἀντικρȣ́ων καὶ δυσκολαίνων, ἐποίησεν ἀποσιωπῆσαι. τῶν δὲ περὶ τὸν Φωκίωνα διαλεχθέντων, ἀπεκρίνατο φιλίαν ἔσεσθαι τοῖς Ἀθηναίοις καὶ συμμαχίαν, ἐκδȣ̃σι μὲν τȣ̀ς περὶ Δημοσθένην καὶ Ὑπερίδην, πολιτευομένοις δὲ τὴν πάτριον ἀπὸ τιμήματος πολιτείαν, δεξαμένοις δὲ φρȣρὰν εἰς τὴν Μȣνυχίαν, ἔτι δὲ χρήματα τȣ̃ πολέμȣ καὶ ζημίαν προσεκτίσασιν. οἱ μὲν ȣ̓̃ν ἄλλοι πρέσβεις ἠγάπησαν ὡς φιλανθρώπȣς τὰς διαλύσεις, πλὴν τȣ̃ Ξενοκράτȣς. ἔφη γὰρ, ὡς μὲν δȣ́λοις, μετρίως κεχρῆσθαι τὸν Ἀντίπατρον· ὡς δ᾿ ἐλευθέροις, βαρέως. τȣ̃ δὲ Φωκίωνος παραιτȣμένȣ τὴν φρȣρὰν καὶ δεομένȣ, λέγεται τὸν Ἀντίπατρον εἰπεῖν. Ὦ Φωκίων, ἡμεῖς πάντα [1] σοι χαρίζεσθαι βȣλόμεθα, πλὴν τῶν καὶ σὲ ἀπολȣ́ντων καὶ ἡμᾶς. Οἱ δ᾿ ȣ̓χ ȣ̓́τως φασὶν, ἀλλ᾿ ἐρωτῆσαι τὸν Ἀντίπατρον, εἰ, τὴν φρȣρὰν ἀνέντος αὐτȣ̃ τοῖς Ἀθηναίοις, ὁ Φωκίων ἐγγυᾶται τὴν πόλιν ἐμμενεῖν [2] τῇ εἰρήνῃ, καὶ μηθὲν πολυπραγμονήσειν· σιωπῶντος δ᾿ ἐκείνȣ καὶ διαμέλλοντος, ἀναπηδήσαντα Καλλιμέδοντα τὸν Κάραβον, ἄνδρα θρασὺν καὶ μισόδημον, εἰπεῖν· Ἐὰν δ᾿ ȣ̓̃τος, ὦ Ἀντίπατρε, φλυαρῇ, σὺ πιστεύσεις, καὶ ȣ̓ πράξεις, ἃ ἔγνωκας;

XXVIII. Οὕτω μὲν [3] ἐδέξαντο φρȣρὰν Μακεδόνων Ἀθηναῖοι, καὶ Μένυλλον ἡγεμόνα, τῶν ἐπιεικῶν τινα,

[1] V. πάντας. Id. paulo post ἠρωτηθῆναι pro ἐρωτῆσαι, & in fin. cap. πιστεύεις pro πιστεύσεις.

[2] Sic Steph. dedit. In edd. prioribus ἐμμένειν.

[3] R. susp. ȣ̓̃τω μὲν ȣ̓̃ν.

τινα, καὶ τῶ Φωκίωνος ἐπιτηδείων. ἐφάνη δ' ὑπερήφανον τὸ πρόσταγμα, καὶ μᾶλλον ἐξυσίας ὕβρει χρωμένης ἐπίδειξις, ἢ πραγμάτων ἕνεκα γιγνομένη ἡ κατάληψις [1]. ὐ μικρὸν δὲ τῷ πάθει προσέθηκεν ὁ καιρός. εἰκάδι γὰρ ἡ Φρυρὰ Βοηδρομιῶνος εἰσήχθη, μυςηρίων ὄντων, ᾗ τὸν Ἴακχον ἐξ ἄςεος Ἐλευσίναδε πέμπυσιν. ὥςε, τῆς τελετῆς συγχυθείσης, ἀναλογίζεσθαι τὺς πολλὺς καὶ τὰ πρεσβύτερα τῶν θείων καὶ τὰ πρόσφατα. πάλαι μὲν γὰρ ἐν τοῖς ἀρίςοις εὐτυχήμασι [2] τὰς μυςικὰς ὄψεις καὶ φωνὰς παραγενέσθαι σὺν ἐκπλήξει καὶ θάμβει τῶν πολεμίων· νῦν δὲ τοῖς αὐτοῖς ἱεροῖς τὰ δυσχερέςατα πάθη τῆς Ἑλλάδος ἐπισκοπεῖν [3] τὺς θεὺς, καὶ καθυβρίζεσθαι τὸν ἁγιώτατον τῦ χρόνυ καὶ ἥδιςον αὐτοῖς ἐπώνυμον τῶν μεγίςων κακῶν γενόμενον. πρότερον μὲν ὖν ὀλίγοις ἔτεσι χρησμὸν ἐξήνεγκαν αἱ Δωδωνίδες τῇ πόλει, τὰ ἀκρωτήρια τῆς Ἀρτέμιδος [4] φυλάσσειν, ὅπως ἄλλοι μὴ λάβωσι· τότε δὲ περὶ τὰς ἡμέρας ἐκείνας αἱ ταινίαι μὲν, αἷς περιελίττυσι τὰς μυςικὰς κοίτας [5], βαπτόμεναι θάψινον ἀντὶ φοινικῦ χρῶμα καὶ νεκρῶδες

1 Cum artic. R. dedit. Anon. κατάλυσις.

2 Anon. μεγίςοις ἀτυχήμασι, quod probat Dacer. & R. — Vulgata tuenda videtur Mosi Duf.

3 R. fusp. ἐπισκοπεῖν ἐᾶν τὺς θεὺς, deos permittere, ut haec ipsa sacra Eleusinia (quae olim salutem ex insperato civibus attulissent, eoque clarissimam in famam issent) nunc a dirissimis Graeciae malis obumbrarentur, & ut, quod ipsis tempus antehac fuisset temporum omnium sanctissimum atque jucundissimum, id tempus nunc pollueretur teterrimis contumeliis, fieretque nobilitatum a summis Graeciae malis, ut jam nunc diceretur postmodum: in sacris Eleusiniis, per quae praesidium Macedonium Munychiam occupatum venit. Pro seq. τῦ χρόνυ R. mavult τῶν χρόνων.

4 Non fuit promontorium in Attica, hoc nomine insignitum. Bene, me judice, monent, qui Munychiam significari volunt, ubi, teste Pausania & Suida, fuit templum Dianae. Cf. Meurs. Piraeeus cap. 9.

5 Xyl. vertit *mysticas cistas.* Schirach: die heilige Wiege des Jacchus.

κρῶδες ἀνήνεγκαν [1]. ὃ δὲ μεῖζον ἦν, τὰ παραβαπτόμενα τῶν ἰδιωτικῶν πάντα τὸ προσῆκον ἄνθος ἔχε. μύςην δὲ λέοντα χοιρίδιον ἐν καθαρῷ λιμένι [2] κῆτος συνέλαβε, καὶ τὰ κάτω μέρη τȣ̃ σώματος ἄχρι τῆς κοιλίας κατέπιε· προδεικνύντος αὐτοῖς τȣ̃ θεȣ̃ φανερῶς [3], ὅτι τῶν κάτω καὶ πρὸς θαλάσσῃ ςερηθέντες, τὴν ἄνω πόλιν διαφυλάξȣσιν [4]. Ἡ μὲν ȣ̃ν Φρȣρὰ διὰ Μένυλλον ȣ̓δὲν ἠνίασε τȣ̀ς ἀνθρώπȣς. τῶν δ' ἀποψηφισθέντων τȣ̃ πολιτεύματος διὰ πενίαν ὑπὲρ μυρίȣς καὶ δισχιλίȣς γενομένων, οἵ τε μένοντες ἐδόκȣν σχέτλια καὶ ἄτιμα πάσχειν, οἵ τε διὰ τȣ̃το τὴν πόλιν ἐκλιπόντες, καὶ μεταςάντες εἰς Θρᾴκην, Ἀντιπάτρȣ γῆν καὶ πόλιν αὐτοῖς παρασχόντος, ἐκπεπολιορκημένοις ἐῴκεσαν.

XXIX. Ὁ δὲ Δημοσθένȣς ἐν Καλαυρίᾳ [5] καὶ Ὑπερίδȣ πρὸς Κλεωναῖς θάνατος, περὶ ὧν ἐν ἄλλοις προγέγραπται [6], μονονȣ̓κ ἔρωτα καὶ πόθον Ἀθηναίοις Ἀλεξάνδρȣ καὶ Φιλίππȣ παρίςη. καὶ ὅπερ [7] ὕςερον, ἀναιρεθέν-

1 referebant, extractae puta e cortina, vel catillo tinctorio. R.

2 Potest quidem his vocibus sensus aliquis subjici, ut scilicet significent *portum sine navibus*; sed non est dubium, quin conjectura Florentis Christiani in not. ad Aristoph. Εἰρήν., Dacerii, Meursii in Piraeeo, cap. 3. sit praeferenda, & reponendum Κανθάρῳ λιμένι. E tribus Piraeei portubus fuit unus *Cantharus*. Amplexi sunt hanc lectionem Bryanus, Kind & Schirach. Xyl. jam dubitavit, καθαρὸς λιμὴν an *purus* sit, an vero Catharus sit proprium.

3 V. προφανῶς.

4 R. susp. μάτην διαφυλ.

5 Sic scriptam dedit hanc vocem cum Junt. & Anon. Br. In reliquis edd. est Καλαβρίᾳ.

5 Sic R. de suo — *audum ante expositum est*, pro vulg. περιγέγραπται. In ind. Frft. adnotatum est γέγραπται, absque codicis nota; in Br. ind. tribuitur V.

6 Inter καὶ & ὅπερ vulgo datur τȣ̃το. Expunxit id R. cum postea suo loco recurrat. Alterum horum jam H. Steph. delendum, utrumque autem retinendum Mos. Dus. ob tantam, quae intercedit, intercapedinem, censuit.

ρεθέντος Ἀντιγόνου, καὶ τῶν ἀνελόντων ἐκεῖνον ἀρξαμένων βιάζεσθαι καὶ λυπεῖν τοὺς ἀνθρώπους, ἀνὴρ ἄγροικος ἐν Φρυγίᾳ χωρίον ὀρύττων, πυθομένου τινός· Τί ποιεῖς; στενάξας· Ἀντίγονον, εἶπε, ζητῶ· τοῦτο πολλοῖς·[1] ἐπῄει λέγειν, διαμνημονεύουσι τὸν ἐκείνων τῶν βασιλέων θυμὸν, ὡς τὸ μέγα καὶ γενναῖον εὐπαραίτητον εἶχον, οὐχ ὥσπερ Ἀντίπατρος [2], ὃς ἰδιώτου προσώπῳ, καὶ φαυλότητι χλαμυδίου, καὶ διαίτης εὐτελείᾳ κατειρωνευόμενος τὴν ἐξουσίαν, ἐπαχθέστερος [3] ἦν τοῖς πάσχουσι, κακὸς δεσπότης καὶ τύραννος [4]. ὅμως δ' οὖν ὁ Φωκίων καὶ φυγῆς ἀπήλλαξε πολλοὺς, δεηθεὶς τοῦ Ἀντιπάτρου· καὶ φεύγουσι διεπράξατο, μὴ καθάπερ οἱ λοιποὶ τῶν μεθισαμένων ὑπὲρ τὰ Κεραύνια ὄρη καὶ τὸν Ταίναρον ἐκπεσεῖν τῆς Ἑλλάδος, ἀλλ' ἐν Πελοποννήσῳ κατοικεῖν· ὧν καὶ Ἁγνωνίδης [5] ἦν, ὁ συκοφάντης. ἐπιμελόμενος δὲ τῶν κατὰ τὴν πόλιν πρᾴως καὶ νομίμως, τοὺς μὲν ἀστείους καὶ χαρίεντας ἐν ταῖς ἀρχαῖς ἀεὶ συνεῖχε· τοὺς δὲ πολυπράγμονας καὶ νεωτεριστὰς, αὐτῷ τῷ μὴ ἄρχειν, μηδὲ θορυβεῖν ἀπομαραινομένους, ἐδίδαξε φιλοχωρεῖν, καὶ ἀγαπᾶν γεωργοῦντας. ὁρῶν δὲ τὸν Ξενοκράτην τελοῦντα τὸ μετοίκιον, ἐβούλετο γράψαι πολίτην· ὁ δ' ἀπεῖπε, φήσας, οὐκ ἂν μεταχεῖν ταύτης τῆς πολιτείας, περὶ ἧς ἐπρέσβευεν, ἵνα μὴ γένηται.

XXX.

1 Athenienſium puta, veniebat in mentem de Philippo & Alexandro, ut ſimilia illi Phrygi & cogitarent & prae ſe ferrent. R.

2 Subaud. R. monente e praemiſſis εἶχε τὸν θυμόν. Idem ſeq. ὅς de ſuo addidit.

3 hoc moleſtior, quo contenderet magis externae ſpeciei vilitate poteſtatis amplitudinem diſſimulare; minus futurus moleſtus, ſi, quam exercebat poteſtatem, eam habitu rebusque aliis extraneis magis affectaſſet prodere atque jactare. R.

4 Teſte H. Steph. etiam legitur κακοῦ δεσπότου καὶ τυράννου. Praefert tamen idem vulgatam.

5 Junt. Ald. Crat. judice H. Steph. perperam Ἀγωνίδης.

XXX. Τοῦ δὲ Μενύλλου δωρεὰν αὐτῷ καὶ χρήματα διδόντος, ἀπεκρίνατο, μήτ' ἐκεῖνον Ἀλεξάνδρου βελτίονα εἶναι, μήτε κρείττονα τὴν αἰτίαν, ἐφ' ᾗ λήψεται νῦν ὁ τότε μὴ δεξάμενος. ἀλλὰ Φώκῳ γε τῷ παιδὶ λαβεῖν δεομένου τοῦ Μενύλλου· Φώκῳ μὲν, εἶπεν, ἐὰν μὲν σωφρονῇ μεταβαλλόμενος, ἀρκέσει τὰ τοῦ πατρός· ὡς δ' ἔχει νῦν, οὐδὲν ἱκανόν ἐστιν. Ἀντιπάτρῳ δὲ τραχύτερον ἀπεκρίνατο, βουλομένῳ τι γίνεσθαι δι' αὐτοῦ τῶν μὴ πρεπόντων· Οὐ δύναται γὰρ, εἶπεν, Ἀντίπατρος ἅμα μοι καὶ φίλῳ καὶ κόλακι χρῆσθαι. τὸν δ' Ἀντίπατρον αὐτὸν εἰπεῖν λέγουσιν, ὡς, δυεῖν αὐτῷ φίλων Ἀθήνησιν ὄντων, Φωκίωνος καὶ Δημάδου, τὸν μὲν λαβεῖν οὐ πέπεικε, τὸν δὲ διδοὺς οὐκ ἐμπέπληκε. καὶ μέντοι Φωκίων μὲν ὡς ἀρετὴν ἐπεδείκνυτο τὴν πενίαν, ἐν ᾗ τοσαυτάκις Ἀθηναίων στρατηγήσας καὶ βασιλεῦσι φίλοις χρησάμενος ἐγκατεγήρασε. Δημάδης δὲ τῷ πλούτῳ καὶ παρανομῶν ἐκαλλωπίζετο [1]. νόμου γὰρ ὄντος Ἀθήνησι τότε, μὴ χορεύειν ξένον, ἢ χιλίας ἀποτίνειν τὸν χορηγὸν, ἅπαντας εἰσαγαγὼν ξένους τοὺς χορεύοντας, ἑκατὸν ὄντας, ἅμα καὶ τὴν ζημίαν ἀνὰ χιλίας ὑπὲρ ἑκάστου εἰσήνεγκεν εἰς τὸ θέατρον. Δημέᾳ δὲ, τῷ υἱῷ, νύμφην ἀγόμενος· Ἐμοῦ μὲν, εἶπεν, ὦ παῖ, τὴν σὴν μητέρα γαμοῦντος, οὐδ' ὁ γείτων ᾔσθετο· τοῖς δὲ σοῖς γάμοις καὶ βασιλεῖς καὶ δυνάσται συγχορηγοῦσιν. ἐνοχλούντων δὲ τῷ Φωκίωνι τῶν Ἀθηναίων, ὅπως ἀπαλλάξῃ τὴν φρουρὰν πείσας τὸν Ἀντίπατρον, εἴτε μὴ προσδοκῶν πείσειν, εἴτε μᾶλλον ὁρῶν σωφρονοῦντα τὸν δῆμον καὶ πολιτευόμενον εὐτάκτως διὰ τὸν φόβον, ἐκείνην μὲν ἀεὶ διωθεῖτο τὴν πρεσβείαν, τὰ δὲ χρήματα μὴ πράττειν, ἀλλὰ μέλλειν καὶ ἀναβάλλεσθαι τὸν Ἀντίπα-

τίπα-

1 R. leg. censet aut Δημάδης δὲ πλουτῶν καὶ παρανομῶν ἐκαλλωπίζετο, aut Δημ. δὲ τῶν πλουτεῖν παρανομῶν ἐκαλλ. aut Δημ. δὲ τῷ πλουτῶν παρανομεῖν ἐκαλλ.

τίπατρον ἔπεισε. μεταβάντες οὖν Δημάδην παρεκάλουν. ὁ δὲ προθύμως ὑπέστη, καὶ τὸν υἱὸν ἔχων ἀπῆρεν εἰς Μακεδονίαν, ὑπὸ δαίμονός τινος, ὡς ἔοικεν, εἰς τοῦτο καιροῦ κομισθεὶς, ἐν ᾧ κατείχετο μὲν Ἀντίπατρος ἤδη νόσῳ, Κάσσανδρος δὲ τῶν πραγμάτων ἐγκρατὴς γεγονὼς, εὗρεν ἐπιστολὴν Δημάδου γεγραμμένην πρὸς Ἀντίγονον εἰς Ἀσίαν, παρακαλοῦντος αὐτὸν ἐπιφανῆναι τοῖς περὶ τὴν Ἑλλάδα καὶ Μακεδονίαν, ἐκ παλαιοῦ καὶ σαπροῦ κρεμαμένοις στήμονος· τὸν Ἀντίπατρον οὕτω σκώψαντος. ὡς οὖν εἶδεν αὐτὸν ἀφιγμένον ὁ Κάσσανδρος συνέλαβε, καὶ πρῶτα μὲν τὸν υἱὸν ἐγγὺς προαγαγὼν [1] προέσφαξεν, ὥστε καταδέξασθαι τοῖς κόλποις τὸ αἷμα τὸν πατέρα, καὶ καταπλησθῆναι τοῦ φόνου· μετὰ ταῦτα δ' εἰς ἀχαριστίαν αὐτὸν καὶ προδοσίαν πολλὰ λοιδορήσας καὶ καθυβρίσας ἀπέκτεινεν [2].

XXXI. Ἐπεὶ δ' Ἀντίπατρος, ἀποδείξας Πολυπέρχοντα [3] στρατηγὸν, Κάσσανδρον δὲ χιλίαρχον, ἐξέλιπεν. εὐθὺς διαναστὰς ὁ Κάσσανδρος καὶ προκαταλαμβάνων τὰ πράγματα, πέμπει κατὰ τάχος Νικάνορα τῷ Μενύλλῳ διάδοχον τῆς φυλαρχίας [4], πρὶν ἔκδηλον τὸν Ἀντιπάτρου θάνατον γενέσθαι, κελεύσας τὴν Μουνυχίαν παραλαβεῖν. γενομένου δὲ τούτου, καὶ μεθ' ἡμέρας ὀλίγας πυθομένων τῶν Ἀθηναίων, ὅτι τέθνηκεν ὁ Ἀντίπατρος, ἐν αἰτίαις ὁ Φωκίων ἦν, καὶ κακῶς ἤκουεν, ὡς προαισθόμενος, καὶ κατασιωπήσας, χάριτι

τοῦ

1 R. mavult προσαγαγὼν — *cum prope ad patrem Demadem adduxiſſet.* Id. in ſeq. mavult προαπέσφαξεν, *ante patrem jugulavit.* In Junt. Ald. & Crat. eſt προσέσφαξεν.

2 R. mavult ἐπαπέκτεινεν, filio ſuperjugulavit, ſecundum filium interemit.

3 V. & Anon. hic & infra Πολυσπέρχοντα ſcribunt. Dacer. tuetur vulgatam.

4 Br. cum Anon. leg. cenſet φρουραρχίας. R. vulgatam tuetur, quia Menyllus populi Athenienſis princeps fuerit, ii autem, qui integris populis praeſint, phylarchi audirentur.

τȣ̃ Νικάνορος. ὁ δὲ τȣ́των μὲν ȣ̓κ ἐφρόντιζεν. ἐντυγχάνων δὲ τῷ Νικάνορι καὶ διαλεγόμενος, εἴς τε τἆλλα τοῖς Ἀθηναίοις πρᾷον αὐτὸν καὶ κεχαρισμένον παρεῖχε, καὶ φιλοτιμίας τινὰς ἔπεισε καὶ δαπάνας ὑποστῆναι γενόμενον ἀγωνοθέτην.

XXXII. Ἐν τȣ́τῳ δὲ καὶ Πολυπέρχων τὴν τȣ̃ βασιλέως ἐπιμέλειαν ἔχων ὑφ᾽ αὑτῷ, καὶ καταπολιτευόμενος [1] τὸν Κάσσανδρον, ἔπεμψεν ἐπιστολὴν τοῖς ἐν ἄστει γεγραμμένην, ὡς τȣ̃ βασιλέως ἀποδιδόντος αὐτοῖς τὴν δημοκρατίαν, καὶ πολιτεύεσθαι κατὰ τὰ πάτρια πάντας Ἀθηναίȣς κελεύοντος. ἦν δὲ τȣ̃το κατὰ τȣ̃ Φωκίωνος ἐπιβȣλή. συσκευαζόμενος γὰρ εἰς ἑαυτὸν, ὡς μικρὸν ὕστερον ἔδειξε τοῖς ἔργοις, ὁ Πολυπέρχων τὴν πόλιν, ȣ̓δὲν ἤλπιζε περαίνειν, μὴ τȣ̃ Φωκίωνος ἐκπεσόντος· ἐκπεσεῖσθαι δ᾽ ἐκεῖνον, ἅμα τῶν ἀπεψηφισμένων ἐπιχυθέντων τῇ πολιτείᾳ, καὶ πάλιν τὸ βῆμα δημαγωγῶν κατασχόντων καὶ συκοφαντῶν. ὑποκινȣμένων δὲ πρὸς ταῦτα τῶν Ἀθηναίων, βȣλόμενος ἐντυχεῖν αὐτοῖς ὁ Νικάνωρ ἐν Πειραιεῖ, βȣλῆς γενομένης, παρῆλθε, τῷ Φωκίωνι ἐμπιστεύσας τὸ σῶμα. Δερκύλλȣ δὲ, τȣ̃ ἐπὶ τῆς χώρας στρατηγȣ̃, συλλαβεῖν αὐτὸν ἐπιχειρήσαντος, ἐκεῖνος μὲν προαισθόμενος ἐξεπήδησε, καὶ φανερὸς ἦν εὐθὺς ἀμυνȣ́μενος τὴν πόλιν. ὁ δὲ Φωκίων, ἐπὶ τῷ προέσθαι τὸν ἄνδρα καὶ μὴ κατασχεῖν ἐγκαλȣ́μενος, ἔφη, πιστεύειν μὲν τῷ Νικάνορι, καὶ μηδὲν ἀπ᾽ αὐτȣ̃ προσδοκᾷν δεινόν· εἰ δὲ μὴ, μᾶλλον ἐθέλειν ἀδικȣ́μενος, ἢ ἀδικῶν, φανερὸς γενέσθαι. τȣ̃το δ᾽ ὑπὲρ αὑτȣ̃ μὲν ἄν τινι σκοπȣ̃ντι δοκοίη καλοκἀγαθικῶς λελέχθαι καὶ γενναίως· ὁ δ᾽ εἰς πατρίδος ἀποκινδυνεύων σωτηρίαν, καὶ ταῦτα στρατηγὸς καὶ ἄρχων, ȣ̓κ οἶδα, μὴ μεῖζόν τι παραβαίνει [2] καὶ πρεσβύτερον τὸ πρὸς τȣ̀ς πολίτας δίκαιον. ȣ̓δὲ γὰρ ἐκεῖνό ἐστιν εἰπεῖν, ὅτι φο-

 βȣμε-

1 Mos. Dus. mavult καταπολιτευτόμενος.
2 Salvin. & Dacer. παραβαίνοι scribendum censent.

βȣμενος μὲν εἰς πόλεμον ἐμβαλεῖν τὴν πόλιν [1] ὁ Φωκίων, ἀπέχετο τȣ̃ Νικάνορος, ἄλλως δὲ πρȣβάλλετο τὴν πίςιν καὶ τὸ δίκαιον, ὅπως αἰδȣ́μενος ἐκεῖνον [2], ἡσυχίαν ἄγῃ, καὶ μηδὲν ἀδικῇ τȣ̀ς Ἀθηναίȣς· ἀλλ' ὄντως ἔοικεν ἰσχυρά τις αὐτῷ περὶ τȣ̃ Νικάνορος ἐγγενέσθαι πίςις, ὅν γε πολλῶν προδιαβαλλόντων [3] καὶ κατηγορȣ́ντων ἐπιτίθεσθαι τῷ Πειραιεῖ, καὶ διαβιβάζειν εἰς Σαλαμῖνα ξένȣς, καὶ διαφθείρειν τινὰς τῶν ἐν Πειραιεῖ κατοικȣ́ντων, ȣ̓ προσήκατο τὸν λόγον, ȣ̓δ' ἐπίςευσεν· ἀλλὰ καὶ Φιλομήδȣ τȣ̃ Λαμπρέως ψήφισμα γράψαντος, Ἀθηναίȣς ἅπαντας ἐν τοῖς ὅπλοις εἶναι, καὶ τῷ ςρατηγῷ Φωκίωνι προσέχειν, ἠμέλησεν, ἄχρις ȣ̓ προσάγων ὁ Νικάνωρ ἐκ τῆς Μȣνυχίας τὰ ὅπλα τὸν Πειραιᾶ περιετάφρευσε.

XXXIII. Πραττομένων δὲ τȣ́των, ὁ μὲν Φωκίων ἐθορυβεῖτο, καὶ κατεφρονεῖτο, τȣ̀ς Ἀθηναίȣς ἐξάγειν βȣλόμενος· Ἀλέξανδρος δ', ὁ Πολυπέρχοντος υἱός, ἧκε μετὰ δυνάμεως, λόγῳ μὲν ἐπὶ τὸν Νικάνορα τοῖς ἐν ἄςει βοηθήσων, ἔργῳ δὲ τὴν πόλιν, εἰ δύναιτο, καταληψόμενος, αὐτὴν ἑαυτῇ περιπετῆ γενομένην. οἵ τε γὰρ φυγάδες αὐτῷ συνεισβαλόντες, εὐθὺς ἦσαν ἐν ἄςει· καὶ τῶν ξένων ἅμα καὶ τῶν ἀτίμων πρὸς αὐτȣ̀ς εἰσδραμόντων, ἐκκλησία παμμιγὴς ἠθροίσθη καὶ ἄτακτος, ἐν ᾗ τὸν Φωκίωνα τῆς ἀρχῆς ἀπολύσαντες, ἑτέρȣς εἵλοντο ςρατηγȣ́ς. εἰ δὲ μὴ συνιὼν εἰς λόγȣς ὁ Ἀλέξανδρος τῷ Νικάνορι μόνος, παρὰ τὸ τεῖχος ὤφθη, καὶ τȣ̃το ποιȣ̃ντες πολλάκις, ὑποψίαν τοῖς Ἀθηναίοις παρέχον, ȣ̓κ ἂν ἡ πόλις διέφυγε τὸν κίνδυνον. ἐπεὶ δ' Ἀγνωνίδης, ὁ ῥήτωρ, εὐθὺς ἐπεφύετο τοῖς περὶ τὸν Φωκίωνα, καὶ κατη-

1 V. εἰς πόλιν.

2 Junt. Ald. Crat. deeſt haec vox. V. & Anon. ἐκεῖνος, quod Br. probat.

3 Sic R. dedit de ſuo pro vulg. προσδιαβ. — *multis Nicanorem ante criminantibus de machinatione Piraei occupandi, antequam id exſequeretur.*

κατηγόρει προδοσίας, οἱ μὲν περὶ Καλλιμέδοντα καὶ Χαρικλέα [1] φοβηθέντες ἀπῆλθον ἐκ τῆς πόλεως· ὁ δὲ Φωκίων, καὶ μετ' αὐτȣ̃ τῶν φίλων οἱ παραμείναντες ᾤχοντο πρὸς Πολυπέρχοντα· καὶ συνεξῆλθον αὐτοῖς, χάριτι τȣ̃ Φωκίωνος, ὁ Πλαταιεὺς Σόλων, καὶ Δείναρχος ὁ Κορίνθιος, ἐπιτήδειοι τȣ̃ Πολυπέρχοντος εἶναι δοκȣ̃ντες καὶ συνήθεις. ἀῤῥωστίᾳ δὲ χρησαμένȣ τȣ̃ Δεινάρχȣ, συχνὰς ἡμέρας ἐν Ἐλατείᾳ διέτριψαν. ἐν αἷς Ἀγνωνίδȣ πείσαντος, Ἀρχεστράτȣ δὲ τὸ ψήφισμα γράψαντος, ἔπεμπε πρεσβείαν ὁ δῆμος κατηγορήσȣσαν τȣ̃ Φωκίωνος. ἅμα δὲ καὶ συνέμιξαν ἀμφότεροι τῷ Πολυπέρχοντι, μετὰ τȣ̃ βασιλέως πορευομένῳ, περὶ κώμην τινὰ τῆς Φωκίδος, Φάρυγας, κειμένην περὶ τὸ Ἀκρȣ́ριον ὄρος, ὃ νῦν Γαλάτην καλȣ̃σιν. ἐνταῦθα δὴ θεὶς ὁ Πολυπέρχων τὸν χρυσȣ̃ν ȣ̓ρανίσκον, καὶ καθίσας ὑπ' αὐτῷ τὸν βασιλέα καὶ τȣ̀ς φίλȣς, τὸν μὲν Δείναρχον εὐθὺς ἐκ προόδȣ [2] λαβεῖν ἐκέλευσε, καὶ στρεβλώσαντας ἀποκτεῖναι, τοῖς δ' Ἀθηναίοις ἀπέδωκε λόγον. ὡς δὲ θόρυβον καὶ κραυγὴν ἐποίȣν, ἀντικατηγορȣ̃ντες ἀλλήλων ἐν τῷ συνεδρίῳ, καὶ προσελθὼν ὁ Ἀγνωνίδης εἶπεν· Ἅπαντας ἡμᾶς εἰς μίαν ἐμβαλόντες γαλεάγραν, Ἀθηναίοις ἀναπέμψατε λόγον ὑφέξοντας· ὁ μὲν βασιλεὺς ἐγέλασεν, οἱ δὲ περιεστῶτες τῷ συνεδρίῳ Μακεδόνες καὶ ξένοι σχολὴν ἄγοντες, ἐπεθύμȣν ἀκȣ́ειν, καὶ τȣ̀ς πρέσβεις παρεκάλȣν ἀπὸ νεύματος, ἐνταῦθα ποιεῖσθαι τὴν κατηγορίαν. ἦν δ' ȣ̓δὲν ἴσον, ἀλλὰ τῷ μὲν Φωκίωνι πολλάκις ἀντέκρȣσεν ὁ Πολυπέρχων λέγοντι· μέχρις ȣ̃ τῇ βακτηρίᾳ πατάξας [3] τὴν γῆν, ἀπέστη καὶ κατεσιώπησεν.



1 Sic Br. dandum cenſuit, deditque R. pro vulg. Περικλέα. Infra cum eodem Callimedonte nominatur, in fin. c. 35.

2 R. monente, ἐκ προόδου, ſi bene habet haec lectio, idem videtur eſſe ac πρόσοδος, *aditus ad regem*, *proceſſus*.

3 R. ſuſp. πατάξαντος, ſcil. Polyperchonte, cum πατάξας ad Phocionem rediret, quem accuſatum & captivum credibile non ſit cum baculo ad regem admiſſum fuiſſe.

πησεν. Ἡγήμονος δὲ φήσαντος, ὅτι μάρτυς αὐτῷ τῆς πρὸς τὸν δῆμον εὐνοίας Πολυπέρχων ἐσί· καὶ τȣ̃ Πολυπέρχοντος ἀποκριναμένȣ πρὸς ὀργήν· Παῦσαί μȣ πρὸς τὸν βασιλέα καταψευδόμενος· ἀναπηδήσας ὁ βασιλεὺς ὥρμησε λόγχῃ τὸν Ἡγήμονα πατάξαι. ταχὺ δὲ τȣ̃ Πολυπέρχοντος περιλαβόντος αὐτὸν, ȣ̃τω διελύθη τὸ συνέδριον.

XXXIV. Τὸν δὲ Φωκίωνα καὶ τȣ̀ς μετ' αὐτȣ̃ φυλακῆς περιεχȣ́σης, ὅσοι τῶν ἑταίρων ἔτυχον ȣ̓κ ἐγγὺς ἑςῶτες, ὡς τȣ̃τ' εἶδον, ἐγκαλυψάμενοι, καὶ διαφυγόντες ἐσώθησαν. ἐκείνȣς δὲ Κλεῖτος εἰς Ἀθήνας ἀνῆγε, λόγῳ μὲν κριθησομένȣς, ἔργῳ δ' ἀποθανεῖν κατακεκριμένȣς. καὶ προσῆν τὸ σχῆμα τῇ κομιδῇ λυπηρὸν, ἐφ' ἁμάξαις κομιζομένων αὐτῶν διὰ τȣ̃ Κεραμεικȣ̃ πρὸς τὸ θέατρον. ἐκεῖ γὰρ αὐτȣ̀ς προσαγαγὼν ὁ Κλεῖτος συνεῖχεν· ἄχρις ȣ̓ τὴν ἐκκλησίαν ἐπλήρωσαν [1] οἱ ἄρχοντες, ȣ̓ δȣ̃λον, ȣ̓ ξένον, ȣ̓κ ἄτιμον ἀποκρίναντες, ἀλλὰ πᾶσι καὶ πάσαις ἀναπεπταμένον τὸ βῆμα καὶ τὸ θέατρον παρασχόντες. ἐπεὶ δ' ἥ τ' ἐπιςολὴ τȣ̃ βασιλέως ἀνεγνώσθη, λέγοντος αὐτῷ μὲν ἐγνῶσθαι προδότας γεγονέναι τȣ̀ς ἄνδρας, ἐκείνοις δὲ διδόναι τὴν κρίσιν ἐλευθέροις γε δὴ [2] καὶ αὐτονόμοις ȣ̓̃σι, καὶ τȣ̀ς ἄνδρας ὁ Κλεῖτος εἰσήγαγεν· οἱ μὲν βέλτιςοι τῶν πολιτῶν, ὀφθέντος τȣ̃ Φωκίωνος, ἐνεκαλύψαντο, καὶ κάτω κύψαντες ἐδάκρυον· εἷς δ' ἀναςὰς ἐτόλμησεν εἰπεῖν, ὅτι, τηλικαύτην κρίσιν ἐγκεχειρικότος τῷ δήμῳ τȣ̃ βασιλέως, καλῶς ἔχει τȣ̀ς δȣ́λȣς καὶ τȣ̀ς ξένȣς ἀπελθεῖν ἐκ τῆς ἐκκλησίας. ȣ̓κ ἀνασχομένων δὲ τῶν πολλῶν, ἀλλ' ἀνακραγόντων βάλλειν τȣ̀ς ὀλιγαρχικȣ̀ς καὶ μισοδήμȣς. ἄλλος μὲν ȣ̓δεὶς ὑπὲρ τȣ̃ Φωκίωνος ἐπεχείρησεν εἰπεῖν, αὐτὸς

1 Sic R. de ſuo dedit pro vulg. ἐκλήρωσαν — *plenam & legitimam concionem contraxiſſent.*

2 γε R. de ſuo dedit pro vulg. τε. V. & Anon. ἐλευθέροις ἤδη, quod probavit Moſ. Duſ.

αὐτὸς δὲ χαλεπῶς καὶ μόλις ἐξακουσθείς· Πότερον, εἶπεν, ἀδίκως, ἢ δικαίως, ἀποκτεῖναι βούλεσθε ἡμᾶς; Ἀποκριναμένων δέ τινων, ὅτι δικαίως· Καὶ τοῦτο, ἔφη, πῶς γνώσεσθε, μὴ ἀκούσαντες; Ἐπεὶ δ' οὐδὲν μᾶλλον ἤκουον, ἐγγυτέρω προσελθών· Ἐγὼ μὲν, εἶπεν, ἀδικεῖν ὁμολογῶ, καὶ θανάτου τιμῶμαι τὰ πεπολιτευμένα ἐμαυτῷ· τούτους δ', ἄνδρες Ἀθηναῖοι, διὰ τί ἀποκτενεῖτε, μηδὲν ἀδικοῦντας; Ἀποκριναμένων δὲ πολλῶν· Ὅτι σοὶ φίλοι εἰσίν· ὁ μὲν Φωκίων ἀποστὰς ἡσυχίαν ἦγεν· ὁ δ' Ἁγνωνίδης ψήφισμα γεγραμμένον ἔχων ἀνέγνω, καθ' ὃ τὸν δῆμον ἔδει χειροτονεῖν περὶ τῶν ἀνδρῶν, εἰ δοκοῦσιν ἀδικεῖν· τοὺς δ' ἄνδρας, ἂν καταχειροτονηθῶσιν [1], ἀποθνήσκειν.

XXXV. Ἀναγνωσθέντος δὲ τοῦ ψηφίσματος, ἠξίουν τινὲς προσγράφειν, ὅπως καὶ στρεβλωθεὶς Φωκίων ἀποθάνοι, καὶ τὸν τροχὸν εἰσφέρειν, καὶ τοὺς ὑπηρέτας καλεῖν προσέταττον. ὁ δ' Ἁγνωνίδης καὶ τὸν Κλεῖτον ὁρῶν δυσχεραίνοντα, καὶ τὸ πρᾶγμα βαρβαρικὸν εἶναι καὶ μιαρὸν ἡγούμενος· Ὅταν, ἔφη, Καλλιμέδοντα τὸν μαστιγίαν λάβωμεν, ὦ ἄνδρες Ἀθηναῖοι, [λαβόντες στρεβλώσομεν [2].] περὶ δὲ Φωκίωνος [3] οὐδὲν ἐγὼ γράφω τοιοῦτον. ἐνταῦθα τῶν ἐπιεικῶν τις ὑπεφώνησεν· Ὀρθῶς γε σὺ ποιῶν· ἂν γὰρ Φωκίωνα βασανίσωμεν, σὲ τί ποιήσομεν; Ἐπικυρωθέντος [4] δὲ τοῦ ψηφίσματος, καὶ τῆς χειροτονίας ἀποδοθείσης, οὐδεὶς καθήμενος, ἀλλὰ πάντες ἐξαναστάντες, οἱ δὲ πλεῖστοι καὶ στεφανωσάμενοι, κατεχειροτόνησαν αὐτῶν θάνατον. ἦσαν δὲ σὺν τῷ Φω-



1 V. ἀποχειροτονηθῶσιν.

2 Duo haec vocabula R. uncis inclusit, cum non ferendum sit, praemissis ὅταν λάβωμεν subjici λαβόντες. Suband. τότε ποιήσομεν; servato στρεβλώσομεν pro λαβόντες legendum τότε.

3 Vulgo τοῦ Φωκ. R. articulum expunxit, auctoritate Juntinae motus. Nec est in Ald. & Crat.

4 R. quaerit, ecqui ratum dici fierique possit decretum, de quo nondum in suffragia missa concio fuit.

Φωκίωνι Νικοκλῆς, Θέδιππος, Ἡγήμων, Πυθοκλῆς· Δημητρίε δὲ τε Φαληρέως, καὶ Καλλιμέδοντος, καὶ Χαρικλέες, καί τινων ἄλλων ἀπόντων κατεψηφίσθη θάνατος.

XXXVI. Ὡς ἐν διαλύσαντες τὴν ἐκκλησίαν ἦγον εἰς τὸ δεσμωτήριον τὲς ἄνδρας, οἱ μὲν ἄλλοι, περιπλεκομένων τῶν φίλων αὐτοῖς καὶ οἰκείων, ὀδυρόμενοι καὶ καταθρηνεντες ἐβάδιζον· τὸ δὲ Φωκίωνος πρόσωπον, οἷον ὅτε [1] ςρατηγῶν ἀπ' ἐκκλησίας πρεπέμπετο, βλέποντες, ἐθαύμαζον τὴν ἀπάθειαν καὶ μεγαλοψυχίαν τε ἀνδρός. οἱ δ' ἐχθροὶ κακῶς ἔλεγον παρατρέχοντες· εἷς δὲ καὶ προσέπτυσεν ἐξεναντίας προσελθών. ὅτε καὶ τὸν Φωκίωνα λέγεται βλέψαντα πρὸς τὲς ἄρχοντας εἰπεῖν· Οὐ παύσει τις ἀσχημονεντα τετον; Ἐπεὶ δὲ Θέδιππος ἐν τῷ δεσμωτηρίῳ γενόμενος, καὶ τὸ κώνειον ὁρῶν τριβόμενον, ἠγανάκτει, καὶ κατέκλαιε τὴν συμφορὰν, ὡς ἐ προσηκόντως τῷ Φωκίωνι συναπολλύμενος· Εἶτ' ἐκ ἀγαπᾷς, εἶπεν, ὅτι μετὰ Φωκίωνος ἀποθνήσκεις; Ἐρομένε δέ τινος τῶν φίλων, εἴ τι πρὸς Φῶκον λέγει, τὸν υἱόν· Πάνυ μὲν ἐν, ἔφη, λέγω [2] μὴ μνησικακεῖν Ἀθηναίοις. τε δὲ Νικοκλέες, ὃς ἦν αὐτῷ πιςότατος τῶν φίλων, παρακαλεντος, ὅπως αὐτὸν ἐάσῃ τὸ φάρμακον πιεῖν πρότερον· Βαρὺ μὲν, εἶπεν, ὦ Νικόκλεις, ἐμοὶ τὸ αἴτημα καὶ λυπηρόν· ἐπεὶ δ' ἐδ' ἄλλο [3] ἐδέποτέ σοι παρὰ τὸν βίον ἐδὲν ἠχαρίσησα, καὶ τετο συγχωρῶ. Πεπωκότων δ' ἤδη πάντων [4], τὸ φάρμακον ἐπέλιπε, καὶ ὁ δημόσιος ἐκ ἔφη τρίψειν ἕτερον, εἰ

1 Junt. Ald. Crat. οἷον ὥσπερ.

2 V. λέγων.

3 Sic R. dedit Juntinae auctoritate pro vulg. ἐδὲν ἄλλο. Est & idem in Ald. & Crat.

4 *Omnes* appellat, praeter Nicoclem & Phocionem, aut hunc unum. R.

εἰ μὴ λάβοι δώδεκα δραχμὰς, ὅσȣ τὴν ὁλκὴν [1] ὠνεῖται. χρόνȣ δὲ γενομένȣ [2] καὶ διατριβῆς, ὁ Φωκίων καλέσας τινὰ τῶν Φίλων καὶ εἰπὼν, εἰ μηδὲ ἀποθανεῖν Ἀθήνησι δωρεάν ἐςιν, ἐκέλευσε τῷ ἀνθρώπῳ δȣ̃ναι τὸ κερμάτιον.

XXXVII. Ἦν δ' ἡμέρα μηνὸς Μȣνυχιῶνος ἐνάτη ἐπὶ δέκα, καὶ τῷ Διῒ τὴν πομπὴν πέμποντες οἱ ἱππεῖς παρεξῄεσαν. ὧν οἱ μὲν ἀΦείλοντο τὰς ςεΦάνȣς, οἱ δὲ πρὸς τὰς θύρας δεδακρυμένοι τῆς εἱρκτῆς ἀπέβλεψαν. ἐΦάνη δὲ τοῖς μὴ παντάπασιν ὠμοῖς καὶ διεΦθαρμένοις [3] ὑπ' ὀργῆς καὶ Φθόνȣ τὴν ψυχὴν, ἀνοσιώτατον γεγονέναι, τὸ μηδ' ἐπισχεῖν τὴν ἡμέραν ἐκείνην, μηδὲ καθαρεῦσαι δημοσίȣ Φόνȣ τὴν πόλιν ἑορτάζȣσαν. ȣ̉ μὴν ἀλλ' ὥσπερ ἐνδεέςερον [4] ἠγωνισμένοις τοῖς ἐχθροῖς ἔδοξε καὶ τὸ σῶμα τȣ̃ Φωκίωνος ἐξορίσαι, καὶ μηδὲ πῦρ ἐναῦσαι μηδένα πρὸς τὴν ταΦὴν Ἀθηναίων. διὸ Φίλος μὲν ȣ̉δεὶς ἐτόλμησεν ἅψασθαι τȣ̃ σώματος· Κωνωπίων δέ τις ὑπȣργεῖν εἰθισμένος τὰ τοιαῦτα μισθȣ̃ [5], κομισθέντα τὸν νεκρὸν ὑπὲρ τὴν Ἐλευσῖνα, πῦρ λαβὼν ἐκ τῆς Μεγαρικῆς [6] ἔκαυσεν. ἡ δὲ Μεγαρικὴ γυνὴ παρȣ̃σα μετὰ τῶν θεραπαινίδων, ἔχωσε μὲν αὐτόθι χῶμα κενὸν καὶ κατέσπεισεν· ἐνθεμένη δὲ τῷ κόλπῳ [7] τὰ



1 R. monente, ὁλκὴ poteſt quoque eſſe hauſtus, tantum cicutae, quantum ſatis ſit ad hominem perimendum — *ein Zug* — quantum unus ſemel hauriat.

2 R. mavult ἐγγενομένȣ.

3 V. διεσπαρμένοις.

4 quaſi nondum omnia feciſſent, quae neceſſaria viderentur ad inimicum ſuum devincendum, & ad declarandam ſuae de ipſo victoriae certitudinem. R.

5 Poſt hanc vocem R. dedit comma, quod & voluit H. Steph. Vulgo poſt τοιαῦτα interpungitur.

6 ſcil. γῆς vel χώρας. In ſeq. R. ſuſp. ἔκαυσεν· ἐκεῖ δὲ Μεγαρικὴ γυνὴ —

7 R. ſuſp. τῇ κάλπῃ, *urnae*, cum alias vocabulum mox ſequens κύκλῳ foret e ſede ſua transſerendum, & pone κατώρυξε

τὰ ὀςᾶ, καὶ κομίσασα νύκτωρ εἰς τὴν οἰκίαν, κατώρυξε παρὰ τὴν ἑςίαν, εἰπȣ̃σα· Σοὶ, ὦ Φίλη ἑςία, παρακατατίθεμαι ταῦτα ἀνδρὸς ἀγαθȣ̃ λείψανα· σὺ δ' αὐτὰ τοῖς πατρῴοις ἀπόδος ἠρίοις, ὅταν Ἀθηναῖοι σωφρονήσωσι.

XXXVIII. Καὶ μέντοι χρόνȣ βραχέος διαγενομένȣ, καὶ τῶν πραγμάτων διδασκόντων, οἷον ἐπισάτην καὶ φύλακα σωφροσύνης καὶ δικαιοσύνης ὁ δῆμος ἀπώλεσεν, ἀνδριάντα μὲν αὐτȣ̃ χαλκȣ̃ν ἀνέςησαν [1], ἔθαψαν δὲ δημοσίοις τέλεσι τὰ ὀςᾶ. τῶν δὲ κατηγόρων Ἀγνωνίδην μὲν αὐτοὶ θάνατον καταχειροτονήσαντες ἀπέκτειναν· Ἐπίκȣρον δὲ καὶ Δημόφιλον, ἀποδράντας ἐκ τῆς πόλεως, ἀνευρὼν ὁ τȣ̃ Φωκίωνος υἱὸς ἐτιμωρήσατο. τȣ̃τον ȣ̓́τε τἄλλα σπȣδαῖον ἄνδρα γενέσθαι φασὶ, καὶ παιδίσκης ἐρῶντα παρὰ πορνοβοσκῷ τρεφομένης, κατὰ τύχην Θεοδώρῳ τῷ ἀθέῳ παραγενέσθαι, λόγον ἐν Λυκείῳ [2] διαλεγομένῳ τοιȣ̃τον· Εἰ τὸ φίλον [3] λύσασθαι μὴ αἰσχρόν ἐςιν, ȣ̓δὲ τὸ φίλην ὁμοίως· εἰ δὲ μὴ τὸ ἑταῖρον, ȣ̓δὲ τὸ ἑταίραν· θέμενον ȣ̓̃ν ἑαυτῷ πρὸς τὴν ἐπιθυμίαν τὸν λόγον, ὡς εὖ ἔχοντα, λύσασθαι τὴν ἑταίραν. ἀλλὰ τὰ μὲν περὶ Φωκίωνα πραχθέντα τῶν περὶ

ρυξε collocandum. Ei res haec esse videtur: Mulier illa Megarica ab ancillis suis curabat foveam effodi, quasi ossa & cineres hominis exusti contumulatura. Verum erat hic tantummodo mimus tumuli. Tumulus ipse vacuus manebat: ossa & cineres seponebantur tantisper in urna, quam sub noctem illa ablatam de latebra deportabat in domum suam secum & ad focum defodiebat. — κατέσπεισε, defundebat super tumulo, tametsi vacuo, inferias, ad fidem ignaris faciendam, hominis exuvias ibi sepultas jacere. Junt. κατέπεισε.

1 V. ἔςησαν. Id. in seq. ῥητόρων pro κατηγόρων.

2 Sic H. Steph. scribi voluit, deditque R. cum Anon. pro vulg. Λυκίῳ.

3 Sic Br. legendum censuit, & R. dedit ex Junt. Ald. Crat. pro vulg. τὸν φίλον, quod ex Steph. prodiit. Τὸ cohaeret cum λύσασθαι, non cum φίλον. V. articulum omisisse videtur.

ρὶ Σωκράτην πάλιν ἀνέμνησε τοὺς Ἕλληνας, ὡς ὁμοιοτάτης ἐκείνῃ [1] τῆς ἁμαρτίας ταύτης καὶ δυστυχίας τῇ πόλει γενομένης.

## ΚΑΤΩΝ Ο ΝΕΩΤΕΡΟΣ.

Κάτωνι δὲ τὸ μὲν γένος ἀρχὴν ἐπιφανείας ἔλαβε καὶ δόξης ἀπὸ τοῦ προπάππου Κάτωνος, ἀνδρὸς ἐν δόξῃ καὶ δυνάμει μάλιστα Ῥωμαίων γενομένου δι' ἀρετήν, ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται· κατελείφθη δὲ γονέων ὀρφανὸς μετ' ἀδελφοῦ Καιπίωνος καὶ Πορκίας ἀδελφῆς. ἦν δὲ καὶ Σερβιλία Κάτωνος ὁμομήτριος ἀδελφή. καὶ πάντες οὗτοι παρὰ Λιβίῳ Δρούσῳ τροφὴν καὶ δίαιταν εἶχον, θείῳ μὲν ὄντι πρὸς μητρὸς [2], ἄγοντι δὲ τὴν πολιτείαν τότε. καὶ γὰρ εἰπεῖν δεινότατος ἦν, καὶ τἄλλα σώφρων ἀνὴρ ἐν τοῖς μάλιστα, καὶ φρονήματος οὐδενὶ Ῥωμαίων ὑφιέμενος. λέγεται δὲ Κάτων εὐθὺς ἐκ παιδίου τῇ τε φωνῇ, καὶ τῷ προσώπῳ, καὶ ταῖς περὶ τὰς παιδιὰς διατριβαῖς ἦθος ὑποφαίνειν ἄτρεπτον καὶ ἀπαθὲς καὶ βέβαιον ἐν πᾶσιν. ἰσχύν τε γὰρ εἶχον αὐτοῦ παρ' ἡλικίαν τελεσιουργὸν αἱ ὁρμαί· καὶ τοῖς κολακεύουσι τραχὺς ὢν καὶ προσάντης, ἔτι μᾶλλον ἐκράτει τῶν ἐκφοβούντων. ἦν δὲ καὶ πρὸς γέλωτα κομιδῇ δυσκίνητος, ἄχρι μειδιάματος σπανίως τῷ προσώπῳ διαχεόμενος, καὶ πρὸς ὀργὴν οὐ ταχύς, οὐδ' ὀλισθηρός· ὀργισθεὶς δὲ, δυσπαραίτητος. ὡς οὖν εἰς τὸ μανθάνειν ἧκε, νωθρὸς ἦν ἀναλαβεῖν καὶ βραδύς· ἀναλαβὼν δὲ, κάτοχος καὶ μνημονικός. ὃ δὴ καὶ πέφυκεν ἄλλως [3], τοὺς μὲν

1 Sic R. de ſuo dedit pro vulg. ἐκείνης, & in ſeq. ταύτης ex Junt. Ald. Crat. pro vulg. ταύτῃ.

2 Sic Xyl. & Dacer. legendum eſſe monuerunt, & dedit R. cum Anon. pro vulg. τῆς μητρὸς.

3 Ald. & Crat. ἄλλων.

μὲν εὐφυεῖς ἀναμνηςικὲς [1] μᾶλλον εἶναι, μνημονικὲς δὲ, τὲς μετὰ πόνε καὶ πραγματείας παραδεχομένες [2]. γίνεται γὰρ οἷον ἔκκαυμα τῆς ψυχῆς τῶν μαθημάτων ἕκαςον. ἔοικε δὲ καὶ τὸ δύσπειςον [3] τῷ Κάτωνι ποιεῖν ἐργωδεςέραν τὴν μάθησιν. πάσχειν γάρ τι τὸ μανθάνειν ἀτεχνῶς ἐςι, καὶ τὸ πείθεσθαι ταχὺ τοῖς ἧττον ἀντέχειν δυναμένοις συμβέβηκε. διὸ πείθονται μᾶλλον νέοι γερόντων, καὶ νοσῦντες ὑγιαινόντων. καὶ ὅλως, ἐν οἷς τὸ ἀπορῦν ἀσθενέςατόν ἐςι, ῥᾷςον τὸ προστιθέμενον. τῷ μέντοι παιδαγωγῷ τὸν Κάτωνα πείθεσθαι μὲν λέγεσι, καὶ ποιεῖν ἅπαν τὸ προστατ]όμενον, ἑκάςε δὲ τὴν αἰτίαν ἀπαιτεῖν, καὶ τὸ διὰ τί πυνθάνεσθαι. καὶ γὰρ ἦν χαρίεις ὁ παιδαγωγὸς αὐτῦ, καὶ λόγον ἔχων τῦ κονδύλε προχειρότερον, ὄνομα Σαρπηδών.

II. Ἔτι δὲ παιδὸς τῦ Κάτωνος ὄντος, ἔπραττον οἱ σύμμαχοι τῶν Ῥωμαίων, ὅπως μεθέξεσι τῆς ἐν Ῥώμῃ πολιτείας· καὶ [4] Πομπαίδιος Σίλλων, ἀνὴρ πολεμικὸς,

1 Br. videtur dici debuisse ἀμνηςικὲς, quod & Interpp. omnes secutos esse monet. R. vulgatam tuetur & explicat: ea mentis natura praediti, ut, cum memoria effluxisset ipsorum id, quod aliquando ante percepisset, facile tamen, levissimo quoque nutu, vel signo, commonefacti, ejus rursus recordentur. Eidem sunt μνημονικοὶ, qui, quod semel percepissent, non facile sibi ex animo patiantur elabi, sed tenaciter teneant.

2 V. ἀναδεχομένες. Pro ἔκκαυμα Anon. ἔγγαυμα adjunctis his: sed pro eo tamen sine dubio ἔγκαυμα scribendum fuit. Pro μαθημάτων V. παθημάτων. Locum hunc Schirach sic vertit: *denn die erlernten Begriffe werden ihrer Seele wie eingebrannt*, ut metaphora desumta sit ab inustione notarum, in cutem facta. Alios, qui vertunt ἔκκαυμα fax animi, vel cum Dacerio, une sorte de flamme, qui l'allume l'ame, reprehendit. Non tamen *omnes*, quod contendit, interpp. tam perverse hunc locum intellexerunt. Xyl. saltim vertit: quasi *inuruntur eorum animis*.

3 Sic cum Junt. & V. dedit R. pro vulg. δύσπιςον. Idem jam Cruf. probavit & Br.

4 V. καὶ ῎Τις Πομπ. Xyl. legendum monet *Silo Popedius*. Cf. Plut. T. III. pag. 109. not. 1.

μικὸς, καὶ μέγιστον ἔχων ἀξίωμα, τοῦ δὲ Δρούσου φίλος, κατέλυσε παρ' αὐτῷ πλείονας ἡμέρας· ἐν αἷς γεγονὼς τοῖς παιδίοις συνήθης· Ἄγε, εἶπεν, ὅπως ὑπὲρ ἡμῶν δεήσεσθε τοῦ θείου συναγωνίσασθαι περὶ τῆς πολιτείας. ὁ μὲν οὖν Καιπίων [1] διαμειδιάσας ἐπένευσε· τοῦ δὲ Κάτωνος οὐδὲν ἀποκριναμένου, καὶ βλέποντες εἰς τοὺς ξένους ἀτενὲς καὶ βλοσυρὸν, ὁ Πομπαίδιος· Σὺ δ', εἶπεν, ἡμῖν, ὦ νεανία, τί λέγεις; οὐχ οἷος εἶ τοῖς ξένοις συλλαμβάνεσθαι πρὸς τὸν θεῖον, ὥσπερ ὁ ἀδελφός; μὴ φθεγγομένου δὲ τοῦ Κάτωνος, ἀλλὰ τῇ σιωπῇ καὶ τῷ προσώπῳ δοκοῦντος ἀπολέγεσθαι τὴν δέησιν, ἀράμενος αὐτὸν ὁ Πομπαίδιος ὑπὲρ θυρίδος, ὡς ἀφήσων, ὁμολογεῖν ἐκέλευεν, ἢ ῥίψειν ἔφασκεν· ἅμα τῇ τε φωνῇ τραχυτέρᾳ χρώμενος, καὶ ταῖς χερσὶν ἀπηρτημένον τὸ σῶμα πολλάκις ὑπὲρ τῆς θυρίδος κραδαίνων. ἐπεὶ δὲ πολὺν χρόνον οὕτω διεκαρτέρησεν ὁ Κάτων ἀνέκπληκτος καὶ ἀδεὴς, καταθέμενος αὐτὸν ὁ Πομπαίδιος, ἡσυχῇ πρὸς τοὺς φίλους εἶπεν· Οἷον εὐτύχημα τῆς Ἰταλίας ὁ παῖς οὗτός ἐστιν. εἰ δ' ἀνὴρ ἦν, μίαν οὐκ ἂν οἶμαι ψῆφον ἡμῖν ἐν τῷ δήμῳ γενέσθαι. πάλιν δὲ συγγενοῦς τινος ἐν γενεθλίοις καλέσαντος ἐπὶ δεῖπνον ἄλλους τε παῖδας καὶ τοὺς περὶ Κάτωνα, σχολὴν ἄγοντες ἔν τινι μέρει τῆς οἰκίας ἔπαιζον αὐτοὶ καθ' ἑαυτοὺς ἀναμεμιγμένοι νεώτεροι καὶ πρεσβύτεροι. τὸ δὲ παιζόμενον ἦν δίκαι καὶ κατηγορίαι, καὶ ἀγωγαὶ τῶν ἁλισκομένων. εἷς οὖν τῶν ἑαλωκότων παίδων, εὐπρεπὴς τὴν ὄψιν, ὑπὸ πρεσβυτέρου παιδὸς ἀχθεὶς εἴς τι δωμάτιον καὶ εἱρχθεὶς, ἐπεκαλεῖτο τὸν Κάτωνα. ταχὺ δὴ τὸ γινόμενον συνεὶς, ἧκεν ἐπὶ τὰς θύρας ὁ Κάτων, καὶ διωσάμενος τοὺς προεστῶτας καὶ διακωλύοντας, ἐξήγαγε τὸν παῖδα· καὶ μετ' ὀργῆς ἔχων ἀπῆλθεν οἴκαδε, καὶ παῖδες ἕτεροι συνηκολούθησαν.

III.

[1] Sic nomen hoc dandum esse, Xyl. monuit, non Καπίων, uti extat in Junt. Ald. Crat.

III. Οὕτω δ' ἦν περιβόητος, ὥςτ', ἐπεὶ [1] Σύλλας τὴν παιδικὴν καὶ ἱερὰν ἱπποδρομίαν, ἣν καλοῦσι Τροίαν, ἐπὶ θέαν [2] διδάσκων, καὶ συναγαγὼν τοὺς εὐγενεῖς παῖδας, ἀπέδειξεν ἡγεμόνας δύο, ὧν τὸν μὲν ἕτερον οἱ παῖδες ἐδέξαντο διὰ τὴν μητέρα, (Μετέλλης γὰρ ἦν υἱὸς, τῆς Σύλλα γυναικὸς) τὸν δ' ἕτερον, ἀδελφιδοῦν ὄντα Πομπηΐου, Σέξτον, οὐκ εἴων, οὐδ' ἐβούλοντο μελετᾷν, οὐδ' ἕπεσθαι. πυνθανομένου δὲ τοῦ Σύλλα, τίνα βούλοιντο, πάντες ἐβόησαν· Κάτωνα· καὶ ὁ μὲν [3] Σέξτος αὐτὸς εἴξας παρῆκεν ὡς κρείττονι τὴν φιλοτιμίαν. ἔτυχε δὲ καὶ φίλος ὢν ὁ Σύλλας πατρικὸς αὐτοῖς, καί ποτε προσηγάγετο καὶ προσωμίλησεν· ὀλίγοις πάνυ νέμων τοιαύτην φιλοφροσύνην διὰ βάρος καὶ ὄγκον, ἧς εἶχεν, ἀρχῆς καὶ δυνάμεως. μέγα δὴ ποιούμενος ὁ Σαρπηδὼν τοῦτο πρὸς τιμὴν ἅμα καὶ ἀσφάλειαν, ἦγεν ἀσπασόμενον τὸν Κάτωνα συνεχῶς εἰς τὴν οἰκίαν τοῦ Σύλλα, μηδὲν τό γε [4] προσιδεῖν ἀσεβῶν χώρου διαφέρουσαν, ὑπὸ πλήθους τῶν ἀγομένων [5] καὶ στρεβλουμένων. ἦν μὲν οὖν ἔτος ἐκεῖνο τῷ Κάτωνι τεσσαρεσκαιδέκατον. ἰδὼν δὲ κεφαλὰς ἐπιφανῶν ἀνδρῶν λεγομένων ἐκκομιζομένας, καὶ κρύφα τοὺς παρόντας ἐπιστένοντας, ἠρώτησε τὸν παιδαγωγὸν, ὅ τι δὴ τοῦτον τὸν ἄνθρωπον οὐδεὶς ἀποκτίννυσιν. εἰπόντος

1 V. ἐπειδή.

2 R. ad haec: perinde eſt, ἐπὶ θέαν, an ἐπὶ θέᾳ legatur — cum liberos inſtituendos curaret hac ludicra exercitatione, quo poſſent eam ſpectatoribus in theatrum congreſſis in ſcena reddere.

3 Sic R. dedit de ſuo pro vulg. ὅ τε. Idem ſeq. παρῆκεν e Junt. revocavit, quod etiam eſt in Ald. & Crat. pro vulg. παρεῖχεν. Moſ. Duſ. voluit παρεῖκεν. Monet adhuc R. αὐτὸς h. l. ſignificare *ultro*, *ſponte ſua*; bene quoque hinc ablatum, collocari poſſe poſt φίλος ſeq. lin. *ipſe quoque Sylla* —

4 Sic R. de ſuo dedit. Vulgo τότε.

5 Moſi Duſ. haec vox non videtur conveniens, & reponendum videtur ἀγχομένων. R. autem ſubandiri vult πρὸς ἀνάκρισιν καὶ βάσανον, vel ἐπὶ θανάτῳ.

τος δ' ἐκείνου· Φοβοῦνται γὰρ αὐτὸν, ὦ παῖ, μᾶλλον, ἢ μισοῦσι. Τί οὖν, εἶπεν, οὐκ ἐμοὶ ξίφος ἔδωκας, ἵν' αὐτὸν ἀνελὼν ἀπήλλαξα δουλείας τὴν πατρίδα; Τοῦτον τὸν λόγον ἀκούσας ὁ Σαρπηδὼν, ἅμα καὶ τὸ βλέμμα καὶ τὸ πρόσωπον πιμπλάμενον αὐτοῦ ὀργῆς καὶ μένους κατιδὼν, οὕτως ἔδεισεν, ὥστε τὸ λοιπὸν ἤδη προσέχειν ἀκριβῶς καὶ παραφυλάττειν, μή τι τολμήσῃ παραβολώτερον. Ἔτι μὲν οὖν παιδάριον ὢν μικρὸν, ἀπεκρίνατο τοῖς ἐρωτῶσι, τίνα φιλεῖ μάλιστα; τὸν ἀδελφόν· τίνα δεύτερον; ὁμοίως τὸν ἀδελφόν· καὶ τρίτον; ἄχρις οὗ πολλάκις λέγοντος [1] ἀπεῖπεν ὁ ἐρωτῶν. γενόμενος δ' ἐν ἡλικίᾳ, μᾶλλον ἐβεβαίου τὴν πρὸς τὸν ἀδελφὸν εὔνοιαν. ἔτη γὰρ εἴκοσι γεγονὼς, χωρὶς Καιπίωνος οὐκ ἐδείπνησεν, οὐκ ἀπεδήμησεν, εἰς ἀγορὰν οὐ προῆλθε. μύρον δ' ἐκείνου λαμβάνοντος, αὐτὸς παρῃτεῖτο· καὶ τἄλλα τὰ περὶ τὴν δίαιταν ἦν ἀκριβὴς καὶ σύντονος. ὅ γ' οὖν Καιπίων ἐπὶ σωφροσύνῃ καὶ μετριότητι θαυμαζόμενος, ὡμολόγει τοιοῦτος εἶναι, πρὸς τοὺς ἄλλους ἐξεταζόμενος· ἀλλ' ὅταν, ἔφη, παρὰ τὸν Κάτωνος βίον παραβάλω τὸν ἐμὸν, οὐδὲν ἐμαυτῷ φαίνομαι Σιππίου διαφέρειν· τῶν ἐπὶ τρυφῇ τινα καὶ μαλακίᾳ περιβοήτων [2] ὀνομάσας.

IV. Ὁ δὲ Κάτων, ἐπειδὴ τὴν ἱερωσύνην ἔλαβε τοῦ Ἀπόλλωνος, μετοικήσας, καὶ νειμάμενος μοῖραν τῶν πατρῴων, ἑκατὸν εἴκοσι ταλάντων γενομένην, τὴν μὲν δίαιταν ἔτι μᾶλλον συνέστειλεν· Ἀντίπατρον δὲ Τύριον [3] τῶν ἀπὸ τῆς Στοᾶς φιλοσόφων προσεταιρισάμενος, τοῖς ἠθικοῖς μάλιστα καὶ πολιτικοῖς ἐνεφύετο δόγμασι, περὶ πᾶσαν μὲν ἀρετὴν ὥσπερ ἐπιπνοίᾳ τινὶ κατάσχετος γεγονὼς, διαφόρως δὲ τοῦ καλοῦ τὸ περὶ τὴν δικαιοσύνην ἀτενὲς, καὶ ἄκαμπτον εἰς ἐπιείκειαν, ἢ χάριν, ὑπερηγαπηκώς.

1 scil. τοῦ Κάτωνος ταὐτὸ, aut τὸν ἀδελφόν.
2 Junt. τὸν — περιβόητον.
3 R. susp. τὸν Τύριον.

κώς. ἤσκει δὲ καὶ τὸν ὀργανικὸν εἰς πλήθη λόγον [1], ἀξιῶν, ὥσπερ ἐν πόλει μεγάλῃ, τῇ πολιτικῇ φιλοσοφίᾳ καὶ μάχιμόν εἶναί τι παρατρεφόμενον. ὐ μέντοι μεθ' ἑτέρων ἐποιεῖτο τὰς μελέτας, ὐδ' ἠκροάσατο λέγοντος ὐδείς· ἀλλὰ καὶ πρός τινα τῶν ἑταίρων εἰπόντα· Μέμφονταί σε, Κάτων, οἱ ἄνθρωποι τὴν σιωπήν· Μόνον, ἔφη, μὴ τὸν βίον. ἄρξομαι δὲ λέγειν, ὅταν μὴ μέλλω λέγειν ἄξια σιωπῆς.

V. Ἡ δὲ καλυμένη Πορκία βασιλικὴ τιμητικὸν ἦν ἀνάθημα τῦ παλαιῦ Κάτωνος· εἰωθότες ὖν ἐκεῖ χρηματίζειν οἱ δήμαρχοι, καὶ κίονος τοῖς δίφροις ἐμποδὼν εἶναι δοκῦντος, ἔγνωσαν ὑφελεῖν αὐτὸν, ἢ μεταστῆσαι. τῦτο Κάτωνα πρῶτον εἰς ἀγορὰν ἄκοντα προήγαγεν. ἀντέστη γὰρ αὐτοῖς, καὶ πεῖραν ἅμα τῦ λόγυ καὶ τῦ φρονήματος δὺς ἐθαυμάσθη. καὶ γὰρ ὁ λόγος νεαρὸν μὲν ὐδὲν, ὐδὲ κομψὸν εἶχεν, ἀλλ' ἦν ὄρθιος καὶ περιπληθὴς καὶ τραχύς [2]. ὐ μὴν ἀλλὰ καὶ χάρις ἀγωγὸς ἀκοῆς ἐπέτρεχε τῇ βραχύτητι τῶν νοημάτων, καὶ τὸ ἦθος αὐτῦ καταμιγνύμενον ἡδονήν τινα καὶ μειδίαμα τῷ σεμνῷ παρεῖχεν ὐκ ἀπάνθρωπον [3]. ἡ δὲ φωνὴ, μεγέθει μὲν ἀποχρῶσα, καὶ διαρκὴς εἰς τοσῦτον ἐξικέσθαι δῆμον, ἰχὺν δὲ καὶ τόνον ἄῤῥηκτον εἶχε καὶ ἄτρυτον. ἡμέραν γὰρ ὅλην εἰπὼν πολλάκις, ὐκ ἀπηγόρευσε. τότε δ' ὖν κρατήσας τῆς δίκης, πάλιν ἑαυτὸν εἰς τὴν σιωπὴν καὶ τὴν ἄσκησιν συνέστειλε· καὶ διεπόνει τὸ σῶμα γυμνασίοις ἐνεργοῖς, ἐθιζόμενον ἀνέχεσθαι καὶ καύματα καὶ νιφετὸν ἀκαλύπτῳ κεφαλῇ, καὶ βαδίζειν ἐν ταῖς ὁδοῖς πᾶσαν ὥραν ἄτερ

1 R. docente, ὀργανικὸς λόγος est ea eloquentia, quae, tanquam aura quaedam, plebem, velut organum quoddam pneumaticum, movet & concitat. Opponitur umbratili, scholasticae, mere theoretlcae seu speculativae.

2 Aut βραχὺς h. l. cum sequatur βραχύτητι, aut pro hac voce τραχύτητι cum Anon. reponendum censet Mos. Dus.

3 Steph. & Frft. ἐπάνθρωπον. Hinc in ind. Var. ex Anon. notatum legitur ἀπάνθρωπον.

ὄντερ ὀχήματος. τῶν δὲ φίλων οἱ συνεκδημοῦντες ἵπποις ἐχρῶντο, καὶ πολλάκις ἑκάστῳ παρέβαλλεν ὁ Κάτων, ἐν μέρει προσδιαλεγόμενος, περιπατῶν αὐτὸς, ὀχουμένῳ [1]. θαυμαστῇ δὲ καὶ περὶ τὰς νόσους ὑπομονῇ μετ' ἐγκρατείας ἐχρῆτο. πυρέττων γὰρ μόνος ἐφ' ἑαυτοῦ [2] διημέρευε, μηδένα προσιέμενος, ἄχρις οὗ βέβαιον αἴσθοιτο ῥᾳστώνην καὶ μεταβολὴν τοῦ νοσήματος.

VI. Ἐν δὲ τοῖς δείπνοις ἐκληροῦτο περὶ τῶν μερίδων. εἰ δ' ἀπολάχοι, πρῶτον αἴρειν τῶν φίλων κελευόντων, ἔλεγε, μὴ καλῶς ἔχειν, ἀκούσης τῆς Ἀφροδίτης [3]. καὶ κατ' ἀρχὰς μὲν ἅπαξ ἐπιπιὼν [4] ἐπὶ τὸ δεῖπνον ἀνέλυεν, προϊόντι δὲ τῷ χρόνῳ μάλιστα προσίετο πίνειν [5], ὥστε πολλάκις ἐν οἴνῳ διάγειν εἰς ὄρθρον. αἰτίαν δ' ἔλεγον οἱ φίλοι τούτου τὴν πολιτείαν καὶ τὰ δημόσια πράγματα, πρὸς οἷς ὅλας τὸν Κάτωνα τὰς ἡμέρας ὄντα, καὶ κωλυόμενον φιλολογεῖν, νύκτωρ καὶ παρὰ πότον συγγίνεσθαι τοῖς φιλοσόφοις. διὸ καὶ Μεμμίου τινὸς ἐν συλλόγῳ φήσαντος, ὅλας τὸν Κάτωνα μεθύσκεσθαι τὰς νύκτας, ὑπολαβὼν ὁ Κικέρων· Ἐκεῖνο δ' οὐ λέγεις, εἶπεν, ὅτι καὶ τὰς ἡμέρας ὅλας κυβεύει [6]. καθόλου δὲ τοῖς τότε βίοις καὶ ἐπιτηδεύμασιν ὁ Κάτων τὴν

1 Sic Duſ. cum V. dari voluit, deditque R. pro vulg. ὀχουμένων, (non vitioſa quidem lectione) ut conſentiat cum praeced. ἑκάστῳ. H. Steph. ſuſp. αὐτῶν ὀχουμένων. Cf. cap. 9. eandemque hanc obſervabis conſtructionem ὧν ὀχουμένων — περιπατῶν ἑκάστῳ παρέβαλλεν.

2 V. ἐφ' ἑαυτόν.

3 *Venus* eſt fortunatiſſimus talorum jactus. Solebant in conviviis magiſterium bibendi talis ſortiri; & hoc modo etiam partes ciborum fuiſſe ſorte ductas, hinc apparet. Xyl.

4 Anon. ἅπαξ πιὼν, ἔπειτα. Hinc Duſ. locum melius habere cenſet, ſi legatur ἐπιπιὼν, ἔπειτα τὸ δ. α. R. quaerit, num ἐπὶ τὸν κοῖτον, aut ἐπὶ τὴν κοίτην ἀνέλυεν?

5 R. mavult τὸ πίνειν.

6 H. Steph. mavult haec interrogative legi.

τὴν ἐναντίαν ὁδὸν οἰόμενος δεῖν βαδίζειν, ὡς ἔσι Φαύλοις καὶ μεγάλης δεομένοις μεταβολῆς, ἐπεὶ πορφύραν ἑώρα τὴν κατακόρως ἐρυθρὰν καὶ ὀξεῖαν ἀγαπωμένην, αὐτὸς ἐφόρει τὴν μέλαιναν. πολλάκις δ᾽ ἀνυπόδητος καὶ ἀχίτων εἰς τὸ δημόσιον προῄει μετ᾽ ἄρισον, ȣ δόξαν ἐκ ταύτης τῆς καινότητος θηρώμενος, ἀλλ᾽ ἐθίζων ἑαυτὸν ἐπὶ τοῖς αἰσχροῖς αἰσχύνεσθαι μόνοις [1], τῶν δ᾽ ἄλλων ἀδόξων καταφρονεῖν. καὶ κληρονομίαν δ᾽ αὐτῷ προσγενομένην ἀνεψιȣ̃ Κάτωνος ἑκατὸν ταλάντων εἰς ἀργύριον συναγαγὼν, παρεῖχεν ἄνευ τόκων χρῆσθαι τῷ δεομένῳ τῶν Φίλων. ἔνιοι δὲ καὶ χωρία καὶ θεράποντας αὐτȣ̃ διδόντος καὶ βεβαιȣ̃ντος ὑπέθεντο πρὸς τὸ δημόσιον.

VII. Ἐπεὶ δ᾽ ὥραν ᾤετο πρὸς γάμον ἔχειν, ȣ̓δεμιᾷ γυναικὶ συνεληλυθὼς, ἡρμόσατο Λεπίδαν, πρότερον μὲν ἐγγυηθεῖσαν Σκιπίωνι Μετέλλῳ, τότε δ᾽, ἀπειπαμένȣ τȣ̃ Σκιπίωνος, καὶ τῆς ἐγγύης λυθείσης, σχολάζȣσαν. ȣ̓ μὴν ἀλλὰ πρὸ τȣ̃ γάμȣ μεταμεληθεὶς [2] πάλιν ὁ Σκιπίων, καὶ πάντα ποιήσας, ἔλαβε τὴν κόρην. ὁ δὲ Κάτων σφόδρα παροξυνθεὶς καὶ διακαεὶς, ἐπεχείρησε μὲν ἐπεξελθεῖν διὰ δίκης· ὡς δ᾽ οἱ Φίλοι τȣ̃τ᾽ ἐκώλυσαν, ὀργῇ καὶ νεότητι τρέψας ἑαυτὸν εἰς ἰάμβȣς, πολλὰ τὸν Σκιπίωνα καθύβρισε, τῷ πικρῷ προσχρησάμενος τȣ̃ Ἀρχιλόχȣ, τὸ δ᾽ ἀκόλασον ἀφεὶς καὶ παιδαριῶδες. ἔγημε δ᾽ Ἀτιλίαν [3], Σωῤῥανȣ̃ θυγατέρα, καὶ ταύτῃ πρώτον συνῆλθεν, ȣ̓ μόνῃ δὲ, καθάπερ Λαίλιος, ὁ Σκιπίωνος ἑταῖρος· ἀλλ᾽ εὐτυχέσερος ἐκεῖνος, ἐν πολλοῖς, οἷς ἐβίωσε, χρόνοις, μίαν, ἣν ἔγημεν ἐξ ἀρχῆς, γνȣ̀ς γυναῖκα.

VIII. Τȣ̃ δὲ δȣλικȣ̃ πολέμȣ συνεςῶτος, ὃν Σπαρτάκειον ἐκάλȣν, Γέλλιος μὲν ἐςρατήγει, Κάτων δὲ τῆς ςρα-

1 V. μόνον.
2 V. μεταβληθεὶς.
3 V Ἀτ7ιλίαν; Id. Σωρανȣ̃ pro Σωῤῥ. quod probat Duf.

ϛρατείας [1] μετεῖχεν ἐθελοντὴς, διὰ τὸν ἀδελφόν· ἐχιλίαρχει γὰρ ὁ ἀδελφὸς αὐτȣ̃, Καιπίων. καὶ χρήσαθαι μὲν εἰς ὅσον ἐβȣ́λετο τῇ προθυμίᾳ καὶ ἀσκήσει τῆς α... ȣ̓κ ὑπῆρξεν αὐτῷ, διὰ τὸ μὴ καλῶς ϛρατηγεῖσθαι τὸν πόλεμον· ἄλλως δὲ, παρὰ πολλὴν μαλακίαν καὶ τρυφὴν τῶν ἐκεῖ ϛρατευομένων, ἐπιδεικνύμενος εὐταξίαν, καὶ ἀναγκαίαν ανδρείαν, καὶ τὸ θαῤῥαλέον ἐν πᾶσι καὶ ξυνετὸν, ἐδόκει μηθὲν ἀποδεῖν τȣ̃ παλαιȣ̃ Κάτωνος. ὁ δὲ Γέλλιος ἀριϛείας καὶ τιμὰς αὐτῷ διαπρεπεῖς ἔγραψεν, ἃς ἐκεῖνος ȣ̓κ ἔλαβεν, ȣ̓δὲ προσήκατο, φήσας, ἄξιον μηθὲν εἰργάσθαι τιμῶν. ἔκ τε δὴ τȣ́των ἀλλόκοτος ἐδόκει· καὶ νόμȣ γραφέντος, ὅπως τοῖς παραγγέλλȣσιν εἰς [2] ἀρχὴν ὀνοματολόγοι μὴ παρῶσι, χιλιαρχίαν μετιὼν, μόνος ἐπείθετο [3] τῷ νόμῳ, καὶ δι' αὐτȣ̃ ποιησάμενος ἔργον ἀσπάζεσθαι καὶ προσαγορεύειν τȣ̀ς ἐντυγχάνοντας, ȣ̓δ' αὐτοῖς ἀνεπαχθὴς ἦν τοῖς ἐπαινȣ̃σιν, ὅσον μᾶλλον ἐνόȣν τὸ καλὸν ὧν ἐπετήδευεν, τὸ δυσμίμητον αὐτῶν βαρυνομένοις.



1 Sic cum Anon. dedit R. pro vulg. *ϛρατηγίας*.

2 Junt. Ald. Crat. *ὡς*. V. paulo post *ὀνοματολόγοις*.

3 Sic cum Anon. dandum censuit Duſ. deditque R. pro vulg. *ἐπέθετο*. Sic quoque Lapus & Cruſ. vertunt. *Nomenclator* (*ὀνοματολόγος*) erat ſervus, qui candidatum ſequebatur, eumque civium nomina docebat, quos ille compellaret, atque ut ſibi faverent, oraret. Idem *monitor* dicebatur, &, auctore Feſto, *fartor*, quod clam veluti inferciret in aures candidati nomina ſalutandorum civium. Xyl. tuetur *ἐπέθετο*, ſenſumque ei tribuit *impugnandi*, *reſiſtendi*, & pro *αὐτȣ̃* legit *αὑτȣ̃*, omnia referens ad Cic. Orat. pro Mur. c. 36. qua diſerte Catoni objicitur his verbis: *Quid quod habes nomenclatorem?* H. Steph. quosdam codices pro *δι' αὐτȣ̃*, exhibere *διὰ τȣ̃το* teſtatur, nec probat Xyl. verſionem, lectionem defendens, quae nunc datur. Quod ad legem ipſam attinet, Moſi Duſ. ea non videtur fuiſſe diuturna, ſed antiquata, cum Cicero Murenam defendit, adeoque Plutarchus non ex Cicerone hanc hiſtoriam petiiſſe cenſendus.

IX. Ἀποδειχθεὶς δὲ χιλίαρχος, εἰς Μακεδονίαν ἐπέμπετο [1] πρὸς Ῥούβριον τὸν στρατηγόν. ἔνθα δὴ λέγεται, τῆς γυναικὸς ἀχθομένης [2] καὶ δακρυούσης, ἕνα τῶν φίλων τοῦ Κάτωνος, Μουνάτιον, εἰπεῖν· Ὦ Ἀτιλία, θάρσει· τοῦτον ἐγώ σοι φυλάξω· Πάνυ μὲν οὖν, φάναι τὸν Κάτωνα· καὶ προελθόντα μιᾶς ἡμέρας ὁδὸν, εὐθὺς εἰπεῖν μετὰ τὸ δεῖπνον· Ἄγε, ὅπως, ὦ Μουνάτιε, τῇ Ἀτιλίᾳ τὴν ὑπόσχεσιν ἐμπεδώσῃς, μήτε ἡμέρας ἐμοῦ, μήτε νυκτὸς, ἀφιστάμενος. ἐκ δὲ τούτου δύο κλίνας εἰς ταὐτὸ δωμάτιον ἐκέλευσε τίθεσθαι, καὶ τὸν Μουνάτιον οὕτως ἀεὶ καθεύδειν μετὰ παιδιᾶς φυλασσόμενον ὑπὸ τοῦ Κάτωνος. εἵποντο δ' αὐτῷ πεντεκαίδεκα μὲν οἰκέται, δύο δ' ἀπελεύθεροι, φίλοι δὲ τέσσαρες. ὧν ὀχουμένων ἵπποις, αὐτὸς ἀεὶ περιπατῶν ἑκάστῳ παρέβαλλεν, ἐν μέρει προσδιαλεγόμενος. ἐπεὶ δ' ἧκεν εἰς τὸ στρατόπεδον, πλειόνων ταγμάτων ὄντων, ἑνὸς ἄρχων ἀποδειχθεὶς ὑπὸ τοῦ στρατηγοῦ, τῆς μὲν ἰδίας ἀρετῆς, μιᾶς οὔσης, μικρὸν ἔργον ἡγεῖτο καὶ οὐ βασιλικὸν τὴν ἐπίδειξιν· αὐτῷ δὲ ποιῆσαι τοὺς ἀρχομένους ὁμοίους μάλιστα φιλοτιμούμενος, οὐ τὸν φόβον ἀφεῖλε τῆς ἐξουσίας, ἀλλὰ προσέθηκε τὸν λόγον· ᾧ πείθων περὶ ἑκάστου καὶ διδάσκων, ἑπομένης τιμῆς καὶ κολάσεως, χαλεπὸν ἦν εἰπεῖν, πότερον εἰρηνικοὺς μᾶλλον, ἢ πολεμικοὺς, ἢ προθυμοτέρους, ἢ δικαιοτέρους, παρεσκεύασε τοὺς ἄνδρας. οὕτως ἐφαίνοντο φοβεροὶ μὲν τοῖς πολεμίοις, ἥμεροι δὲ τοῖς συμμάχοις, ἄτολμοι δὲ πρὸς τὸ ἀδικεῖν, φιλότιμοι δὲ πρὸς τοὺς ἐπαίνους. οὗ δ' ἥκιστα Κάτων ἐπεμελήθη, τοῦτο πλεῖστον αὐτῷ ὑπῆρχε, καὶ δόξα καὶ χάρις καὶ ὑπερβάλλουσα τιμὴ, καὶ φιλοφροσύνη παρὰ τῶν στρατιωτῶν. ἃ γαρ ἑτέροις ἐπέταττεν, ἑκουσίως διαπονῶν, καὶ στολὴν μὲν καὶ δίαιταν καὶ πορείαν ἐκείνοις μᾶλλον, ἢ τοῖς ἄρχουσιν,

1 V. ἐπέμφθη. Id. Ῥούμβριον pro Ῥούβρ.

scil. discessu atque absentia mariti a se. R. quaerit, num desit τῇ μονώσει?

σιν, ὁμοιούμενος, ἤθει δὲ καὶ φρονήματι καὶ λόγῳ πάντας ὑπεραίρων τοὺς αὐτοκράτορας καὶ στρατηγοὺς προσαγορευομένους, ἔλαθε διὰ τούτων ἅμα τὴν πρὸς αὐτὸν εὔνοιαν ἐνεργασάμενος [1] τοῖς ἀνδράσιν. ἀρετῆς γὰρ ἀληθινὸς οὐκ ἐγγίνεται ζῆλος, ἢ δι' [2] ἄκρας τοῦ παραδιδόντος εὐνοίας καὶ τιμῆς. οἱ δ' ἄνευ τοῦ φιλεῖν ἐπαινοῦντες τοὺς ἀγαθοὺς, αἰδοῦνται τὴν δόξαν [3] αὐτῶν, οὐ θαυμάζουσι δὲ τὴν ἀρετὴν, οὐδὲ μιμοῦνται.

X. Πυθόμενος δ' Ἀθηνόδωρον, τὸν ἐπικαλούμενον Κορδυλίωνα, μεγάλην ἕξιν ἐν τοῖς Στωϊκοῖς λόγοις ἔχοντα, διατρίβειν περὶ Πέργαμον, ἤδη γηραιὸν ὄντα, καὶ πάσαις ἐρρωμενέστατα ταῖς ἡγεμονικαῖς καὶ βασιλικαῖς συνηθείαις καὶ φιλίαις διαμεμαχημένον [4], οὐδὲν ᾤετο πέμπων καὶ γράφων περαίνειν πρὸς αὐτὸν, ἀλλ' ἔχων παρὰ τοῦ νόμου δεδομένην ἀποδημίαν δυεῖν μηνῶν, ἔπλευσεν εἰς τὴν Ἀσίαν ἐπὶ τὸν ἄνδρα, πιστεύων τοῖς ἐν αὐτῷ καλοῖς μὴ ἀτυχήσειν τῆς ἄγρας. συγγενόμενος δὲ καὶ καταγωνισάμενος καὶ μεταστήσας ἐκ τῆς προαιρέσεως αὐτὸν, ἧκεν ἄγων εἰς τὸ στρατόπεδον, περιχαρὴς καὶ μεγαλοφρονῶν, ὥς τι κάλλιστον ᾑρηκὼς, καὶ λαμπρότερον, ὧν Πομπήϊος τότε καὶ Λεύκολλος ἐθνῶν καὶ βασιλειῶν κατεστρέφοντο σὺν ὅπλοις περιϊόντες.

XI. Ἔτι δ' αὐτοῦ περὶ τὴν στρατηγίαν [5] ὄντος, ὁ ἀδελφὸς εἰς τὴν Ἀσίαν βαδίζων, ἐνόσησε περὶ Θράκην ἐν Αἴνῳ. καὶ γράμματα μὲν εὐθὺς ἧκε πρὸς τὸν Κάτωνα. χειμῶνος δὲ πολλοῦ κατέχοντος τὴν θάλατταν,



1 Sic R. dedit de suo pro vulg. ἐργασάμενος.

2 R. susp. ζῆλος ἄλλως, ἢ, aut cum Anon. ζῆλος, εἰ μὴ δι', quod & voluit Dacer.

3 Excidisse μὲν ante τὴν δόξ. susp. Mos. Dus.

4 Sic ex conject. Br. quam Mos. Dus. probat, dedit R. pro vulg. διαμεμηχανημένον.

5 R. monente, περὶ τ. στρ. h. l. idem est ac περὶ τὸν στρατηγὸν, quasi ἐν τῇ θεραπείᾳ τοῦ στρατηγοῦ — Rubrium designat — aut potius legendum περὶ τὴν στρατείαν.

καὶ νεὼς ἱκανῆς μεγέθει μὴ παρέσης, εἰς μικρὰν ὁλκάδα, μόνον δύο Φίλες καὶ τρεῖς οἰκέτας ἀναλαβὼν, ἐκ Θεσσαλονίκης ἀνήχθη· καὶ παρ' ἐδὲν ἐλθὼν καταποντωθῆναι, τύχῃ τινὶ παραλόγῳ σωθεὶς, ἄρτι τεθνηκότος τῦ Καιπίωνος, ἐμπαθέςερον ἔδοξεν, ἢ Φιλοσοφώτερον, ἐνεγκεῖν τὴν συμφοράν· ὐ μόνον κλαυθμοῖς καὶ περιπλύξεσι τῦ νεκρῦ, καὶ βαρύτητι λύπης, ἀλλὰ καὶ δαπάνῃ περὶ τὴν ταφὴν, καὶ πραγματείαις θυμιαμάτων, καὶ ἱματίων πολυτελῶν συγκατακαέντων, καὶ μνήματος ξεςῦ [1] λίθων Θασίων ἀπὸ ταλάντων ὀκτὼ κατασκευασθέντος ἐν τῇ Αἰνίων ἀγορᾷ. ταῦτα γὰρ ἔνιοι ἐσυκοφάντεν πρὸς τὴν ἄλλην [2] ἀτυφίαν τῦ Κάτωνος, ὐ καθορῶντες, ὅσον ἐν τῷ πρὸς ἡδονὰς καὶ φόβες καὶ δεήσεις ἀναισχύντες ἀγνάμπτῳ καὶ σεῤῥῷ τῦ ἀνδρὸς τὸ ἥμερον ἐνῆν καὶ Φιλόςοργον. εἰς δὲ ταῦτα [3] καὶ πόλεις αὐτῷ καὶ δυνάςαι πολλὰ κατὰ τιμὴν τῦ τεθνεῶτος ἔπεμπον· ὧν ἐκεῖνος χρήματα μὲν παρ' ὐδενὸς ἐδέξατο, θυμιάματα δὲ καὶ κόσμον ἐλάμβανε, τιμὴν [4] ἀποδιδὺς τοῖς πέμπυσι. τῆς δὲ κληρονομίας εἰς αὐτόν τε καὶ θυγάτριον τῦ Καιπίωνος ἡκέσης, ὐθὲν, ὧν ἀνήλωσε περὶ τὸν τάφον, ἀπήτησεν ἐν τῇ νεμήσει. καὶ ταῦτα πράξαντος αὐτῦ καὶ πράττοντος [5], ἦν ὁ γράψας, ὅτι κοσκίνῳ τὴν

τέφραν

1 R. susp. ξεςῶν, ut ad λίθων referatur. De *Thasio* marmore, Mose Dusoul monente, consulendus est Plin. 36, 6.

2 R. post h. v. videtur deesse ἀφορῶντες.

3 aromata, vestem, reliquam funeris magnificentiam. R.

4 R. mavult τὴν τιμὴν.

5 Corruptissima haec censet Mos. Dus. & Petavii in not. ad Themist. profert conjecturam — πράξαντος αὐτῦ, Καῖσαρ ὅμως, vel Καῖσαρ ἐν Ἀντικάτωνι ἔγραψεν, ipse legens pro καὶ πράττοντος, quae absurde addita putat, Καῖσαρ αὐτὸς, ut retineatur ἦν ὁ γρ. R. tuetur vulgatam subaudiendo ὁσημέραι — quae cum & tum fecisset Cato, & adhuc faceret, quo tempore probra illa in eum conjecit is, qui fecit (Caesar puta) neque fugeret Caesarem, in similibus edendis excelsi animi exem-

plis

τέφραν τοῦ νεκροῦ μετέβαλε καὶ[1] διήθησε, χρυσίον ζητῶν κατακεκαυμένον. οὕτως οὐ τῷ ξίφει μόνον, ἀλλὰ καὶ τῷ γραφείῳ, τὸν ἀνυπεύθυνον καὶ ἀνυπόδικον ἐπίστευεν[2].

XII. Ἐπεὶ δὲ τέλος εἶχεν ἡ στρατεία τῷ Κάτωνι, προεπέμφθη οὐκ εὐχαῖς, ὃ κοινόν ἐστιν, οὐδ' ἐπαίνοις, ἀλλὰ δάκρυσι καὶ περιβολαῖς ἀπλήστοις[3], ὑποτιθέντων τὰ ἱμάτια τοῖς ποσὶν, ᾗ βαδίζοι, καὶ καταφιλούντων τὰς χεῖρας· ἃ τῶν αὐτοκρατόρων ὀλίγοις μόλις ἐποίουν οἱ τότε Ῥωμαῖοι. βουληθεὶς δὲ πρὸ τοῦ τῇ πολιτείᾳ[4] προσελθεῖν, ἅμα μὲν πλανηθῆναι καθ' ἱστορίαν τῆς Ἀσίας, καὶ γενέσθαι θεατὴς ἠθῶν καὶ βίων καὶ δυνάμεως τῆς περὶ ἑκάστην ἐπαρχίαν· ἅμα δὲ τῷ Γαλάτῃ Δηϊοτάρῳ, διὰ ξενίαν καὶ φιλίαν πατρῴαν δεομένῳ πρὸς αὐτὸν ἐλθεῖν, μὴ ἀχαριστῆσαι· τοῦτον τὸν τρόπον ἐποιεῖτο τὴν ἀποδημίαν. προὔπεμπεν ἅμ' ἡμέρᾳ τὸν ἀρτοποιὸν καὶ τὸν μάγειρον, ὅπου καταλύσειν ἔμελλεν. οἱ δὲ πάνυ κοσμίως καὶ μεθ' ἡσυχίας εἰσελθόντες ἂν εἰς τὴν πόλιν, εἰ μηδεὶς τύχοι τῷ Κάτωνι φίλος ὢν αὐτόθι πατρῷος, ἢ γνώριμος, ἐν πανδοκείῳ τὴν ὑποδοχὴν[5] αὐτῷ παρεσκεύα-

D 4

plis perpetuo Catonem exerceri, eaque ipse spectaret exercentem, fuit nihilominus tamen, qui auderet haec literis consignata relinquere.

1 Superflua videbantur *μετέβ. καὶ* R. Ipse tamen iterum ea tuetur, *μεταβάλλειν* explicans *ex alio vase in aliud trajicere.*

2 Petav. pro τὸν reponit *ἑαυτόν*. Eum sequitur Mos. Dus. Aliud sentit Dacer. per τὸν *ἀνυπεύθ.* & *ἀνυπόδ.* Catonem intelligens. Br. susp. pro τὸν, τὸ & pro *ἐπίστευεν*, *ἐπετήδευεν*. R. quaerit, num *ἐπέστιξεν*, ab *ἐπιστίζειν*, *notis infamibus inussit, compunxit?* At vix adducor equidem, Catonem a Plutarcho argumentis ex connexione materiae apte desumtis nominari posse *ἀνυπεύθ.* & *ἀνυπόδ.* Malim τὸ — *ἐπέδειξεν*, aut *ἐπίστευεν*. V. exhibet *ἐπίστευσεν*. Totum hunc locum Lapus omisit.

3 Mos. Dus. mavult *ἀπλάστοις*.

4 Artic. τῇ R. de suo addidit.

5 V. *ὑπομονήν*. Junt. *ὑπεροχήν*.

εσκεύαζον, ἐνοχλῦντες ὐδενί· πανδοκεία δὲ μὴ ὄντος, ὕτως πρὸς τὰς ἄρχοντας τραπόμενοι, ξενίαν ἐλάμβανον, ἀγαπῶντες τὴν δοθεῖσαν. πολλάκις δ' ἀπιςῦμενοι, καὶ περιορώμενοι διὰ τὸ μὴ θορύβῳ, μηδ' ἀπειλῇ, ταῦτα πράσσειν πρὸς τὰς ἄρχοντας, ὑπὸ τῦ Κάτωνος ἄπρακτοι κατελαμβάνοντο, καὶ μᾶλλον αὐτὸς ὀφθεὶς ὠλιγωρεῖτο, καὶ παρεῖχεν [1] ἐπὶ τῶν φορτίων σιωπῇ καθεζόμενος ὑπόνοιαν ἀνθρώπυ ταπεινῦ καὶ περιδεῦς. ὐ μὴν ἀλλὰ καὶ προσκαλύμενος αὐτὰς [2] εἰώθει λέγειν· Ὦ μοχθηροὶ, μεταβάλλεσθε ταύτης τῆς κακοξενίας. ὐ πάντες ὑμῖν ἀφίξονται Κάτωνες. ἀμβλύνατε ταῖς φιλοφροσύναις τὴν ἐξυσίαν αὐτῶν [3], δεομένων προφάσεως, ἵνα βίᾳ λαμβάνωσιν, ὡς παρ' ἑκόντων μὴ τυγχάνοντες.

XIII. Ἐν δὲ Συρίᾳ καὶ γελοῖόν τι λέγεται παθεῖν· βαδίζων γὰρ εἰς Ἀντιόχειαν, εἶδε περὶ τὰς πύλας ἔξω πλῆθος ἀνθρώπων ἑκατέρωθεν τῆς ὁδῦ παρακεκριμένων [4]. ἐν οἷς ἔφηβοι μὲν χωρὶς ἐν χλαμύσι, καὶ παῖδες ἑτέρωθι κοσμίως εἱςήκεσαν· ἐσθῆτας δὲ καθαρὰς ἔνιοι καὶ ςεφάνυς εἶχον, ἱεροῖς θεῶν ὄντες, ἢ ἄρχοντες. πάντων [5] ὖν μᾶλλον οἰηθεὶς ὁ Κάτων αὐτῷ τινὰ πράττεσθαι τιμὴν [6] καὶ δεξίωσιν ὑπὸ τῆς πόλεως, ὠργίζετο μὲν τοῖς προπεμφθεῖσι τῶν ἰδίων, ὡς μὴ κωλύσασιν· ἐκέλευσε δὲ καταβῆναι τὰς φίλυς, καὶ πεζῇ προήει μετ' αὐτῶν. ὡς δ' ἐγγὺς ἦσαν, ὁ πάντα διακοσμῶν ἐκεῖνα, καὶ

1 V. κατεῖχεν. Seq. ἐπὶ τῶν φορτ. Lapus vertit ob magnitudinem curarum, quasi φροντίδων legisset. Xyl. docente τὰ φορτία sunt impedimenta, sarcinae.

2 Sic cum V. Anon. Junt. dari voluit Br. deditque R. Vulgo αὐτός.

3 R. mavult ἀνθρώπων.

4 R. docente, idem est ac παρεςώτων ἀλλήλοις ἐν διαφόροις διακεκριμένοις συντάγμασι.

5 Mos. Dus. reponi vult παντός.

6 R. monente, idem est ac si dixisset οἰηθεὶς ὁ Κάτων ἑαυτῷ πράττεσθαι τιμήν τινα, ἢ ὅτῳ ὖν ἄλλῳ.

καὶ τὸν ὄχλον εἰς τάξιν καθιστὰς, ἀνὴρ πρεσβύτερος ἤδη, ῥάβδον ἐν τῇ χειρὶ καὶ στέφανον κρατῶν, ἀπήντησε τῷ Κάτωνι πρὸ τῶν ἄλλων, καὶ μηδ' ἀσπασάμενος, ἠρώτα, ποῦ Δημήτριον ἀπολελοίπασι, καὶ πηνίκα παρέσται. Πομπηΐου δ' ἦν γεγονὼς ὁ Δημήτριος οἰκέτης· τότε δὲ πάντων, ὡς ἔπος εἰπεῖν, ἀνθρώπων εἰς Πομπήϊον ἀποβλεπόντων, ἐθεραπεύετο, παρ' ἀξίαν μέγα παρ' αὐτῷ δυνάμενος. τοῖς μὲν οὖν φίλοις τοῦ Κάτωνος γέλως ἐνέπεσε τοσοῦτος, ὥστ' ἀναλαβεῖν ἑαυτοὺς οὐκ ἐδύναντο, διὰ τοῦ πλήθους ἅμα βαδίζοντες. ὁ δὲ Κάτων τότε μὲν ἰσχυρῶς διατραπεὶς· Ὦ τῆς κακοδαίμονος, ἔφη, πόλεως· ἄλλο δ' οὐδὲν ἐφθέγξατο· χρόνῳ δ' ὕστερον εἰώθει γελᾷν καὶ αὐτὸς ἐπὶ τούτῳ, καὶ διηγούμενος καὶ μνημονεύων.

XIV. Οὐ μὴν ἀλλὰ Πομπήϊος αὐτὸς ἐπέστρεψε τοὺς ἀνθρώπους οὕτω πλημμελοῦντας εἰς τὸν Κάτωνα δι' ἄγνοιαν. ὡς γὰρ εἰς Ἔφεσον ἐλθὼν, ἐπορεύετο πρὸς αὐτὸν ἀσπασόμενος πρεσβύτερον ὄντα, καὶ δόξῃ πολὺ [1] προήκοντα, καὶ δυνάμεων τότε μεγίστων ἡγούμενον, ἰδὼν ὁ Πομπήϊος, οὐκ ἔμεινεν, οὐδ' εἴασε καθεζομένῳ προσελθεῖν, ἀλλ' ὥς τινι τῶν κρειττόνων ἀναθορὼν ἀπήντησε, καὶ τὴν δεξιὰν ἐνέβαλε. καὶ πολλὰ μὲν εὐθὺς ἐν τῷ φιλοφρονεῖσθαι καὶ ἀσπάζεσθαι παρόντα, πλείω δ' ἔτι μεταστάντος ἐγκώμια διῆλθεν αὐτοῦ τῆς ἀρετῆς· ὥστε πάντας ἐπιστρεφομένους καὶ προσέχοντας ἤδη τῷ Κάτωνι, θαυμάζειν [2] ἐξ ὧν πρότερον κατεφρονεῖτο, καὶ πραότητα καὶ μεγαλοψυχίαν ἀναθεωρεῖν. καὶ γὰρ ἡ Πομπηΐου σπουδὴ περὶ αὐτὸν οὐκ ἐλάνθανε θεραπεύοντος οὖσα μᾶλ-



1 Junt. πολλῇ.

2 R. mavult θαυμαστὴν, vocab. seq. ἀναθεωρεῖν idem esse monens, ac διὰ θεωρίας καταμανθάνειν, *meditando reperire, colligere*, & ἐξ ὧν πρότ. κατεφ. idem ac ἐκ τούτων αὐτῶν, ἐφ' οἷς (vel δι' ἃ) πρότ. κατεφρ. *ex illis ipsis, ob quae prius contemtus fuisset, colligerent admirabilem ejus cum lenitatem, tum animi celsitudinem.*

μᾶλλον, ἢ Φιλοῦντος· ἀλλ' ἔγνωσαν, ὅτι θαυμάζει μὲν παρόντα, χαίρει δ' ἀπερχομένῳ. τοὺς γὰρ ἄλλους νέους, ὅσοι παρ' αὐτὸν ἀφικνοῦντο, φιλοτιμούμενος κατεῖχε, καὶ ποθῶν αὐτῷ συνεῖναι· τοῦ δὲ Κάτωνος οὐδὲν ἐδεήθη τοιοῦτον, ἀλλ' ὥσπερ οὐκ ἀνυπεύθυνος ἄρχων, ἐκείνου παρόντος, ἐξέπεμψεν ἄσμενος, μόνῳ σχεδὸν ἐκείνῳ τῶν εἰς Ῥώμην πλεόντων τὰ τέκνα καὶ τὴν γυναῖκα παρακαταθέμενος, ἄλλως αὐτῷ προσήκοντα καὶ διὰ συγγένειαν. ἐκ τούτου δόξα καὶ σπουδὴ καὶ ἅμιλλα περὶ αὐτὸν ἦν τῶν πόλεων, καὶ δεῖπνα, καὶ κλήσεις· ἐν οἷς τοὺς φίλους ἐκέλευε προσέχειν αὐτῷ, μὴ λάθῃ βεβαιώσας τὸν Κουρίωνος λόγον. ὁ γὰρ Κουρίων ἀχθόμενος τῷ αὐστηρῷ τοῦ Κάτωνος, φίλου καὶ συνήθους ὄντος, ἠρώτησεν αὐτὸν, εἰ πρόθυμός ἐστι μετὰ τὴν στρατείαν γενέσθαι τῆς Ἀσίας θεατής. τοῦ δὲ καὶ πάνυ φήσαντος· Εὖ λέγεις, εἶπεν ὁ Κουρίων· ἡδίων γὰρ ἐπανήξεις ἐκεῖθεν, καὶ μᾶλλον ἥμερος· οὕτω [1] πως καὶ τῷ ῥήματι χρησάμενος.

XV. Δηϊόταρος δ' ὁ Γαλάτης μετεπέμψατο μὲν τὸν Κάτωνα, πρεσβύτερος [2] ὢν ἤδη, παρακαταθέσθαι τοὺς παῖδας αὐτῷ βουλόμενος, καὶ τὸν οἶκον· ἐλθόντι δὲ προσφέρων δῶρα παντοδαπὰ, καὶ πειρῶν καὶ δεόμενος πάντα τρόπον, οὕτω παρώξυνεν, ὥστε δείλης ἐλθόντα καὶ νυκτερεύσαντα, τῇ ὑστεραίᾳ περὶ τρίτην ὥραν ἀπᾶραι. προελθὼν μέντοι μιᾶς ἡμέρας ὁδὸν, εὗρεν ἐν Πεσσινοῦντι πλείονα τῶν ἐκεῖ [3] δώρων αὖθις αὐτὸν ὑπομένοντα, καὶ γράμματα τοῦ Γαλάτου, δεομένου λαβεῖν αὐτόν.

1 R. mavult τούτῳ, ut sit, ac si dixisset τούτῳ χρησάμενος οὐ μόνον τῷ ἐννοήματι, ἀλλὰ καὶ τῷ ῥήματι, *non ad sententiam modo, sed verbotenus quoque.*

2 In Junt. Ald. Crat. post h. v. iterum datur μὲν. Sequens παρακαταθέσθαι R. de suo dedit — *commendare fidei ejus*, pro παραθέσθαι.

3 quae Dejotarus Catoni sua in regia obtulerat, hospitio eum excipiens.

τόν. εἰ δὲ μὴ πρόθυμός ἐστιν, ἀλλὰ τοὺς γε [1] φίλους ἐᾶσαι, πάντως μὲν ἀξίους ὄντας εὖ παθεῖν δι' ἐκεῖνον, οὐκ ὄντων δὲ τῶν ἰδίων τοῦ Κάτωνος τοσούτων. ἀλλ' οὐδὲ τούτοις ἐνέδωκεν ὁ Κάτων, καίπερ ἐνίους τῶν φίλων μαλασσομένους καὶ ὑπομεμφομένους ὁρῶν· ἀλλὰ φήσας, ὅτι πᾶσα δωροδοκία προφάσεως ἂν εὐπορήσειεν, οἱ δὲ φίλοι μεθέξουσιν ὧν ἂν ἔχῃ καλῶς καὶ δικαίως κτησάμενος, ἀπέπεμψε τὰ δῶρα πρὸς τὸν Δηϊόταρον. ἐπεὶ δὲ, μέλλοντος ἀπαίρειν εἰς τὸ Βρεντέσιον, ᾤοντο δεῖν οἱ φίλοι τὰ λείψανα τοῦ Καιπίωνος εἰς ἕτερον θέσθαι πλοῖον [2], εἰπὼν, ὅτι τῆς ψυχῆς μεθήσεται μᾶλλον, ἢ τούτων, ἀνήχθη. καὶ μέντοι λέγεται κατὰ τύχην ἐπισφαλέστατα περάσαι, τῶν ἄλλων μετρίως κομιζομένων.

XVI. Ἐπανελθὼν δ' εἰς Ῥώμην, τὸν μὲν ἄλλον χρόνον κατ' οἶκον Ἀθηνοδώρῳ, ἢ κατ' ἀγορὰν τοῖς φίλοις παριστάμενος διετέλεσεν. ἐπιβάλλουσαν δ' αὐτῷ τὴν ταμιευτικὴν ἀρχὴν οὐ πρότερον μετῆλθεν, ἢ τοὺς τε νόμους ἀναγνῶναι τοὺς ταμιευτικοὺς, καὶ διαπυθέσθαι τῶν ἐμπείρων ἕκαστα, καὶ τύπῳ τινὶ τῆς ἀρχῆς τὴν δύναμιν περιλαβεῖν. ὅθεν εὐθὺς εἰς τὴν ἀρχὴν καταστὰς, μεγάλην ἐποίησε μεταβολὴν τῶν περὶ τὸ ταμεῖον ὑπηρετῶν καὶ γραμματέων· οἳ διὰ χειρὸς ἀεὶ τὰ δημόσια γράμματα καὶ τοὺς νόμους ἔχοντες, εἶτα νέους ἄρχοντας παραλαμβάνοντες, δι' ἀπειρίαν καὶ ἄγνοιαν ἀτεχνῶς διδασκάλων ἑτέρων καὶ παιδαγωγῶν δεομένους, οὐχ ὑφίεντο τῆς ἐξουσίας ἐκείνοις, ἀλλ' ἦσαν ἄρχοντες αὐτοί. μέχρις οὗ Κάτων ἐπιστὰς τοῖς πράγμασι νεανικῶς, οὐκ ὄνομα καὶ τιμὴν ἄρχοντος, ἀλλὰ καὶ νοῦν καὶ φρόνημα καὶ λόγον, ὑπηρέταις [3], ὅπερ ἦσαν, ἠξίου χρῆσθαι τοῖς γραμματεῦ-

1 Sic R. de suo dedit. Vulgo τοὺς φίλους.

2 quia superstitio valuit, mortuum haud sine periculo trans mare ferri posse. Ab ea sese purgat Plutarchus, adjectis postea vocibus κατὰ τύχην. Kind & Schirach.

3 V. ὑπηρέτας.

ματεῦσι, τα μὲν ἐξελέγχων κακουργοῦντας αὐτοὺς, τὰ δ' ἁμαρτάνοντας ἀπειρίᾳ διδάσκων. ὡς δ' ἦσαν ἴταμοὶ, καὶ τοὺς ἄλλους ἐθώπευον ὑποτρέχοντες, ἐκείνῳ δ' ἐπολέμουν, τὸν μὲν πρῶτον αὐτῶν καταγνοὺς περὶ πίστιν ἐν κληρονομίᾳ γεγονέναι πονηρὸν, ἀπήλασε τοῦ ταμιείου· δευτέρῳ δέ τινι ῥᾳδιουργίας προὔθηκε κρίσιν [1]. ᾧ Κάτλος Λουτάτιος, ὁ τιμητὴς, ἀνέβη βοηθήσων, ἀνὴρ μέγα ἀπὸ [2] τῆς ἀρχῆς ἔχων ἀξίωμα, ἀπο δὲ τῆς ἀρετῆς ἔχων μέγιστον, ὡς πάντων δικαιοσύνῃ καὶ σωφροσύνῃ Ῥωμαίων διαφέρων. ἦν δὲ καὶ τοῦ Κάτωνος ἐπαινέτης καὶ συνήθης διὰ τὸν βίον [3]. ὡς οὖν ἡττώμενος τοῖς δικαίοις, ἐξῃτεῖτο φανερῶς τὸν ἄνθρωπον, οὐκ εἴα ταῦτα ποιεῖν αὐτὸν ὁ Κάτων. ἔτι δὲ μᾶλλον προσλιπαροῦντος· Αἰσχρὸν, εἶπεν, ὦ Κάτλε, σὲ τὸν τιμητὴν καὶ τοὺς ἡμετέρους βίους ὀφείλοντα δοκιμάζειν, ὑπὸ τῶν ἡμετέρων ὑπηρετῶν ἐκβάλλεσθαι [4]. Ταύτην τὴν φωνὴν ἀφέντος τοῦ Κάτωνος, ὁ Κάτλος προσέβλεψε μὲν αὐτὸν, ὡς ἀμειψόμενος, εἶπε δ' οὐδὲν, ἀλλ' εἴτε ὑπ' ὀργῆς, εἴτε ὑπ' αἰσχύνης, ἀπῆλθε σιωπῇ διηπορημένος [5]. οὐ μὴν ἥλω γ' ὁ ἄνθρωπος· ἀλλ' ἐπεὶ μιᾷ ψήφῳ τὰς ἀφιείσας ὑπερέβαλον αἱ καθαι-

1 Xyl. vertit: *alteri cuidam falsidicam scripsit*; Cruser. *testamenti subjecti formulam intendit.*

2 Sic R. de suo dedit, uti & paulo post ἀπὸ δὲ pro τὸ quod utroque loco vulgo legitur — *magnam adeptus dignitatem & auctoritatem ab honoribus, quos gessit.*

3 R. quaerit, num δι' ὁμοιότητα τῶν βίων, an διὰ βίου, per vitam?

4 Sensum hujus loci planiorem reddi conferendo alium locum in Plut. *de vitioso pudore* obvium: αἰσχρόν ἐστιν, ἔφη, Κάτλε, σὲ τὸν τιμητὴν, ἀπαλλαγῆναι μὴ βουλόμενον ἐντεῦθεν, ὑπὸ τῶν ἐμῶν ὑπηρετῶν ἕλκεσθαι, — censet Mos. Dus. Eandem rem Plut. refert in *praec. ger. reip.* partim aliis verbis, partim nostro loco convenientioribus: Αἰσχρόν ἐστιν, ἔφη, σὲ, τὸν ὀφείλοντα τοὺς νέους ἡμᾶς σωφρονίζειν, ὑπὸ τῶν ἡμετέρων ὑπηρετῶν ἐκβάλλεσθαι.

5 V. διηρημένος.

καθαιρῆσαι, καὶ Λόλλιος Μάρκος, εἷς συνάρχων τῦ Κάτωνος, ὑπ' ἀσθενείας ἀπελέλειπτο τῆς δίκης, πέμπει πρὸς τῦτον ὁ Κάτλος, δεόμενος βοηθῆσαι τῷ ἀνθρώπῳ· κἀκεῖνος ἐν Φορείῳ κομισθεὶς μετὰ τὴν δίκην, ἔθετο τὴν ἀπολύϭσαν. ἐ μὴν ἐχρήσατό γε τῷ γραμματεῖ [1] ὁ Κάτων, ἐδὲ τὸν μισθὸν ἀπέδωκεν, ἐδ' ὅλως ἐνάριθμον τῦ Λολλίϭ τὴν ψῆφον ἔχεν.

XVII. Οὕτω δὲ τὲς γραμματεῖς ταπεινώσας καὶ ποιήσας ὑποχειρίϭς, καὶ τοῖς γράμμασιν, ὡς αὐτὸς ἐβϭλετο, χρώμενος, ὀλίγῳ χρόνῳ τὸ ταμεῖον ἀπέδειξε τῦ βϭλευτηρίϭ σεμνότερον, ὡς καὶ λέγειν καὶ Φρονεῖν ἅπαντας, ὅτι Κάτων ὑπατείας ἀξίωμα τῇ ταμιείᾳ περιέθηκε. πρῶτον [2] μὲν γὰρ εὑρὼν χρέα παλαιὰ τῷ δημοσίῳ πολλὲς ὀφείλοντας, καὶ πολλοῖς τὸ δημόσιον, ἅμα τὴν πόλιν ἔπαυσεν ἀδικϭμένην καὶ ἀδικϭσαν· τὲς μὲν εὐτόνως καὶ ἀπαραιτήτως ἀπαιτῶν, τοῖς δὲ ταχέως ἀποδιδὲς καὶ προθύμως· ὥςε τὸν δῆμον αἰδεῖσθαι, τὲς μὲν οἰομένϭς ἀποςερήσειν, ἐκτίνοντας ὁρῶντα, τὲς δ', ἃ μὴ προσεδόκων, ἀπολαμβάνοντας. ἔπειτα γράμματα [τῶν [3]] πολλῶν ἐ προσηκόντως ἀναφερόντων, καὶ δόγματα ψευδῆ παραδέχεσθαι χάριτι καὶ δεήσει τῶν πρότερον [4] εἰωθότων, ἐδὲν αὐτὸν ἔλαθε γενόμενον τοιϭτον· ἀλλ' ὑπὲρ ἑνός ποτε δόγματος ἐνδοιάσας, εἰ κύριον γέγονε, πολλῶν μαρτυρϭντων, ἐκ ἐπίςευσεν, ἐδὲ κατέταξε [5] πρότερον, ἢ τὲς ὑπάτϭς ἐπομόσαι παραγενομένϭς [6]. ὄντων δὲ

1 V. πράγματι, γράμματι.

2 Sic cum Anon. dari voluit Duf. deditque R. Vulgo πρότερον.

3 R. uncis inclusit articulum, ut tollendum.

4 R. mavult addi ταμιῶν, quod saltim subaudiendum. Constructionem paulo intricatiorem hanc esse monet: τῶν πρότερον ταμιῶν εἰωθότων παραδέχεσθαι χάριτι καὶ δεήσει πολλῶν, ἐ προσηκόντως ἀναφερόντων γράμματα καὶ δόγματα ψευδῆ. — Teste H. Steph. etiam legitur τῶν προτέρων.

5 scil. εἰς τὲς νόμϭς. R.

6 V. παραγεγονότες. Voluisse videtur παραγεγονότας.

δὲ πολλῶν, οἷς Σύλλας ἐκεῖνος ἀποκτείνασιν ἄνδρας ἐκ προγραφῆς ἑτέρας [1] ἔδωκεν ἀνὰ μυρίας δισχιλίας δραχμάς, ἅπαντες μὲν αὐτοὺς, ὡς ἐναγεῖς καὶ μιαροὺς, ἐμίσουν, ἀμύνασθαι δ' οὐδεὶς ἐτόλμα· Κάτων δὲ, προσκαλούμενος ἕκαστον ἔχοντα δημόσιον ἀργύριον ἀδίκως, ἐξέπραττεν ἅμα θυμῷ καὶ λόγῳ τὸ τῆς πράξεως ἀνόσιον καὶ παράνομον ἐξονειδίζων. οἱ δὲ τοῦτο παθόντες εὐθὺς ἦσαν ἔνοχοι φόνῳ, καὶ τρόπον τινὰ προηλωκότες, ἀπήγοντο πρὸς τοὺς δικαστὰς, καὶ δίκας ἔτινον, ἡδομένων πάντων, καὶ νομιζόντων συνεξαλείφεσθαι τὴν τότε τυραννίδα, καὶ Σύλλαν αὐτὸν ἐφορᾷν κολαζόμενον.

XVIII. Ἥρει δὲ τοὺς πολλοὺς καὶ τὸ ἐνδελεχὲς αὐτοῦ τῆς ἐπιμελείας καὶ ἄτρυτον. οὔτε γὰρ πρότερός [2] τις ἀνέβη τῶν συναρχόντων εἰς τὸ ταμεῖον Κάτωνος, οὔτε ὕστερος ἀπῆλθεν. ἐκκλησίαν δὲ καὶ βουλὴν οὐδεμίαν παρῆκε, δεδιὼς καὶ παραφυλάττων τοὺς ἑτοίμως καὶ πρὸς χάριν ὀφλημάτων καὶ τελῶν ἀνέσεις, ἢ δόσεις, οἷς ἔτυχεν, ἐπιψηφιζομένους. ἐπιδεικνύμενος δὲ τὸ ταμιεῖον ἄβατόν τε καὶ καθαρὸν συκοφαντῶν, πλῆρες δὲ χρημάτων, ἐδίδασκεν, ὅτι τῇ πόλει πλουτεῖν ἔξεστι μὴ ἀδικούσῃ. κατ' ἀρχὰς δὲ τῶν συναρχόντων ἐνίοις ἐπαχθὴς καὶ χαλεπὸς φανεὶς, ὕστερον ἠγαπᾶτο, ταῖς ἐκ τοῦ μὴ χαρίζεσθαι τὰ δημόσια, μηδὲ κρίνειν κακῶς, ἀπεχθείαις ὑποτιθεὶς ἑαυτὸν ἀντὶ πάντων, καὶ παρέχων ἀπολογεῖσθαι πρὸς τοὺς δεομένους καὶ βιαζομένους ἐκείνους, ὡς ἀμήχανόν ἐστιν, ἄκοντος Κάτωνος. τῶν δ' ἡμερῶν τῇ τελευταίᾳ σχεδὸν ὑπὸ πάντων πολιτῶν προπεμφθεὶς εἰς οἶκον, ἤκουσεν, ὅτι Μαρκέλλῳ πολλοὶ συνήθεις καὶ δυνατοὶ προσπεσόντες ἐν τῷ ταμιείῳ καὶ περιέχοντες, ἐκβιάζονται γρά-

1 Mosi Duſ. haec vox eſt ſuſpecta. R. quaerit, num δευτέρας, an ὑστέρας.

2 Sic Duſ. cum Anon. dari voluit, deditque R. Vulgo πρῶτος.

γράψαι τινὰ δόσιν χρημάτων ὀφειλομένων [1]. ἦν δ' ὁ Μάρκελλος ἐκ παίδων φίλος τῷ Κάτωνι, καὶ σὺν ἐκείνῳ βέλτιστος ἄρχων, αὐτὸς δὲ καθ' αὑτὸν ἀγώγιμος ὑπ' αἰδοῦς τοῖς δεομένοις, καὶ κατάντης πρὸς πᾶσαν χάριν. εὐθὺς οὖν ὁ Κάτων ἐπιστρέψας, καὶ τὸν Μάρκελλον εὑρὼν ἐκβεβιασμένον γράψαι τὴν δόσιν, ᾔτησε τὰς δέλτους, καὶ ἀπήλειψεν, αὐτοῦ παρεστῶτος σιωπῇ· καὶ τοῦτο πράξας, κατήγαγεν αὐτὸν ἐκ τοῦ ταμιείου, καὶ κατέστησεν εἰς οἶκον, οὔτε τότε μεμψάμενον, οὔτε ὕστερον, ἀλλ' ἐμμείναντα τῇ συνηθείᾳ καὶ φιλίᾳ μέχρι παντός. οὐ μὴν οὐδ' ἀπαλλαγεὶς τῆς ταμιείας, ἀφῆκε τῆς φρουρᾶς ἔρημον τὸ ταμιεῖον, ἀλλ' οἰκέται μὲν αὐτοῦ καθ' ἡμέραν ἀπογραφόμενοι τὰς διοικήσεις παρῆσαν, αὐτὸς δὲ βιβλία λόγους περιέχοντα δημοσίων οἰκονομιῶν ἀπὸ τῶν Σύλλα χρόνων εἰς τὴν ἑαυτοῦ ταμιείαν ὠνησάμενος πέντε ταλάντων, ἀεὶ διὰ χειρὸς εἶχεν.

XIX. Εἰς δὲ σύγκλητον εἰσῄει τε πρῶτος, καὶ τελευταῖος ἀπηλλάττετο· πολλάκις δὲ τῶν ἄλλων σχολῇ συναγομένων, καθεζόμενος ἀνεγίνωσκεν ἡσυχῇ, τὸ ἱμάτιον τοῦ βιβλίου προϊσχόμενος. ἀπεδήμησε δ' οὐδέποτε, βουλῆς γενομένης. ἐπεὶ δ' ὕστερον οἱ περὶ Πομπήϊον, ὁρῶντες αὐτὸν, ἐν οἷς ἐσπούδαζον ἀδίκως, ἀμετάπειστον καὶ δυσεκβίαστον ἀεὶ, διεμηχανῶντο φιλικαῖς τισι συνηγορίαις, ἢ διαίταις, ἢ πραγματείαις, ἔξω περισπᾶν. συνεὶς οὖν ταχὺ τὴν ἐπιβουλὴν, ἀπεῖπε πᾶσι, καὶ παρετάξατο, βουλῆς ἀγομένης [2], μηδὲν ἄλλο πράττειν. οὔτε γὰρ δόξης χάριν, οὔτε πλεονεξίας, οὔτ' αὐτομάτως καὶ κατὰ τύχην, ὥσπερ ἕτεροί τινες, ἐμπεσὼν εἰς τὸ πράττειν τὰ τῆς πόλεως, ἀλλ' ὡς ἴδιον ἔργον ἀνδρὸς ἀγαθοῦ, τὴν πολιτείαν ἑλόμενος, μᾶλλον ᾤετο δεῖν προσέχεσθαι [3] τοῖς κοι-

1 Sic Duf. cum Anon. dari voluit, deditque R. Vulgo ὀφειλομένην.

2 V. ἐπειγομένης.

3 V. & Anon. προσέχειν, quod & R. suspicatur. Br. προσίσχεσθαι. V. in seq. τῶν κηρίων.

κοινοῖς, ἢ τῷ κηρίῳ τὴν μέλιτταν· ὅς γε καὶ τὰ τῶν ἐπαρχιῶν πράγματα, καὶ δόγματα, καὶ κρίσεις, καὶ πράξεις τὰς μεγίστας, ἔργον πεποίητο διὰ τῶν ἑκασταχόθι ξένων καὶ Φίλων πέμπεσθαι πρὸς αὐτόν. ἐνστὰς δέ ποτε Κλωδίῳ τῷ δημαγωγῷ, κινοῦντι καὶ ταράττοντι [1] μεγάλων ἀρχὰς νεωτερισμῶν, καὶ διαβάλλοντι πρὸς τὸν δῆμον ἱερεῖς καὶ ἱερείας, ἐν οἷς καὶ Φαβία, Τερεντίας [2] ἀδελφὴ, τῆς Κικέρωνος γυναικὸς, ἐκινδύνευσε· τὸν μὲν Κλώδιον αἰσχύνῃ περιβαλὼν, ἠνάγκασεν ὑπεκστῆναι τῆς πόλεως· τοῦ δὲ Κικέρωνος εὐχαριστοῦντος, τῇ πόλει δεῖν ἔχειν ἔφη χάριν αὐτὸν, ὡς ἐκείνης ἕνεκα πάντα ποιῶν καὶ πολιτευόμενος. ἐκ τούτου μεγάλη δόξα περὶ αὐτὸν ἦν· ὥστε ῥήτορα μὲν, δίκῃ τινὶ μαρτυρίας μιᾶς Φερομένης, εἰπεῖν πρὸς τοὺς δικαστὰς, ὡς ἑνὶ μαρτυροῦντι προσέχειν, οὐδὲ Κάτωνι, καλῶς ἔχει· πολλοὺς δ' ἤδη περὶ τῶν ἀπίστων καὶ παραδόξων, ὥσπερ ἐν παροιμίᾳ τινὶ, λέγειν, ὅτι τοῦτο μὲν οὐδὲ Κάτωνος λέγοντος πιθανόν ἐστι. μοχθηροῦ δ' ἀνθρώπου καὶ πολυτελοῦς λόγον ἐν συγκλήτῳ διαθεμένου πρὸς εὐτέλειαν καὶ σωφρονισμὸν, ἐπαναστὰς Ἀμναῖος· Ὦ ἄνθρωπε, εἶπεν, τίς ἀνέξεταί σου, δειπνοῦντος μὲν, ὡς Κράσσου, οἰκοδομοῦντος δὲ, ὡς Λευκόλλου [3], δημηγοροῦντος δ' ἡμῖν, ὡς Κάτωνος; καὶ τῶν ἄλλων δὲ τοὺς Φαύλους καὶ ἀκολάστους, τοῖς λόγοις δὲ σεμνοὺς καὶ αὐστηροὺς, χλευάζοντες ἐκάλουν Κάτωνας.

XX. Πολλῶν δ' αὐτὸν ἐπὶ δημαρχίαν καλούντων, οὐκ ᾤετο καλῶς ἔχειν, μεγάλης ἐξουσίας καὶ ἀρχῆς, ὥσπερ ἰσχυροῦ Φαρμάκου, δύναμιν ἐν πράγμασιν οὐκ ἀναγκαίοις ἐξαναλῶσαι. καὶ ἅμα σχολῆς οὔσης τῶν δημοσίων, παραλαβὼν βιβλία καὶ Φιλοσόφους, ἐβάδιζεν εἰς Λευκανίαν,

1 Sic R. de suo dedit pro vulg. πράττοντι.

2 Sic cum Anon. dari voluit Mos. Dus. deditque R. pro vulg. Φαβία Τερεντία, ἀδ.

3 R. dubitat, an conveniat magis ita verba collocare: δειπνοῦντος μὲν, ὡς Λευκόλλου, οἰκοδομοῦντος δὲ, ὡς Κράσσου.

κανίαν, ἀγρὸς αὐτόθι κεκτημένος ἔχοντας ἐκ ἀνελευθέρυς διατριβάς· εἶτα καθ' ὁδὸν πολλοῖς τισιν ὑποζυγίοις καὶ σκεύεσι καὶ ἀκολέθοις ἀπαντήσας, καὶ πυθόμενος, Νέπωτα Μέτελλον εἰς Ῥώμην ἐπανέρχεσθαι, δημαρχίαν μετιέναι παρεσκευασμένον, ἐπέστη σιωπῇ, καὶ διαλιπὼν μικρὸν, ἐκέλευσεν ἀναστρέφειν ὀπίσω τὺς ἑαυτῦ. τῶν δὲ φίλων θαυμασάντων· Οὐκ ἴστε, εἶπεν, ὅτι καθ' αὑτὸν ὑπ' ἐμπληξίας φοβερός ἐστι Μέτελλος· καὶ νῦν ἐκ τῆς Πομπηΐυ γνώμης ἀφιγμένος, εἰς τὴν πολιτείαν ἐμπεσεῖται δίκην σκηπτῦ, πάντα πράγματα ταράττων; ὐκῦν σχολῆς, ὐδ' ἀποδημίας καιρὸς, ἀλλὰ δεῖ κρατῆσαι τῦ ἀνδρὸς, ἢ καλῶς ἀποθανεῖν ὑπὲρ τῆς ἐλευθερίας ἀγωνιζόμενον. ὅμως δὲ τῶν φίλων παραινεσάντων, ἀφίκετο πρῶτον εἰς τὰ χωρία, καὶ διέτριψεν ὐ πολὺν χρόνον, εἶτ' ἐπανῆκεν εἰς πόλιν. ἑσπέρας δ' ἐλθὼν, εὐθὺς ἕωθεν εἰς ἀγορὰν κατέβαινε δημαρχίαν μετιὼν, ὡς ἀντιταξόμενος πρὸς τὸν Μέτελλον. τὸ γὰρ ἰσχυρὸν ἡ ἀρχὴ πρὸς τὸ κωλύειν ἔχει μᾶλλον, ἢ πρὸς τὸ πράττειν· κἂν πάντες οἱ λοιποὶ παρ' ἕνα ψηφίσωνται, τῦ μὴ θέλοντος, μηδ' ἐῶντος, τὸ κράτος ἐστί.

XXI. Τὸ μὲν ὖν πρῶτον ὀλίγοι περὶ τὸν Κάτωνα τῶν φίλων ἦσαν· φανερᾶς δὲ τῆς γνώμης αὐτῦ γενομένης, ὀλίγυ χρόνυ πάντες οἱ χρηστοὶ καὶ γνώριμοι συνέτρεχον καὶ παρεκάλυν καὶ παρεθάῤῥυνον αὐτὸν, ὡς ὐ λαμβάνοντα χάριν, ἀλλὰ τὴν μεγίστην διδόντα τῇ πατρίδι καὶ τοῖς ἐπιεικεστάτοις τῶν πολιτῶν, ὅτι πολλάκις ἀπραγμόνως ἄρξαι παρὸν, ὐ θελήσας, νῦν ὑπὲρ τῆς ἐλευθερίας καὶ πολιτείας ἀγωνιύμενος ὐκ ἀκινδύνως κάτεισι. λέγεται δὲ, πολλῶν ὑπὸ σπυδῆς καὶ φιλοφροσύνης ὠθυμένων πρὸς αὐτὸν, ἐν κινδύνῳ γενόμενος, μόλις ἐξικέσθαι διὰ πλῆθος εἰς τὴν ἀγοράν. ἀποδειχθεὶς δὲ δήμαρχος σὺν ἑτέροις, καὶ τῷ Μετέλλῳ, τὰς ὑπατικὰς ἀρχαιρεσίας ὁρῶν ὠνίυς ὔσας, ἐπετίμησε τῷ δήμῳ· καὶ καταπαύων τὸν λόγον, ἐπώμοσε, τῦ δόντος ἀργύριον,

ὅςις ἂν ᾖ, κατηγορήσειν· ἕνα Σιλανὸν ὑπεξελόμενος δι᾽ οἰκειότητα. Σερβιλίαν γὰρ, ἀδελφὴν Κάτωνος, ὁ Σιλανὸς εἶχε. διὸ τοῦτον μὲν παρῆκε, Λεύκιον δὲ Μουρήναν ἐδίωκεν, ἀργυρίῳ διαπραξάμενον ἄρχοντα μετὰ τοῦ Σιλανοῦ γενέσθαι. νόμῳ δέ τινι τοῦ φεύγοντος ἀεὶ φύλακα τῷ κατηγόρῳ διδόντος, ὥςε μὴ λαθεῖν, ἃ συνάγει καὶ παρασκευάζεται πρὸς τὴν κατηγορίαν, ὁ τῷ Κάτωνι δοθεὶς ὑπὸ τοῦ Μουρήνα, παρακολουθῶν καὶ παραφυλάττων, ὡς ἑώρα μηθὲν ἐπιβούλως πράττοντα, μηδ᾽ ἀδίκως, ἀλλὰ γενναίως καὶ φιλανθρώπως ἁπλῆν τινα τῆς κατηγορίας καὶ δικαίαν ὁδὸν πορευόμενον, οὕτως ἐθαύμαζε τὸ φρόνημα καὶ τὸ ἦθος, ὥςε κατ᾽ ἀγορὰν προσιὼν καὶ φοιτῶν ἐπὶ θύραις πυνθάνεσθαι τοῦ Κάτωνος, εἰ μέλλει τι σήμερον πραγματεύσασθαι τῶν περὶ τὴν κατηγορίαν· εἰ δὲ μὴ φαίη, πιςεύων ἀπῄει. τῆς δὲ δίκης λεγομένης, ὁ Κικέρων, ὕπατος ὢν τότε, καὶ τῷ Μουρήνᾳ συνδικῶν, πολλὰ διὰ τὸν Κάτωνα τοὺς Στωϊκοὺς φιλοσόφους, καὶ ταῦτα δὴ τὰ παράδοξα καλούμενα δόγματα χλευάζων καὶ παρασκώπτων, γέλωτα παρεῖχε τοῖς δικαςαῖς. τὸν οὖν Κάτωνα φασὶ διαμειδιάσαντα πρὸς τοὺς παρόντας ἐπὶ τοῦ βήματος [1] εἰπεῖν· Ὦ ἄνδρες, ὡς γελοῖον ὕπατον ἔχομεν. ἀποφυγὼν δὲ ὁ Μουρήνας, οὐ πονηροῦ πάθος, οὐδ᾽ ἄφρονος ἔπαθεν ἀνθρώπου πρὸς τὸν Κάτωνα. καὶ γὰρ ὑπατεύων ἐχρῆτο συμβούλῳ περὶ [2] τῶν μεγίςων, καὶ τἄλλα τιμῶν καὶ πιςεύων διετέλεσεν. αἴτιος δ᾽ ἦν ὁ Κάτων αὐτὸς, ἄχρι τοῦ βήματος καὶ τοῦ συνεδρίου χαλεπὸς ὢν καὶ φοβερὸς ὑπὲρ τῶν δικαίων, εἶτα πᾶσιν εὐνοϊκῶς καὶ φιλανθρώπως προσφερόμενος.

XXII.

1 Haec verba ἐπὶ τ. βήμ. quae in vulgatis poſtea ſequuntur inter πιςεύων & διετέλεσεν, huc transpoſuit R., facile eo loco omittenda, & a V. omiſſa; aut pro varia lect. cenſenda ſequentium ἄχρι τοῦ βήμ.

2 Abeſt haec praepoſ. a Junt. In Crat. datur ἐπί.

XXII. Πρὶν δ' εἰς τὴν δημαρχίαν καθίςαθαι, Κικέρωνος ὑπατεύοντος, ἄλλοις τε πολλοῖς ἀγῶσι τὴν ἀρχὴν ὤρθωσεν αὐτȣ̃, καὶ ταῖς περὶ Κατιλίναν πράξεσι μεγίςαις καὶ καλλίςαις γενομέναις τέλος ἐπέθηκεν [1]. αὐτὸς μὲν γὰρ ὁ Κατιλίνας, ὀλέθριόν τε καὶ παντελῆ μεταβολὴν ἐπάγων τοῖς Ῥωμαίων πράγμασι, καὶ ςάσεις ὁμȣ̃ καὶ πολέμȣς ταράττων ἐξελεγχθεὶς ὑπὸ τȣ̃ Κικέρωνος, ἐξέπεσε τῆς πόλεως. Λέντλος δὲ καὶ Κέθηγος, καὶ μετ' αὐτῶν ἕτεροι συχνοὶ, δεξάμενοι τὴν συνωμοσίαν, καὶ τῷ Κατιλίνᾳ δειλίαν καὶ μικρολογίαν τῶν τολμημάτων ἐπικαλȣ̃ντες, αὐτοὶ διενοȣ̃ντο τὴν πόλιν ἄρδην ἀναιρεῖν πυρὶ, καὶ τὴν ἡγεμονίαν ἐθνῶν ἀποςάσεσι καὶ πολέμοις ἀλλοφύλοις ἀνατρέπειν. Φανερᾶς δὲ τῆς παρασκευῆς αὐτῶν γενομένης, ὡς [2] ἐν τοῖς περὶ Κικέρωνος γέγραπται, ἐν βȣλῇ γνώμην προθέντος [3], ὁ μὲν πρῶτος εἰπὼν Σιλανὸς, ἀπεφήνατο δοκεῖν αὐτῷ τὰ ἔχατα παθεῖν χρῆναι τȣ̀ς ἄνδρας. οἱ δὲ μετ' αὐτὸν ἐφεξῆς ἠκολȣ́θησαν, ἄχρι Καίσαρος. Καῖσαρ δ' ἀναςὰς (ἅτε δὴ καὶ δεινὸς εἰπεῖν, καὶ πᾶσαν ἐν τῇ πόλει μεταβολὴν καὶ κίνησιν, ὥσπερ ὕλην ὧν αὐτὸς διενοεῖτο, βȣλόμενος αὔξειν μᾶλλον, ἢ σβεννυμένην περιορᾶν) ἐπαγωγὰ πολλὰ καὶ φιλάνθρωπα διαλεχθεὶς, ἀποκτεῖναι μὲν ἀκρίτȣς ȣ̓κ εἴα τȣ̀ς ἄνδρας, εἰρχθέντας δὲ τηρεῖν ἐκέλευσεν [4]. ȣ̔́τω δὲ τὰς γνώμας μετέςησε τῆς βȣλῆς φοβηθείσης τὸν δῆμον, ὥςε καὶ Σιλανὸν ἔξαρνον εἶναι [λέγειν [5],] ὡς ȣ̓δ' αὐτὸς εἴποι θάνατον, ἀλλ' εἱργμόν· ἔχατον γὰρ ἀνδρὶ Ῥωμαίῳ τȣ̃το κακῶν ἁπάντων.

E 2 XXIII.

1 R. monente, ſubaud. αὐτῇ — quaſi διὰ τῶν πρὸς Κατ. πράξεων ἐτελείωσε τὴν αὐτȣ̃ ὑπατείαν.

2 Locum hunc, Dacerio judice, mancum & corruptum ſic Anon. reſtituit: καὶ τȣ̃ Κικέρωνος, ὡς ἐν τοῖς περὶ ἐκείνȣ γέγραπται.

3 Junt. Ald. Crat. προςθέντος. Steph. correxit.

4 Rectius, H. Steph. judice, ἐκέλευεν.

5 R. ut redundans, uncis incluſit. H. Steph. ſuſp. εἶναι καὶ λέγειν.

XXIII. Γενομένης δὲ τοιαύτης τῆς τροπῆς, καὶ ἁπάντων ἐπὶ τὸ πρᾳότερον ῥυέντων καὶ φιλανθρωπότερον, ὁ Κάτων πρὸς τὴν γνώμην ἀναστὰς, εὐθὺς ἵετο τῷ λόγῳ μετ' ὀργῆς καὶ πάθους [1], τόν τε Σιλανὸν κακίζων τῆς μεταβολῆς, καὶ καθαπτόμενος τοῦ Καίσαρος, ὡς σχήματι δημοτικῷ καὶ λόγῳ φιλανθρώπῳ τὴν πόλιν ἀνατρέποντος, καὶ δεδιττομένου τὴν βουλὴν, ἐφ' οἷς αὐτὸν ἔδει δεδιέναι, καὶ ἀγαπᾷν, εἰ τῶν γεγονότων ἀθῷος ἀπαλλάξαι καὶ ἀνύποπτος, οὕτως περιφανῶς καὶ ἰταμῶς τοὺς κοινοὺς ἐξαρπάζων πολεμίους, καὶ τὴν παρ' οὐδὲν ἐλθοῦσαν ἀπολέσθαι πατρίδα τοιαύτην καὶ τοσαύτην ὁμολογῶν μὴ ἐλεεῖν, ἀλλ' οὓς ἔδει μὴ γενέσθαι, μηδὲ φῦναι, δακρύων καὶ ἀνακλαιόμενος, εἰ φόνων καὶ μεγάλων κινδύνων [2] ἀπαλλάξωσι τὴν πόλιν ἀποθανόντες. τοῦτον μόνον, ὧν Κάτων εἶπε, διασώζεσθαι φασὶ τὸν λόγον, Κικέρωνος τοῦ ὑπάτου τοὺς διαφέροντας ὀξύτητι τῶν γραφέων σημεῖα προδιδάξαντος, ἐν μικροῖς καὶ βραχέσι τύποις πολλῶν γραμμάτων ἔχοντα δύναμιν, εἶτ' ἄλλον ἀλλαχόσε τοῦ βουλευτηρίου σποράδην ἐμβαλόντος. οὔπω γὰρ ἤσκουν, οὐδ' ἐκέκτηντο τοὺς καλουμένους σημειογράφους, ἀλλὰ τότε πρῶτον εἰς ἴχνος τι [3] καταστῆναι λέγουσιν. ἐκράτησε δ' οὖν ὁ Κάτων, καὶ μετέστησε τὰς γνώμας [4], ὥστε θάνατον καταψηφίσασθαι τῶν ἀνδρῶν.

XXIV. Εἰ δὲ δεῖ μηδὲ τὰ μικρὰ τῶν ἠθῶν σημεῖα παραλιπεῖν, ὥσπερ εἰκόνα ψυχῆς ὑπογραφομένους, λέγεται, τότε πολλὴν ἅμιλλαν καὶ μέγαν ἀγῶνα πρὸς τὸν Κάτωνα τοῦ Καίσαρος ἔχοντος, καὶ τῆς βουλῆς εἰς ἐκείνους ἀνηρτημένης, δελτάριόν τι μικρὸν ἔξωθεν εἰσκομισθῆ-

1 V. πλήθους.

2 R. fic ftruxit has voces. Vulgo φόνων μεγάλων καὶ κινδύνων.

3 fcil. artis tachygraphicae. Ad καταστῆναι fubaud. τοὺς σημειογράφους. R.

4 Subaud. τῶν βουλευτῶν. Ad καταψηφ. fubaud. αὐτῶν. R.

μιϑῆναι τῷ Καίσαρι. τοῦ δὲ Κάτωνος εἰς ὑποψίαν ἄγοντος τὸ πρᾶγμα, καὶ διαβάλλοντος, εἶναί τινας τοὺς κινουμένους, καὶ κελεύοντος [1] ἀναγινώσκειν τὰ γεγραμμένα, τὸν Καίσαρα τῷ Κάτωνι προσδοῦναι τὸ δελτάριον ἐγγὺς ἑστῶτι. τὸν δ' ἀναγνόντα Σερβιλίας τῆς ἀδελφῆς ἐπιστόλιον ἀκόλαστον πρὸς τὸν Καίσαρα γεγραμμένον [2], ἐρώσης καὶ διεφθαρμένης ὑπ' αὐτοῦ, προσρίψαι τε τῷ Καίσαρι, καὶ εἰπεῖν· Κράτει, μέθυσε· καὶ πάλιν οὕτως ἐπὶ τὸν ἐξ ἀρχῆς λόγον τραπέσθαι. φαίνεται δ' ὅλως ἀτύχημα γενέσθαι τοῦ Κάτωνος ἡ γυναικωνῖτις. αὕτη μὲν γὰρ ἐπὶ Καίσαρι κακῶς ἤκουσε. τὰ δὲ τῆς ἑτέρας Σερβιλίας, ἀδελφῆς δὲ Κάτωνος, ἀσχημονέστερα [3]. Λευκούλλῳ γὰρ γαμηθεῖσα, πρωτεύσαντι Ῥωμαίων κατὰ δόξαν ἀνδρὶ, καὶ τεκοῦσα παιδίον, ἐξέπεσε τοῦ οἴκου δι' ἀκολασίαν. τὸ δ' αἴσχιστον, οὐδ' ἡ γυνὴ τοῦ Κάτωνος, Ἀτιλία, τοιούτων ἐκαθάρευσεν ἁμαρτημάτων, ἀλλὰ, καίπερ ἐξ αὐτῆς δύο παιδία πεποιημένος, ἀνάγκην ἔσχεν ἐκβαλεῖν ἀσχημονοῦσαν.

XXV. Εἶτ' ἔγημε ϑυγατέρα Φιλίππου, Μαρκίαν [4], ἐπιεικῆ δοκοῦσαν εἶναι γυναῖκα· περὶ ἧς ὁ πλεῖστος λόγος. καθάπερ [5] ἐν δράματι, τῷ βίῳ, τοῦτο τὸ μέρος προβληματῶδες γέγονε καὶ ἄπορον. ἐπράχθη δὲ τοῦτον

 τὸν

1 R. sic dedit de suo pro vulg. κελεύοντας. V. κελεύοντες, κινουμένους καὶ ἀναγ.

2 Sic ex conject. H. Steph. dedit R. pro vulg. γεγραμμένης.

3 V. εὐσχημονέστερα.

4 V. Μαρκίαν ὀνόματι.

5 H. Steph. qui post λόγος interpunxit, susp. καθάπερ οὖν ἐν δράμ. R. quaerit, num περὶ ἧς ὁ πλεῖστος λόγος γεγονὼς εὔλογος — προβληματῶδες εἶχε καὶ ἄπορον? Efficacioris medelae, qua hunc locum nimis impeditum restituam, haud gnarus, in hoc acquiesco: Κάτωνος γὰρ τῷ βίῳ τοῦτο τὸ μέρος προβληματῶδες ἐγγέγονε καὶ ἄπορον, οἷον ἐν δράματι scil. εἶναί τι εἴωθεν; sive Κάτωνος γὰρ τῷ βίῳ τοῦτο, καθάπερ ἐν δράματι, μέρος τι προβληματῶδες — ad meliorem sententiam facillime abiens.

τὸν τρόπον, ὡς ἱϛορεῖ Θρασέας, εἰς Μενάτιον, ἄνδρα Κάτωνος ἑταῖρον καὶ συμβιωτὴν, ἀναφέρων τὴν πίϛιν. ἐν πολλοῖς ἐραϛαῖς καὶ θαυμαϛαῖς τοῦ Κάτωνος ἦσαν ἑτέρων ἕτεροι μᾶλλον ἔκδηλοι καὶ διαφανεῖς, ὧν καὶ Κόϊντος Ὁρτήσιος, ἀνὴρ ἀξιώματός τε λαμπροῦ, καὶ τὸν τρόπον ἐπιεικής. ἐπιθυμῶν οὖν τῷ Κάτωνι μὴ συνήθης εἶναι, μηδ' ἑταῖρος μόνον, ἀλλ' ἀμασγέπως εἰς οἰκειότητα [1] καταμῖξαι καὶ κοινωνίαν πάντα τὸν οἶκον καὶ τὸ γένος, ἐπεχείρησε συμπείθειν, ὅπως τὴν θυγατέρα, Πορκίαν, Βύβλῳ συνοικοῦσαν, καὶ πεποιημένην ἐκείνῳ δύο παῖδας, αὐτῷ πάλιν, ὥσπερ εὐγενῆ χώραν, ἐντεκνώσασθαι παράσχῃ. δόξῃ μὲν γὰρ ἀνθρώπων ἄτοπον εἶναι τὸ τοιοῦτον, φύσει δὲ καλὸν καὶ πολιτικὸν, ἐν ὥρᾳ καὶ ἀκμῇ γυναῖκα μήτ' ἀργεῖν τὸ γόνιμον ἀποσβέσασαν, μήτε πλείονα τῶν ἱκανῶν ἐπιτίκτουσαν [2], ἐνοχλεῖν καὶ καταπτωχεύειν οὐδὲν δεόμενον· κοινουμένους [3] δὲ τὰς διαδοχὰς ἀξίοις ἀνδράσι, τήν τ' ἀρετὴν ἄφθονον ποιεῖν, καὶ πολύχυτον τοῖς γένεσι, καὶ τὴν πόλιν αὐτὴν πρὸς αὑτὴν ἀνακεραννύναι ταῖς οἰκειότησιν. εἰ δὲ πάντως περιέχοιτο τῆς γυναικὸς ὁ Βύβλος, ἀποδώσειν εὐθὺς τεκοῦσαν, οἰκειότερος αὐτῷ τε Βύβλῳ καὶ Κάτωνι κοινωνίᾳ παίδων γενόμενος. ἀποκριναμένου δὲ τοῦ Κάτωνος, ὡς Ὁρτήσιον μὲν ἀγαπᾷ καὶ δοκιμάζει κοινωνὸν οἰκειότητος, ἄτοπον δ' ἡγεῖται, ποιεῖσθαι λόγον περὶ γάμου θυγατρὸς ἑτέρῳ δεδομένης, μεταβαλὼν ἐκεῖνος, οὐκ ὤκνησεν ἀποκαλυψάμενος αἰτεῖν τὴν [4] αὐτοῦ γυναῖκα Κάτωνος, νέαν μὲν οὖσαν ἔτι πρὸς τὸ τίκτειν, ἔχοντος δὲ τοῦ Κάτωνος ἀποχρῶσαν διαδοχήν. καὶ οὐκ ἔϛιν εἰπεῖν, ὡς ταῦτ' ἔπραττεν εἰδὼς οὐ προσέχοντα τῇ Μαρκίᾳ τὸν Κάτω-

1 R. susp. καὶ εἰς οἰκ.

2 V. ἀποτίκτουσαν. Id. δεόμενος pro seq. δεόμενον; Post καταπτωχεύειν R. videtur deesse ἄνδρα.

3 Junt. κινουμένους; Ald. & Crat. κοινουμένου. Steph. correxit.

4 artic. hunc R. e Junt. restituit.

Κάτωνα· κύουσαν γὰρ αὐτὴν τότε τυγχάνειν λέγουσιν. ὁ δ' οὖν Κάτων, ὁρῶν τὴν τοῦ Ὁρτησίου σπουδὴν καὶ προθυμίαν, οὐκ ἀντεῖπεν, ἀλλ' ἔφη, δεῖν καὶ Φιλίππῳ ταῦτα συνδόξαι, τῷ πατρὶ τῆς Μαρκίας. ὡς οὖν ὁ Φίλιππος ἐντευχθεὶς, ἔγνω τὴν συγχώρησιν, οὐκ ἄλλως ἐνεγγύησε τὴν Μαρκίαν; ἢ παρόντος τοῦ Κάτωνος αὐτοῦ καὶ συνεγγυῶντος. ταῦτα μὲν οὖν, εἰ καὶ χρόνοις ὕστερον ἐπράχθη, μνησθέντι μοι τὸ τῶν γυναικῶν προλαβεῖν ἔδοξε.

XXVI. Τῶν δὲ περὶ τὸν Λέντλον ἀναιρεθέντων, καὶ τοῦ Καίσαρος, περὶ ὧν εἰσηγγέλθη καὶ διεβλήθη πρὸς τὴν σύγκλητον, εἰς τὸν δῆμον καταφυγόντος, καὶ τὰ πολλὰ νοσοῦντα καὶ διεφθαρμένα τῆς πολιτείας μέρη ταράττοντος καὶ συνάγοντος πρὸς αὐτὸν, ὁ Κάτων φοβηθεὶς ἔπεισε τὴν βουλὴν ἀναλαβεῖν τὸν ἄπορον καὶ ἀνέμητον [1] ὄχλον εἰς τὸ σιτηρέσιον, ἀναλώματος μὲν ὄντος ἐνιαυτοῦ [2] χιλίων καὶ διακοσίων καὶ πεντήκοντα ταλάντων. περιφανῶς δὲ τῇ φιλανθρωπίᾳ ταύτῃ καὶ χάριτι τῆς ἀπειλῆς ἐκείνης διαλυθείσης, ἐντεῦθεν εἰς τὴν δημαρχίαν ἐμπεσὼν ὁ Μέτελλος, ἐκκλησίας τε θορυβώδεις συνῆγε, καὶ νόμον ἔγραψε, Πομπήϊον Μάγνον ἰέναι κατὰ τάχος μετὰ τῶν δυνάμεων εἰς Ἰταλίαν, καὶ παραλαβόντα σώζειν τὴν πόλιν, ὡς ὑπὸ Κατιλίνα κινδυνεύουσαν. ἦν δὲ τοῦτο λόγος εὐπρεπὴς, ἔργον δὲ τοῦ νόμου καὶ τέλος, ἐγχειρίσαι τὰ πράγματα Πομπηΐῳ, καὶ παραδοῦναι τὴν ἡγεμονίαν. γενομένης δὲ βουλῆς, καὶ τοῦ Κάτω-



1 Duf. hanc vocem corruptam censet, & mavult ἀκλήμονα, vel πένητα. R. defendit vulgatam, eamque significare monet plebis partem eam, quae sine sorte exiit, sorte seu peculio carentem, cui agri portio nulla attributa est. Idem mavult ἀναβαλεῖν pro ἀναλαβεῖν, ut cohaereat cum εἰς τὸ σιτηρέσ. — plebem indotatam rejicere ad spem frumenti gratuiti dilargiendi.

2 Anon. ἐνιαυσίου, quod Mos. Duf. probat. R. tuetur vulgatam, ut sit pro δι' ἐνιαυτοῦ, *per annum, in ambitu unius anni.*

Κάτωνος ἐχ, ὥσπερ εἰώθει, τῷ Μετέλλῳ σφοδρῶς ἐμπεσόντος [1], ἀλλ᾽ ἐπιεικῆ πολλὰ καὶ μέτρια παραινέσαντος, τέλος δὲ καὶ πρὸς δεήσεις τραπομένε, καὶ τὴν Μετέλλων [2] οἰκίαν ἀεὶ γενομένην ἀριστοκρατικὴν ἐπαινέσαντος, ἔτι μᾶλλον ἐξαρθεὶς καὶ καταφρονήσας ὁ Μέτελλος ὡς ἐνδιδόντος αὐτᾶ καὶ πτήσσοντος, εἰς ὑπερηφάνες ἀπειλὰς καὶ λόγες θρασεῖς ἐξέπεσεν, ὡς βίᾳ πάντα τῆς βελῆς διαπραξόμενος. ἔτω δὴ μεταβαλὼν ὁ Κάτων καὶ σχῆμα καὶ φωνὴν καὶ λόγον, ἐπειπὼν δὲ πᾶσι τοῖς ἄλλοις διατεταμένως, ὅτι, ζῶντος αὐτᾶ, Πομπήϊος ἐ παρέσαι μεθ᾽ ὅπλων εἰς τὴν πόλιν, ἐκεῖνο τῇ βελῇ παρέστησεν, ὡς ἐδέτερος μὲν καθέστηκεν, ἐδὲ χρῆται λογισμοῖς ἀσφαλέσιν· ἔστι δ᾽ ἡ μὲν Μετέλλε πολιτεία, μανία δι᾽ ὑπερβολὴν κακίας φερομένη πρὸς ὄλεθρον καὶ σύγχυσιν ἁπάντων· ἡ δὲ Κάτωνος, ἀρετῆς [3] ἐνθεσιασμὸς ὑπὲρ τῶν καλῶν καὶ δικαίων ἀγωνιζόμενος.

XXVII. Ἐπεὶ δὲ [4] τὴν ψῆφον ὑπὲρ τᾶ νόμε φέρειν ὁ δῆμος ἔμελλε [5], καὶ Μετέλλῳ μὲν ὅπλα καὶ ξένοι καὶ μονομάχοι καὶ θεράποντες ἐπὶ τὴν ἀγορὰν τεταγμένοι [6] παρῆσαν, καὶ τὸ ποθᾶν μεταβολῆς ἐλπίδι Πομπήϊον [7] ὑπῆρχε τᾶ δήμε μέρος ἐκ ὀλίγου, ἦν δὲ μεγά-

1 R. docente, idem est ac συμπεσόντος.

2 Junt. Ald. Crat. τῷ Μετέλλῳ. Hinc in ind. Var. Frst. ex V. mihi enotatum fuisse videtur καὶ τὴν Μετ. Ex Steph. prodiit vulgata.

3 Vulgo ἀρετή. H. Steph. testatur legi etiam ἀρετῆς, & ἀγωνιζομένης (quod quoque est in V.) pro seq. ἀγωνιζόμενος. Utrumque probavit, ut sit ἡ δὲ Κάτωνος (subaudi πολιτεία) ἀρετῆς ἐνθεσιασμὸς — ἀγωνιζομένης. Idem voluit Duf. Prius recepit R. in posteriori vulgatam retinuit.

4 Observari vult h. l. H. Steph. usum particulae ἐπεί, alibi in Plutarcho quoque obvium, & annotatum.

5 Junt. ἤμελλε.

6 R. mavult συντεταγμένοι.

7 Lectionem hanc R. e Junt. revocavit, ut ad ποθᾶν referatur, pro vulg. Πομπηΐε.

μεγάλη καὶ ἀπὸ Καίσαρος ῥώμη, ςρατηγῦντος τότε· Κάτωνι δ' οἱ πρῶτοι τῶν πολιτῶν συνηγανάκτϑν, καὶ συνηδικῦντο μᾶλλον, ἢ συνηγωνίζοντο, πολλὴ δὲ τὴν οἰκίαν αὐτῦ κατήφεια καὶ φόβος εἶχεν, ὥςε τῶν φίλων ἐνίϑς ἀσίτϑς διαγρυπνῆσαι μετ' ἀλλήλων, ἐν ἀπόροις ὄντας ὑπὲρ αὐτῦ λογισμοῖς, καὶ γυναῖκας [1] καὶ ἀδελφὰς ποτνιωμένας καὶ δακρυϑσας. αὐτὸς δ' [2] ἀδεῶς καὶ τεθαῤῥηκότως ἐντυχὼν πᾶσι, καὶ παρηγορήσας, καὶ γενόμενος περὶ δεῖπνον, ὥσπερ εἰώθει, καὶ νυκτερεύσας, ὑφ' ἑνὸς τῶν συναρχόντων, Μινυκίϑ [3] Θέρμϑ, βαθέως καθεύδων ἐπηγέρθη· καὶ κατέβησαν εἰς ἀγορὰν, ὀλίγων μὲν αὐτϑς προπεμπόντων, πολλῶν δ' ἀπαντώντων, καὶ φυλάττεσθαι διακελευομένων. ὡς ϑν ἐπιςὰς ὁ Κάτων κατεῖδε τὸν νεὼν τῶν Διοσκϑρων ὅπλοις περιεχόμενον, καὶ τὰς ἀναβάσεις φρϑρϑμένας ὑπὸ μονομάχων, αὐτὸν δὲ καθήμενον ἄνω μετὰ Καίσαρος τὸν Μέτελλον, ἐπιςρέψας πρὸς τϑς φίλϑς· Ὦ θρασέος, εἶπεν, ἀνθρώπϑ καὶ δειλϑ, ὃς καθ' ἑνὸς ἀνόπλϑ καὶ γυμνϑ τοσϑτϑς ἐςρατολόγησεν. Ἅμα δ' εὐθὺς ἐβάδιζε μετὰ τϑ Θέρμϑ. καὶ διέςησαν αὐτοῖς ἐκεῖνοι οἱ τὰς ἀναβάσεις κατέχοντες, ἄλλον δ' ϑδένα παρῆκαν, ἢ [4] μόλις ἐπισπάσας τῆς χειρὸς ὁ Κάτων τὸν Μϑνάτιον ἀνήγαγε· καὶ βαδίζων εὐθὺς, ὡς εἶχε, καθίζει μέσον ἐμβαλὼν ἑαυτὸν τϑ Μετέλλϑ καὶ τϑ Καίσαρος, ὥςε διακόψαι τὴν κοινολογίαν. κἀκεῖνοι μὲν διηπόρησαν, οἱ δὲ χαρίεντες θεασάμενοι καὶ θαυμάσαντες τὸ πρόσωπον καὶ τὸ φρόνημα καὶ τὸ θάρσος τϑ Κάτωνος, ἐγγυτέρω προσῆλθον, καὶ βοῇ διεκελεύσαντο, τῷ μὲν Κάτωνι θαῤῥεῖν,

 μένειν

1 Mos. Dus. reponi vult γυναῖκα. R. retenta voce γυναῖκας delendum censet καὶ ἀδελφὰς, aut alias legendum γυναῖκας καὶ θυγατέρας καὶ ἀδελφὰς ὁρᾶσθαι ποτνιωμένας.

2 Subaud. ἑωρᾶτο. R.

3 Anon. Μινϑκίϑ, quod probat Mos. Dus. In ed. Steph. prioribus Μινκίϑ. Pro seq. κατέβησαν V. κατεβόησαν.

4 R. quaerit, num εἰ μή?

μένειν δ' ἀλλήλοις [1], καὶ συςρέφεσθαι, καὶ μὴ προδιδόναι τὴν ἐλευθερίαν, καὶ τὸν ὑπὲρ αὐτῆς ἀγωνιζόμενον.

XXVIII. Ἔνθα δὴ τȣ̃ ὑπηρέτȣ τὸν νόμον προχειρισαμένȣ, τȣ̃ δὲ Κάτωνος ȣ̓κ ἐῶντος ἀναγινώσκειν· τȣ̃ δὲ Μετέλλȣ παραλαβόντος αὐτὸν, καὶ ἀναγινώσκοντος, ὁ μὲν Κάτων ἐξήρπασε τὸ βιβλίον· ὁ δὲ Θέρμος, ἀπὸ ςόματος τȣ̃ Μετέλλȣ τὸν νόμον ἐπιςαμένȣ καὶ λέγοντος, ἐπέσχε τῇ χειρὶ τὸ ςόμα, καὶ τὴν φωνὴν ἀπέκλεισεν, ἄχρις ȣ̓ ἄμαχον ὁρῶν ἀγῶνα τȣ̀ς ἄνδρας ὁ Μέτελλος ἀγωνιζομένȣς, καὶ τὸν δῆμον ἡττώμενον, πρὸς τὸ συμφέρον τρεπόμενος [2], ἐκέλευσεν οἴκοθεν ὁπλίτας μετὰ φόβȣ καὶ κραυγῆς ἐπιτρέχειν. γενομένȣ δὲ τȣ́τȣ, καὶ πάντων διασκεδασθέντων, ὑποςάντα μόνον τὸν Κάτωνα, καὶ βαλλόμενον λίθοις καὶ ξύλοις ἄνωθεν, ȣ̓ περιεῖδε [3] Μȣρήνας, ὁ τὴν δίκην φυγὼν ὑπ' αὐτȣ̃ καὶ κατηγορηθεὶς, ἀλλὰ τὴν τήβεννον προϊσχόμενος, καὶ βοῶν ἀνασχεῖν τοῖς βάλλȣσι, καὶ τέλος αὐτὸν τὸν Κάτωνα πείθων καὶ περιπτύσσων, εἰς τὸν νεὼν τῶν Διοσκȣ́ρων ἀπήγαγεν. ἐπεὶ δὲ κατεῖδεν ὁ Μέτελλος ἐρημίαν περὶ τὸ βῆμα καὶ φυγὴν δι' ἀγορᾶς τῶν ἐναντιȣμένων, παντάπασι πεισθεὶς κρατεῖν, ἐκέλευσεν ἀπιέναι [4] πάλιν τȣ̀ς ὁπλοφόρȣς, καὶ προσελθὼν [5] κοσμίως αὐτὸς ἐπεχείρει πράττειν τὰ περὶ τὸν νόμον. οἱ δ' ἐναντίοι ταχέως ἀναλαβόντες ἑαυτȣ̀ς ἐκ

τῆς

1 scil. διεκελεύσαντο. R. Ut hoc ipsum junctum sit cum ἀλλήλοις, H. Steph. post μένειν δὲ interpunxit.

2 Junt. Ald. Crat. τρεπόμενον. Sic & Cruser. vertit: *& utilitati cedentem.* Pro seq. οἴκοθεν Dacer. mavult ἐκεῖθεν vel αὐτόθεν, cum in Castoris templo, non in Metelli domo, manus illa armata praesto fuerit.

3 V. παρεῖδε. Pro seq. τήβεννον Junt. τήβενναν.

4 R. sic dedit pro vulg. ἀπεῖναι. Idem dandum esse monuit H. Steph.

5 Br. voluit προελθών.

τῆς τροπῆς, ἐπῄεσαν αὖθις, ἐμβοήσαντες μέγα καὶ θαῤῥαλέον· ὥστε τοῖς περὶ τὸν Μέτελλον ἐμπεσεῖν ταραχὴν καὶ δέος, οἰομένοις, ὅπλων ποθὲν εὐπορήσαντας αὐτοὺς ἐπιφέρεσθαι, καὶ μηδένα μένειν, ἀλλὰ φεύγειν ἅπαντας ἀπὸ τοῦ βήματος. οὕτω δὴ σκεδασθέντων ἐκείνων, τοῦ δὲ Κάτωνος προελθόντος, καὶ τὰ μὲν ἐπαινέσαντος, τὰ δ' ἐπιῤῥώσαντος τὸν δῆμον, οἵ τε πολλοὶ παρετάξαντο παντὶ τρόπῳ καταλῦσαι τὸν Μέτελλον, ἥ τε σύγκλητος ἀθροισθεῖσα παρήγγειλεν ἀρχῆθεν [1] βοηθεῖν τῷ Κάτωνι, καὶ διαμάχεσθαι πρὸς τὸν νόμον, ὡς στάσιν ἐπεισάγοντα τῇ Ῥώμῃ, καὶ πόλεμον ἐμφύλιον.

XXIX. Ὁ δὲ Μέτελλος αὐτὸς μὲν ἦν ἄτρεπτος καὶ θρασὺς ἔτι, ὁρῶν δὲ τοὺς περὶ αὐτὸν ἐκπεπληγμένους κομιδῇ τὸν Κάτωνα, καὶ νομίζοντας ἄμαχον καὶ δυσεκβίαστον, αἰφνίδιον ἐξεπήδησεν εἰς τὴν ἀγορὰν, καὶ συναγαγὼν τὸν δῆμον, ἄλλα τε πολλὰ περὶ τοῦ Κάτωνος ἐπίφθονα διῆλθε, καὶ φεύγειν τὴν τυραννίδα βοῶν τὴν ἐκείνου, καὶ τὴν κατὰ Πομπηΐου συνωμοσίαν, ἐφ' ἧ μετανοήσειν ταχὺ τὴν πόλιν ἀτιμάζουσαν ἄνδρα τοσοῦτον, ὥρμησεν εὐθὺς εἰς Ἀσίαν, ὡς ταῦτα πρὸς ἐκεῖνον κατηγορήσων. ἦν οὖν δόξα μεγάλη τοῦ Κάτωνος, ἄχθος οὐ μικρὸν ἀπεσκευασμένου τῆς δημαρχίας, καὶ τρόπον τινὰ τὴν Πομπηΐου δύναμιν ἐν Μετέλλῳ καθῃρηκότος. ἔτι δὲ μᾶλλον εὐδοκίμησε, τὴν σύγκλητον ὡρμημένην ἀτιμοῦν καὶ ἀποψηφίζεσθαι τὸν Μέτελλον οὐκ ἐάσας, ἀλλ' ἐναντιωθεὶς καὶ παραιτησάμενος. οἵ τε γὰρ πολλοὶ φιλανθρωπίας ἐποιοῦντο καὶ μετριότητος, τὸ μὴ ἐπεμβῆναι τῷ ἐχθρῷ, μηδ' ἐνυβρίσαι, κατὰ κράτος περιγενόμενον· τοῖς τε φρονίμοις ὀρθῶς ἐφαίνετο καὶ συμφερόντως μὴ παροξύνας Πομπήϊον. ἐκ τούτου Λεύκουλλος

1 Corruptam hanc vocem cenſuit Moſ. Duſ. Suſp. τοῖς ἄρχουσι, ſ. ταῖς ἀρχαῖς. R. tuetur vulgatam, & explicat: *denuo, von friſchem, rurſus a principio.*

λος ἐπανελθὼν ἐκ τῆς στρατείας, ἧς ἔδοξε τὸ τέλος καὶ τὴν δόξαν ἀφῃρῆσθαι Πομπήϊος, εἰς κίνδυνον ἦλθε τοῦ μὴ θριαμβεῦσαι, Γαΐου Μεμμίου κατασιάζοντος αὐτὸν ἐν τῷ δήμῳ, καὶ δίκας ἐπάγοντος, εἰς τὴν Πομπηΐου χάριν μᾶλλον, ἢ κατ' ἔχθος ἴδιον. ὁ δὲ Κάτων, οἰκειότητός τε πρὸς Λεύκουλλον αὐτῷ γεγενημένης, ἔχοντος Σερβιλίαν τὴν ἀδελφὴν αὐτοῦ, καὶ τὸ πρᾶγμα δεινὸν ἡγούμενος, ἀντέστη τῷ Μεμμίῳ, καὶ πολλὰς ὑπέμεινε διαβολὰς καὶ κατηγορίας. τέλος δὲ [1], τῆς ἀρχῆς ἐκβαλλόμενος ὡς τυραννίδος, τοσοῦτον ἐκράτησεν, ὥστε τὸν Μέμμιον αὐτὸν ἀναγκάσαι τῶν δικῶν ἀποστῆναι, καὶ φυγεῖν τὸν ἀγῶνα. Λεύκουλλος μὲν οὖν θριαμβεύσας, ἔτι μᾶλλον ἐνεφύετο τῇ φιλίᾳ [2] τοῦ Κάτωνος, ἔχων ἔρυμα καὶ πρόβλημα μέγα πρὸς τὴν Πομπηΐου δύναμιν.

XXX. Πομπήϊος δὲ μέγας ἀπὸ τῆς στρατείας ἐπανιὼν, καὶ τῇ λαμπρότητι καὶ προθυμίᾳ τῆς ὑποδοχῆς πεποιθὼς οὐδὲν ἂν δεηθεὶς ἀποτυχεῖν τῶν πολιτῶν, προῦπεμπεν [3] ἀξιῶν τὰς ὑπατικὰς ἀρχαιρεσίας ἀναβάλλεσθαι τὴν σύγκλητον, ὡς ἂν αὐτὸς παρὼν Πείσωνι συναρχαιρεσιάσῃ. τῶν δὲ πλείστων ὑπεικόντων, οὐ τὴν ἀναβολὴν μέγιστον ὁ Κάτων ἡγούμενος, ἀλλὰ τὴν πεῖραν ἀποκόψαι καὶ τὴν ἐλπίδα τοῦ Πομπηΐου βουλόμενος, ἀντεῖπε, καὶ μετέστησε τὴν βουλὴν, ὥστ' ἀποψηφίσασθαι. τοῦτο τὸν Πομπήϊον

1 Sana haec Mosi Dnſ. non videntur. Sic legendum cenſet: τέλος δὲ, μετιὼν τῆς ἀρχῆς ἐκβαλλομένου ὡς τυραννοῦντος, vel pro ὡς τυραννίδος miſſo ὡς & commate interpoſito, τυραννίδος τοσοῦτον. R. docente ἐκβαλλόμενος conatum, tametſi fruſtraneum indicat. — *Memmio hoc contendente, ut Catonem tribunatu, quaſi tyrannide quadam expelleret.* Eum ſequitur Schirach: Kindio autem Plutarchi dictio de fine, Catonis tribunatui juſto tempore imponendo, intelligenda videtur. Vertit: *als er endlich ſein Amt — niederlegen muſste.* H. Steph. pro ὡς τυρ. legi quoque teſtatur τυραννικῶς; Idem enotatur e V.

2 Teſte H. Steph. legitur etiam τῇ φιλανθρωπίᾳ. Sic quoque V.

3 V. προῦπεμψεν.

πήϊον ἐκ ἡσυχῇ διετάραξε· καὶ νομίζων, ἐ μικρὰ προσπταίσειν τῷ Κάτωνι μὴ φίλῳ γενομένῳ, μετεπέμψατο Μενάτιον, ἑταῖρον αὐτȣ· καὶ δύο τȣ Κάτωνος ἀδελφιδᾶς ἐπιγάμȣς ἔχοντος, ᾔτει τὴν μὲν πρεσβυτέραν ἑαυτῷ γυναῖκα, τὴν δὲ νεωτέραν τῷ υἱῷ. τινὲς δέ φασιν, ἐ τῶν ἀδελφιδῶν, ἀλλὰ τῶν θυγατέρων, τὴν μνηστείαν γενέσθαι. τȣ δὲ Μενατίȣ ταῦτα πρὸς τὸν Κάτωνα καὶ τὴν γυναῖκα καὶ τὰς ἀδελφὰς φράσαντος, αἱ μὲν ὑπερηγάπησαν τὴν οἰκειότητα, πρὸς τὸ μέγεθος καὶ τὸ ἀξίωμα τȣ ἀνδρός [1]· ὁ δὲ Κάτων, ἐτ' ἐπισχὼν, ἔτε βȣλευσάμενος, ἀλλὰ πληγεὶς εὐθὺς εἶπε· Βάδιζε, Μενάτιε, βάδιζε, καὶ λέγε πρὸς Πομπήϊον, ὡς Κάτων ἐκ ἔςι διὰ τῆς γυναικωνίτιδος ἁλώσιμος, ἀλλὰ τὴν μὲν εὔνοιαν ἀγαπᾷ, καὶ τὰ δίκαια ποιȣντι φιλίαν παρέξει πάσης πιςοτέραν οἰκειότητος, ὅμηρα δ' ἐ προήσεται τῇ Πομπηΐȣ δόξῃ κατὰ τῆς πατρίδος. Ἐπὶ τȣτοις ἤχθοντο μὲν αἱ γυναῖκες, ᾐτιῶντο δ' οἱ φίλοι τȣ Κάτωνος ὡς ἄγροικον ἅμα καὶ ὑπερήφανον τὴν ἀπόκρισιν. εἶτα μέντοι πράττων τινὶ τῶν φίλων [2] ὑπατείαν ὁ Πομπήϊος, ἀργύριον εἰς τὰς φυλὰς ἔπεμπε, καὶ περιβόητος ὁ δεκασμὸς ἦν, ἐν κήποις ἐκείνȣ τῶν χρημάτων ἀριθμȣμένων. εἰπόντος ȣν τȣ Κάτωνος πρὸς τὰς γυναῖκας, ὅτι τοιȣτων [3] ἦν κοινωνεῖν καὶ ἀναπίμπλασθαι πραγμάτων ἀνάγκη, Πομπηΐῳ συναφθέντα δι' οἰκειότητος, ὡμολόγȣν ἐκεῖναι κάλλιον αὐτὸν βεβȣλεῦσθαι διακρȣσάμενον. εἰ δὲ δεῖ πρὸς τὰ συμβάντα κρίνειν, τȣ παντὸς ἔοικεν ὁ Κάτων ἁμαρτεῖν τὴν οἰκειότητα μὴ δεξάμενος, ἀλλ' ἐάσας πρὸς Καίσαρα τραπέσθαι, καὶ γῆμαι γάμον, ὃς τὴν Πομπηΐȣ δύναμιν καὶ Καίσαρος εἰς ταὐτὸ συνενεγκὼν,

1 R. post h. v. deesse videtur ἀφορῶσαι.

2 L. Afranio. Xyl.

3 Recte sic in R. ed. extat pro τοιȣτων, quod in Br. legitur, & τοιȣτον, quod est in Steph. & Frst. — In Junt. Ald. Crat. & Anon. est τοιȣτων.

νεγκὼν, ὀλίγȣ τὰ μὲν Ῥωμαίων ἀνέτρεψε [1] πράγματα, τὴν δὲ πολιτείαν ἀνεῖλεν. ὧν ȣ̓θὲν ἂν ἴσως συνέπεσεν, εἰ μὴ Κάτων, τὰ μικρὰ τȣ̃ Πομπηΐȣ φοβηθεὶς ἁμαρτήματα, τῶν μεγίϛων περιεῖδεν αὐτὸν ἑτέρων δύναμιν προσγενόμενον [2].

XXXI. Ταῦτα μὲν ȣ̃ν ἔμελλεν ἔτι. Λευκȣ́λλȣ δὲ περὶ τῶν ἐν Πόντῳ διατάξεων [3] ϛασιάσαντος πρὸς Πομπήϊον, (ἠξίȣν γὰρ ἰσχύειν ἑκάτερος τὰ ὑφ᾽ αὐτȣ̃ γενόμενα) καὶ Λευκȣ́λλῳ Κάτωνος ἀδικȣμένῳ περιφανῶς προσαμύνοντος, ἐλαττȣ́μενος ὁ Πομπήϊος ἐν συγκλήτῳ, καὶ δημαγωγῶν [4], ἐπὶ νομὴν χώρας ἐκάλει τὸ ϛρατιωτικόν. ὡς δὲ κἀνταῦθα Κάτων ἐνιϛάμενος ἐξέκρȣσε τὸν νόμον, ȣ̃τω Κλωδίȣ τε περιείχετο, τȣ̃ τότε θρασυτάτȣ τῶν δημαγωγῶν [5]. καὶ Καίσαρα προσήγετο, τρόπον τινὰ Κάτωνος αὐτȣ̃ παρασχόντος ἀρχήν. ὁ γὰρ Καῖσαρ, ἀπὸ τῆς ἐν Ἰβηρίᾳ ϛρατηγίας ἐπανήκων, ἅμα μὲν ὑπατείαν ἐβȣ́λετο παραγγέλλειν, ἅμα δ᾽ ᾔτει θρίαμβον. ἐπεὶ δὲ κατὰ νόμον ἔδει τȣ̀ς μὲν ἀρχὴν μετιόντας παρεῖναι, τȣ̀ς δὲ μέλλοντας εἰσελαύνειν θρίαμβον ἔξω τείχȣς ὑπομένειν, ἠξίȣ παρὰ τῆς βȣλῆς αὐτῷ δοθῆναι, δι᾽ ἑτέρων αἰτεῖσθαι τὴν ἀρχήν· βȣλομένων δὲ πολ-

1 V. *συνέτριψεν.*

2 Corrupta haec esse & manca, facile cuivis patet. Anon. *περιεῖδεν αὐτὸν αἴτιον ἑτέρων δυνάμει προσγ.* quod Dacer. probat. Br. & Mos. Dus. susp. *τῶν μεγίϛων περιεῖδεν αὐτὸν αἴτιον, ἑτέρων δυνάμει* (aut *δυνάμεως*) *προσθήκην γενόμενον.* R. *τῶν μεγίϛων περιεῖδεν αὐτὸν αἴτιον κατὰ δύναμιν γενόμενον, commiserit, ut, quod per se staret, ipse Pompejum ad errores lapsusque foedissimos impelleret.* V. *ἑτέραν δύναμιν.*

3 Junt. *τάξεων*; unde repetiit V. — In ind. Frst. abest nota codicis.

4 nom. sing. partic. praes. a *δημαγωγεῖν*, *blanditiis & promissis atque spe devinciens sibi, ductitansque plebem.* Posse quoque pro genit. plur. a *δημαγωγός* haberi, R. conjecit, ut sit sensus: *in senatu ab ipsis adeo tribunis plebis victus*; monet tamen ipse, hoc sensu non *δημαγωγοὶ* sed *δήμαρχοι* usurpari.

5 Br. mavult *δημάρχων.*

πολλῶν, ἀντέλεγεν ὁ Κάτων· ὡς δ' ἤθετο χαριζομένους τῷ Καίσαρι, λέγων ὅλην κατανάλωσε τὴν ἡμέραν, καὶ τὴν βουλὴν οὕτως ἐξέκρουσε. χαίρειν οὖν ἐάσας τὸν θρίαμβον ὁ Καῖσαρ, εἰσελθὼν εὐθὺς εἴχετο Πομπηΐου καὶ τῆς ὑπατείας. ἀποδειχθεὶς δ' ὕπατος, τήν τε Ἰουλίαν ἐνεγγύησεν αὐτῷ, καὶ συστάντες ἤδη μετ' ἀλλήλων ἐπὶ τὴν πόλιν, ὁ μὲν εἰσέφερε νόμους τοῖς πένησι κληρουχίαν καὶ νομὴν χώρας διδόντας, ὁ δὲ παρῆν τοῖς νόμοις βοηθῶν. οἱ δὲ περὶ Λεύκουλλον καὶ Κικέρωνα Βύβλῳ, τῷ ἑτέρῳ τῶν ὑπάτων, συντάξαντες ἑαυτοὺς ἀντέπραττον· μάλιστα δὲ Κάτων, ἤδη μὲν ὑφορώμενος τὴν Καίσαρος καὶ Πομπηΐου φιλίαν καὶ σύστασιν ἐπ' οὐδενὶ δικαίῳ γεγενημένην· φοβεῖσθαι δὲ φάσκων οὐ τὴν νομὴν τῆς χώρας, ἀλλ' ὃν ἀντὶ ταύτης ἀπαιτήσουσι μισθὸν οἱ χαριζόμενοι καὶ δελεάζοντες τὸ πλῆθος.

XXXII. Ὡς [1] δὲ ταῦτα λέγων τήν τε βουλὴν ὁμόψηφον εἶχε, καὶ τῶν ἐκτὸς ἀνθρώπων οὐκ ὀλίγοι παρίσταντο, δυσχεραίνοντες τὴν ἀτοπίαν τοῦ Καίσαρος· ἃ γὰρ οἱ θρασύτατοι δήμαρχοι καὶ ὀλιγωρότατοι πρὸς χάριν ἐπολιτεύοντο τῶν πολλῶν, ταῦτ' ἀπ' ἐξουσίας ὑπατικῆς αἰσχρῶς καὶ ταπεινῶς ὑποδυόμενος τὸν δῆμον ἔπραττε· φοβηθέντες [2] οὖν ἐχώρουν διὰ βίας, καὶ πρῶτον μὲν αὐτῷ τῷ Βύβλῳ καταβαίνοντι κοπρίων ἐπεσκεδάσθη κόφινος, ἔπειτα τοῖς ῥαβδούχοις προσπεσόντες αὐτοῦ κατέκλασαν τὰς ῥάβδους· τέλος δὲ, καὶ βελῶν φερομένων καὶ πολλῶν συντιτρωσκομένων, ἔφυγον ἐξ ἀγορᾶς δρόμῳ μὲν οἱ λοιποὶ πάντες, ἔσχατος δὲ Κάτων ἀπῄει βάδην, μεταστρε-

1 H. Steph. obſervante, aut particula ὡς abundat, aut, ſi ea pro ἐπεὶ accipitur, & quae ſequuntur, ἃ γὰρ οἱ θρασ. — usque ad ἔπραττε, pro parentheſi includuntur, perticula οὖν poſt φοβηθέντες vacat; aut ὡς δὲ ταῦτα λέγων idem valent, ac *quatenus autem haec dicebat*; aut ſi haec eſſet verborum ſeries εἶχε δὲ τὴν βουλὴν ὁμόψηφον, ὡς ταῦτα λέγων, reddi poſſet *utpote*.

2 Caeſar cum factione ſua. R.

στρεφόμενος καὶ καταρώμενος τοὺς πολίτας [1]. οὐ μόνον οὖν τὴν διανομὴν ἐκύρωσαν, ἀλλὰ καὶ προσεψηφίσαντο τὴν σύγκλητον ὀμόσαι πᾶσαν, ἦ μὴν ἐπιβεβαιώσειν τὸν νόμον, καὶ βοηθήσειν, ἄν τις τἀναντία πράττῃ· μεγάλα τάξαντες ἐπιτίμια κατὰ τῶν μὴ ὀμοσάντων. ὤμνυσαν οὖν ἅπαντες ἐξ ἀνάγκης, τὸ Μετέλλου τοῦ παλαιοῦ [2] πάθος ἐν νῷ λαμβάνοντες, ὃν εἰς νόμον ὅμοιον ὀμόσαι μὴ θελήσαντα περιεῖδεν ὁ δῆμος ἐκπεσόντα φυγῇ τῆς Ἰταλίας. διὸ καὶ τὸν Κάτωνα πολλὰ μὲν αἱ γυναῖκες οἴκοι δακρύουσαι καθικέτευον εἶξαι καὶ ὀμόσαι, πολλὰ δ' οἱ φίλοι καὶ συνήθεις. ὁ δὲ μάλιστα καὶ συμπείσας καὶ ἀγαγὼν αὐτὸν [3] ἐπὶ τὸν ὅρκον, ἦν Κικέρων ὁ ῥήτωρ, παραινῶν καὶ διδάσκων, ὡς τάχα μὲν οὐδὲ δίκαιόν ἐστι τοῖς ἐγνωσμένοις κοινῇ μόνον οἴεσθαι δεῖν ἀπειθεῖν, ἐν δ' ἀδυνάτῳ τῷ μεταστῆσαί τι τῶν γεγονότων [4] ἀφειδεῖν ἑαυτοῦ, παντάπασιν ἀνόητον καὶ μανικόν. ἔσχατον δὲ κακῶν, εἰ, δι' ἣν ἅπαντα πράττει, πόλιν ἀφεὶς καὶ προέμενος τοῖς ἐπιβουλεύουσιν, ὥσπερ ἄσμενος ἀπαλλάξεται τῶν ὑπὲρ αὐτῆς ἀγώνων. καὶ γάρ, εἰ μὴ Κάτων τῆς Ῥώμης, ἀλλ' ἡ Ῥώμη δεῖται Κάτωνος. δέονται δὲ καὶ οἱ φίλοι πάντες, ὧν αὐτὸν εἶναι πρῶτον ὁ Κικέρων ἔλεγεν, ἐπιβουλευόμενον ὑπὸ Κλωδίου διὰ τῆς [5] δημαρχίας ἄντικρυς ἐπ' αὐτὸν βαδίζοντος. ὑπὸ τούτων φασὶ καὶ τοιούτων τὸν Κάτωνα λόγων καὶ δεήσεων μαλασσόμενον οἴκοι καὶ κατ' ἀγορὰν ἐκβιασθῆναι μόλις, καὶ προσελθεῖν πρὸς τὸν ὅρκον, ἔσχατον ἁπάντων, πλὴν ἑνὸς Φαωνίου τῶν φίλων καὶ συνήθων.

XXXIII.

1 R. susp. τοῖς πολίταις, cum καταρᾶσθαί τινι dicatur.

2 Numidici illius. Xyl.

3 Deest Junt. Ald. Crat. αὐτόν.

4 Pro γεγονότων legi quoque ἀδυνάτων, testatur H. Steph. bene monens, non stare posse ἀδυνάτῳ, lectionemque vulgatam perinde esse, ac si dictum esset ὄντος δὲ ἀδυνάτου τοῦ μεταστῆσαι, vel ἐπειδὴ δὲ ἀδύνατόν ἐστι τὸ μεταστ. vel εἰ δὲ ἀδύνατόν ἐστι.

5 Articulum de suo addidit R.

XXXIII. Ἐπαρθεὶς ἦν ὁ Καῖσαρ ἄλλιν εἰσέφερε νόμον, τὴν Καμπανίαν σχεδὸν ὅλην προσκατανέμοντα τοῖς ἀπόροις καὶ πένησιν. ἀντέλεγε δ' ἐδεὶς, πλὴν τῦ Κάτωνος. καὶ τῦτον ἀπὸ τῦ βήματος ὁ Καῖσαρ εἷλκεν εἰς δεσμωτήριον, ἐδέν τι μᾶλλον ὑφιέμενον τῆς παῤῥησίας, ἀλλ' ἐν τῷ βαδίζειν ἅμα περὶ τῦ νόμυ διαλεγόμενον, καὶ παραινῦντα παύσαθαι τοιαῦτα πολιτευομένυς. ἐπηκολέθει δ' ἡ βυλὴ μετὰ κατηφείας, καὶ τῦ δήμυ τὸ βέλτισον, ἀγανακτῦν σιωπῇ καὶ ἀχθόμενον, ὥσε τὸν Καίσαρα μὴ λανθάνειν βαρέως φέροντας, ἀλλὰ φιλονεικῶν καὶ περιμένων ὑπὸ τῦ Κάτωνος ἐπίκλησιν γενέθαι καὶ δέησιν, προῆγεν. ἐπεὶ δ' ἐκεῖνος ἦν δῆλος ἐδὲ μελλήσων τι ποιεῖν [1], ἡττηθεὶς ὑπ' αἰσχύνης καὶ ἀδοξίας ὁ Καῖσαρ, αὐτός τινα τῶν δημάρχων ὑφῆκε, πείσας ἐξελέθαι τὸν Κάτωνα. τοῖς μέντοι νόμοις ἐκείνοις καὶ ταῖς χάρισι τιθασσεύσαντες τὸν ὄχλον, ἐψηφίσαντο Καίσαρι μὲν Ἰλλυριῶν καὶ Γαλατίας ἀρχὴν [2] ἁπάσης, καὶ τέσσαρα τάγματα σρατιᾶς εἰς πενταετίαν, προλέγοντος Κάτωνος, ὡς [3] εἰς ἀκρόπολιν τὸν τύραννον αὐτοὶ ταῖς ἑαυτῶν ψήφοις ἱδρύεσιν. Πόπλιον δὲ Κλώδιον ἐκ πατρικίων εἰς δημοτικὲς παρανόμως μετασήσαντες, ἀπέδειξαν δήμαρχον, ἐπὶ μισθῷ τῇ Κικέρωνος ἐξελάσει, πάντα πρὸς χάριν ἐκείνοις πολιτευόμενον. ὑπάτες δὲ Πείσωνά τε Καλπύρνιον, ὃς ἦν πατὴρ τῆς Καίσαρος γυναικὸς, καὶ Γαβίνιον Αὖλον [4], ἐκ τῶν Πομπηίε

1 R. quaerit, num ἐδὲ μέλλων τῦτων τι ποιήσειν?

2 Sic, Br. probante, R. dedit e Junt. pro vulg. ἄρχειν. Mof. Duf. mavult Καίσαρα pro Καίσαρι, ut poftea Πόπλιον δὲ, retento ἄρχειν.

3 Partic. ὡς addendam cenfuit Duf. deditque R. Vulgo deeft.

4 Sic cum Anon. dari voluit Duf. deditque R. Vulgo Παῦλον. In feq. edd. Steph. & Frft. poft κόλπων dant comma. Hinc H. Steph. monet, nifi expungatur haec interpunctio, merito aliqua verba deeffe exiftimari.

πηίκ κόλπων ἄνθρωπον, ὥς φασιν οἱ τὸν τρόπον αὐτῦ καὶ τὸν βίον εἰδότες.

XXXIV. Ἀλλὰ καίπερ ὅτως τὰ πράγματα κατειληφότες ἐγκρατῶς, καὶ τὸ μὲν χάριτι τῆς πόλεως, τὸ δὲ φόβῳ μέρος ὑφ' ἑαυτὸς ἔχοντες, ὅμως ἐφοβῦντο τὸν Κάτωνα. καὶ γὰρ ἐν οἷς περιῆσαν αὐτῦ, τό γε [1] χαλεπῶς καὶ μετὰ πόνων καὶ μὴ χωρὶς αἰσχύνης, ἀλλ' ἐλεγχομένυς, βιάζεσθαι μόλις, ἀνιαρὸν ἦν καὶ πρόσαντες. ὁ δὲ Κλώδιος ὐδὲ Κικέρωνα καταλύσειν ἤλπιζε Κάτωνος παρόντος· ἀλλὰ τῦτο διαμηχανώμενος πρῶτον, ὡς εἰς ἀρχὴν κατέστη, μετεπέμψατο Κάτωνα, καὶ λόγυς αὐτῷ προσήνεγκεν, ὡς πάντων ἐκεῖνον ἡγύμενος ἄνδρα Ῥωμαίων καθαρώτατον, ἔργῳ διδόναι πίστιν ἕτοιμός ἐστι. πολλῶν γὰρ αἰτυμένων τὴν ἐπὶ Κύπρον ἀρχὴν [2], καὶ δεομένων ἀποσταλῆναι, μόνον ἄξιον ἐκεῖνον ἡγεῖσθαι, καὶ διδόναι τὴν χάριν ἡδέως. ἀνακραγόντος δὲ τῦ Κάτωνος, ὡς ἐνέδρα τὸ πρᾶγμα καὶ προπηλακισμός, ὐ χάρις ἐστὶν, ὑπερηφάνως ὁ Κλώδιος καὶ ὀλιγώρως· Οὐκῦν, εἶπεν, εἰ μὴ χάριν ἔχεις [3], ἀνιώμενος πλεύσῃ· καὶ προελθὼν εὐθὺς εἰς τὸν δῆμον, ἐκύρωσε νόμῳ τὴν ἔκπεμψιν τῦ Κάτωνος. ἐξιόντι δ' ὐ ναῦν, ὐ στρατιώτην, ὐχ ὑπηρέτην ἔδωκε, πλὴν ἢ δύο γραμματεῖς μόνον, ὧν ὁ μὲν κλέπτης καὶ παμπόνηρος [4], ἅτερος δὲ Κλωδίυ πελάτης. ὡς δὲ μικρὸν ἔργον αὐτῷ Κύπρον καὶ Πτολεμαῖον ἀναθεὶς, ἔτι καὶ Βυζαντίων φυγάδας κατάγειν προσέταξε, βυλόμενος ὅτιπλεῖστον χρόνον ἐκποδὼν ἄρχοντος αὐτῦ γενέσθαι τὸν Κάτωνα.

XXXV.

1 Vulgo τότε, quod Br. aut dividendum, & scribendum censuit τὸ τε, aut legendum τό γε. Sic R. dedit.

2 Omnes Steph. codd. καὶ Πτολεμαῖον ἀρχὴν, quod Mosi Dus. in textum recipiendum videtur.

3 Junt. εἶχες. Pro seq. προελθὼν V. προσελθών.

4 V. πολὺ πονηρός.

XXXV. Τοιαύτῃ δὲ καταληφθεὶς ἀνάγκῃ, Κικέρωνι μὲν ἐλαυνομένῳ παρῄνεσε μὴ στασιάσαι, μηδ' εἰς ὅπλα καὶ φόνους τὴν πόλιν ἐμβαλεῖν, ἀλλ' ὑπεκστάντα τῷ καιρῷ πάλιν γενέσθαι σωτῆρα τῆς πατρίδος. Κανίδιον [1] δέ τινα τῶν φίλων προπέμψας εἰς Κύπρον, ἔπεισε τὸν Πτολεμαῖον ἄνευ μάχης εἴκειν, ὡς οὔτε χρημάτων, οὔτε τιμῆς ἐνδεᾶ βιωσόμενον· ἱερωσύνην γὰρ αὐτῷ τῆς ἐν Πάφῳ θεοῦ δώσειν τὸν δῆμον. αὐτὸς δὲ διέτριβεν ἐν Ῥόδῳ, παρασκευαζόμενος ἅμα καὶ τὰς ἀποκρίσεις ἀναμένων. ἐν δὲ τούτῳ Πτολεμαῖος, ὁ Αἰγύπτου βασιλεύς, ὑπ' ὀργῆς τινος καὶ διαφορᾶς πρὸς τοὺς πολίτας, ἀπολελοιπὼς μὲν Ἀλεξάνδρειαν, εἰς δὲ Ῥώμην πλέων, ὡς Πομπηΐου καὶ Καίσαρος αὖθις αὐτὸν μετὰ δυνάμεως καταξόντων, ἐντυχεῖν τῷ Κάτωνι βουληθεὶς, προσέπεμψεν ἐλπίζων ἐκεῖνον ὡς αὐτὸν ἥξειν. ὁ δὲ Κάτων ἐτύγχανε μὲν ὢν τότε περὶ κοιλίας κάθαρσιν, ἥκειν δὲ τὸν Πτολεμαῖον, εἰ βούλοιτο, κελεύσας πρὸς αὐτόν· ὡς δ' ἦλθεν, οὔτ' ἀπαντήσας, οὔτε ὑπεξαναστὰς, ἀλλ' ὡς ἕνα τῶν ἐπιτυχόντων ἀσπασάμενος, καὶ καθίσαι κελεύσας [2]. πρῶτον αὐτὸν τοῦτο διετάραξε, θαυμάζοντα, πρὸς τὸ [3] δημοτικὸν καὶ λιτὸν αὐτοῦ τῆς κατασκευῆς, τὴν ὑπεροψίαν καὶ βαρύτητα τοῦ ἤθους. ἐπεὶ δὲ καὶ διαλέγεσθαι περὶ τῶν καθ' αὐτὸν ἀρξάμενος, ἠκροάσατο λόγων νοῦν πολὺν ἐχόντων καὶ παῤῥησίαν, ἐπιτιμῶντος αὐτῷ τοῦ Κάτωνος, καὶ διδάσκοντος, ὅσην εὐδαιμονίαν ἀπολιπὼν ὅσαις ἑαυτὸν ὑποτίθησι λατρείαις καὶ πόνοις, καὶ δωροδοκίαις, καὶ πλεονεξίαις τῶν



1 Ita hic semper. In Bruto *Caninius*. Xyl.

2 Post h. v. R. punctum dedit pro commate vulgatarum. In seq. mavult idem πρῶτον μὲν οὖν αὐτὸν τοῦτο, *jam primum quidem hoc perplexum habuit Ptolemaeum.* Anon. αὐτῷ τούτῳ. V. αὐτοῖς τούτοις.

3 indicat comparationem cum alia quapiam re opposita vel contraria. R.

ἐν Ῥώμῃ δυνατῶν [1], ὡς μόλις ἐξαργυρισθεῖσαν ἐμπλήσειν Αἴγυπτον· συμβουλεύοντος [2] δὲ πλεῖν ὀπίσω, καὶ διαλλάττεσθαι τοῖς πολίταις, αὐτοῦ δὲ καὶ συμπλεῖν καὶ συνδιαλλάττειν ἑτοίμως ἔχοντος, οἷον ἐκ μανίας τινὸς, ἢ παρακοπῆς, ὑπὸ τῶν λόγων ἔμφρων καθιστάμενος, κατανοῶν τὴν ἀλήθειαν καὶ τὴν σύνεσιν τοῦ ἀνδρὸς, ὥρμησε μὲν χρῆσθαι τοῖς ἐκείνου λογισμοῖς· ἀνατραπεὶς δ᾽ ὑπὸ τῶν φίλων αὖθις, ἅμα τῷ πρῶτον ἐν Ῥώμῃ γενέσθαι, καὶ θύραις ἑνὸς ἄρχοντος προσελθεῖν, ἔστενε τὴν αὐτοῦ κακοβουλίαν, ὡς οὐκ ἀνδρὸς ἀγαθοῦ λόγον, θεοῦ δὲ μαντείας καταφρονήσας.

XXXVI. Ὁ δ᾽ ἐν Κύπρῳ Πτολεμαῖος εὐτυχίᾳ τινὶ τοῦ Κάτωνος ἑαυτὸν φαρμάκοις ἀπέκτεινε. πολλῶν δὲ χρημάτων ἀπολελεῖφθαι λεγομένων, αὐτὸς μὲν ἔγνω πλεῖν εἰς Βυζαντίους, πρὸς δὲ τὴν Κύπρον ἐξέπεμψε τὸν ἀδελφιδοῦν, Βροῦτον, οὐ πάνυ τι πιστεύων τῷ Κανιδίῳ. τοὺς δὲ φυγάδας διαλλάξας, καὶ καταλιπὼν ἐν ὁμονοίᾳ τὸ Βυζάντιον, οὕτως εἰς Κύπρον ἔπλευσεν. οὔσης δὲ πολλῆς καὶ βασιλικῆς ἐν ἐκπώμασι καὶ τραπέζαις καὶ λίθοις καὶ πορφύραις κατασκευῆς, ἣν ἔδει πραθεῖσαν ἐξαργυρισθῆναι, πάντα βουλόμενος ἐξακριβοῦν, καὶ πάντα κατατείνειν εἰς ἄκραν τιμὴν, καὶ πᾶσιν αὐτὸς παρεῖναι, καὶ προσάγειν τὸν ἔσχατον ἐκλογισμὸν, οὐδὲ τοῖς ἔθεσι [3] τῆς

1 Sic R. cum Anon. dedit Br. probante, pro vulg. δυναστῶν.

2 Ald. mendose συμβουλευόντων, quod & Crat. retinet. Hinc H. Steph. adnotat, ambigue esse datum inter συμβουλεύοντος, quod ipse ex vet. cod. reposuit, & extat in Junt. & συμβουλευόντων, quod ad genit. λόγων referri posse videatur, nisi iam multa interjecta essent.

3 Anon. ἔθνεσι, quod probavit Dusoul. At R. tuetur vulgatam — *Er traute auch nicht einmal dem wohlhergebrachten Schlendrian bey dergleichen Versteigerungen.* Magistratus Romani ejusmodi sectionibus raro & paene nunquam intererant, sed agenda permittebant omnia suis libertis, lictoribus, praeconibus, comitibus, in quorum fide acquiescebant. Hic est mos fori, s. hastae sectionalis.

τῆς ἀγορᾶς ἐπίςευεν, ἀλλ' ὑπονοῶν ὁμȣ πάντας, ὑπηρέτας, κήρυκας, ὠνητὰς, Φίλȣς, τέλος αὐτὸς ἰδίᾳ τοῖς ὠνȣμένοις διαλεγόμενος καὶ προβιβάζων, ἔκαςον ȣ̉τω τȣ̃ πλείςȣ [1] τῶν ἀγορασμάτων ἐπώλει. διὸ τοῖς τ' ἄλλοις Φίλοις ὡς ἀπιςῶν προσέκρȣσε, καὶ τὸν συνηθέςατον ἁπάντων, Μȣνάτιον, εἰς ὀργὴν ὀλίγȣ δεῖν ἀνήκεςον γενομένην ἐνέβαλεν· ὥςε καὶ Καίσαρι, γράΦοντι λόγον κατὰ τȣ̃ Κάτωνος, πικροτάτην τȣ̃το τὸ μέρος τῆς κατηγορίας διατριβὴν παραχεῖν.

XXXVII. Ὁ μέντοι Μȣνάτιος ȣ̉κ ἀπιςίᾳ τȣ̃ Κάτωνος, ἀλλ' ἐκείνȣ μὲν ὀλιγωρίᾳ πρὸς αὐτὸν, αὐτȣ̃ [2] δέ τινι ζηλοτυπίᾳ πρὸς τὸν Κανίδιον, ἱςορεῖ γενέσθαι τὴν ὀργήν. καὶ γὰρ αὐτὸς σύγγραμμα περὶ Κάτωνος [3] ἐξέδωκεν, ᾧ μάλιςα Θρασέας ἐπηκολȣ́θησε. λέγει δ' ὕςερος [4] μὲν εἰς Κύπρον ἀΦικέσθαι, καὶ λαβεῖν παρημελημένην ξενίαν· ἐλθὼν δ' ἐπὶ θύρας, ἀπωσθῆναι, σκευωρȣμένȣ [5] τι τȣ̃ Κάτωνος οἴκοι σὺν τῷ Κανιδίῳ· μεμψάμενος δὲ μετρίως, ȣ̉ μετρίας τυχεῖν ἀποκρίσεως, ὅτι κινδυνεύει τὸ λίαν Φιλεῖν, (ὥς Φησι ΘεόΦραςος) αἴτιον τȣ̃ μισεῖν γίνεσθαι πολλάκις. Ἐπεὶ καὶ σὺ, Φάναι, τῷ μάλιςα Φιλεῖν, ἧττον οἰόμενος, ἢ προσήκει, τιμᾶσθαι, χαλεπαίνεις. Κανιδίῳ δὲ καὶ δι' ἐμπειρίαν χρῶμαι καὶ διὰ πίςιν ἑτέρων μᾶλλον, ἐξ ἀρχῆς [6] μὲν ἀΦιγμένῳ, καθαρῷ δὲ Φαινομένῳ. ταῦτα μέντοι μόνον αὐτῷ μόνῳ διαλεχθέντα τὸν Κάτωνα πρὸς τὸν Κανίδιον ἐξενεγκεῖν. αἰσθόμενος ȣ̉ν αὐτὸς, ȣ̉τ' ἐπὶ δεῖπνον ἔτι Φοι-



1 Sic R. de ſuo dedit pro vulg. τὰ πλεῖςα.

2 Sic dari voluit Moſ. Duſ. deditque R. pro vulg. αὐτȣ̃.

3 V. περὶ τȣ̃ K.

4 Poſtquam non reliqui modo omnes, ſed ipſe quoque Cato illuc veniſſent. R.

5 V. σκαιωρȣμένȣ.

6 hoc in negotio verſatus eſt a primo inde ejus principio, tu ſero venis, re jam affecta. R.

Φοιτᾷν, ὅτε σύμβελος [1] ὑπακέειν καλέμενος. ἀπειλἕντος δὲ τῦ Κάτωνος ὥσπερ εἰώθασι τῶν ἀπειθέντων, ἐνέχυρα λήψεσθαι, μηδὲν Φροντίσας ἐκπλεῦσαι, καὶ πολὺν χρόνον ἐν ὀργῇ διατελεῖν· εἶτα τῆς Μαρκίας (ἔτι γὰρ συνῴκει τῷ Κάτωνι) διαλεχθείσης, τυχεῖν μὲν ὑπὸ Βάρκα κεκλημένες ἐπὶ δεῖπνον· εἰσελθόντα δ' ὕςερον τὸν Κάτωνα, τῶν ἄλλων κατακειμένων, ἐρωτᾷν, ὅπε κατακλιθείη. τε δὲ Βάρκα κελεύσαντος, ὅπε βέλεται [2], περιβλεψάμενον εἰπεῖν, ὅτι παρὰ Μενάτιον· καὶ περιελθόντα πλησίον αὐτῦ κατακλιθῆναι, πλέον δὲ μηθὲν Φιλοφρονήσασθαι παρὰ τὸ δεῖπνον. ἀλλὰ πάλιν τῆς Μαρκίας δεομένης, τὸν μὲν Κάτωνα γράψαι πρὸς αὐτὸν, ὡς ἐντυχεῖν τι βελόμενον, αὐτὸν δ' ἥκειν ἕωθεν εἰς τὴν οἰκίαν, καὶ ὑπὸ τῆς Μαρκίας καταχεθῆναι, μέχρι πάντες ἀπηλλάγησαν· ὅτω δ' εἰσελθόντα τὸν Κάτωνα, καὶ περιβαλόντα τὰς χεῖρας ἀμφοτέρας, ἀσπάσασθαι καὶ Φιλοφρονεῖσθαι. ταῦτα μὲν [3] ἐχ ἧττον οἰόμενοι τῶν ὑπαίθρων καὶ μεγάλων πράξεων πρὸς ἔνδειξιν ἤθες καὶ κατανόησιν ἔχειν τινὰ σαφήνειαν, ἐπὶ πλέον διήλθομεν.

XXXIII. Τῷ δὲ Κάτωνι συνήχθη μὲν ἀργυρίε τάλαντα μικρὸν ἑπτακισχιλίων [4] ἀποδέοντα· δεδιὼς δὲ τε πλε τὸ μῆκος, ἀγγεῖα πολλὰ κατασκευάσας, ὧν ἕκαςον ἐχώρει δύο τάλαντα καὶ δραχμὰς πεντακοσίας, καλώδιον ἑκάςῳ μακρὸν [5] προσήρτησεν, ἕ τῇ ἀρχῇ προσείχετο Φελλὸς εὐμεγέθης, ὅπως, εἰ ῥαγείη τὸ πλοῖον, ἔχων διὰ βυθε τὸ ἄρτημα σημαίνοι τὸν τόπον. τὰ μὲν

1 i. e. πρὸς συμβελίας, si vulgata bene habet. R.

2 Br. mavult βελητας. Pro seq. παρὰ V. περὶ.

3 Junt. Ald. Crat. addunt ἐν, quod omittitur a Steph.

4 Corruptum hunc numerum censet Lips. de magnit. Rom. l. II. c. 8. ad *viginti septem millia* aut circiter reformandum, collatis iis, quae Cato infra c. 45. de se praedicat — tantum se ex Cypro argenti retulisse, quantum Pompejus ex tot bellis & triumphis non retulerit.

5 Teste H. Steph. legitur in quibusdam μικρὸν, nec non προσήρτητο pro seq. προσείχετο.

μὲν οὖν χρήματα, πλὴν ὀλίγων τινῶν, ἀσφαλῶς διεκομίσθη· λόγους δὲ πάντων, ὧν διῴκησε, γεγραμμένους ἐπιμελῶς ἔχων ἐν δυσὶ βιβλίοις, οὐδέτερον ἔσωσεν, ἀλλὰ τὸ μὲν ἀπελεύθερος αὐτοῦ κομίζων, ὄνομα Φυλάργυρος, ἐκ Κεγχρεῶν ἀναχθεὶς, ἀνετράπη καὶ συναπώλεσε τοῖς φορτίοις· τὸ δ' αὐτὸς ἄχρι Κερκύρας φυλάξας, ἐν ἀγορᾷ κατεσκήνωσε· τῶν δὲ ναυτῶν διὰ τὸ ῥιγοῦν πυρὰ πολλὰ καιόντων τῆς νυκτὸς, ἥφθησαν αἱ σκηναὶ, καὶ τὸ βιβλίον ἠφανίσθη. τοὺς μὲν οὖν ἐχθροὺς καὶ συκοφάντας ἐπιστομεῖν ἤμελλον οἱ βασιλικοὶ διοικηταὶ παρόντες· ἄλλως δὲ [1] τῷ Κάτωνι τὸ πρᾶγμα δηγμὸν ἤνεγκεν. οὐ γὰρ εἰς πίστιν ὑπὲρ αὑτοῦ [2] τοὺς λόγους, ἀλλὰ παράδειγμα τοῖς ἄλλοις ἀκριβείας ἐξενεγκεῖν φιλοτιμούμενος ἐνεμεσήθη.

XXXIX. Περαιωθεὶς δὲ ταῖς ναυσὶν οὐκ ἔλαθε τοὺς Ῥωμαίους, ἀλλὰ πάντες μὲν ἄρχοντες καὶ ἱερεῖς [3], πᾶσα δ' ἡ βουλὴ, πολὺ δὲ τοῦ δήμου μέρος ἀπήντων πρὸς τὸν ποταμόν· ὥστε τὰς ὄχθας ἀμφοτέρας ἀποκεκρύφθαι, καὶ θριάμβου μηδὲν ὄψει καὶ φιλοτιμίᾳ [4] λείπεσθαι τὸν ἀνάπλουν αὐτοῦ. καίτοι σκαιὸν ἐνίοις τότ' ἐφαίνετο [5] καὶ αὔθαδες, ὅτι, τῶν ὑπάτων καὶ τῶν στρατηγῶν παρόντων,



1 Sic cum V. & Anon. dari voluit Mos. Dus. deditque R. pro vulg. ἄλλως τε.

2 Sic Br. legi voluit, deditque R. Vulgo αὐτοῦ.

3 Br. susp. ἱππεῖς.

4 Junt. ὄψιν καὶ φιλοτιμίαν, quod, R. judice, probandum est, si εἰς praefigatur.

5 Hanc lectionem e Junt. R. revocavit. Vulgo sec. Steph. καίτοι σκαιὸν τοῦτο ἐφ. Per τότε opponitur tempus istud, h. e. quo Cato per Tiberim subvectus non escendit, neminemque salutavit, eoque in offensionem quorundam incurrit, insecuto tempori, quo populus Rom. amplitudine & multitudine opum ab ipso e Cypro perlatarum ictus admiratione, & Catoni rursus placatus, honores ei detulit eximios. In Junt. quidem pro καίτοι σκαιὸν extat καὶ τοῖς καιόν. Ald. καίτοι ἐνίοις τοῦτο ἐφ. Crat. καίτοι καινὸν ἐνίοις τοῦτο ἐφ. Anon. σκαιὸν ἐνίοις τοῦτο.

όντων, ὔτ᾽ ἀπέβη πρὸς αὐτὲς, ὔτ᾽ ἐπέχε τον πλὂν, ἀλλὰ ῥοθίῳ τὴν ὄχθην παρεξελαύνων ἐπὶ νεὼς ἑξήρες βασιλικῆς, ὐκ ἀνῆκε πρότερον, ἢ καθορμῖσαι τὸν στόλον εἰς τὸ νεώριον. ὐ μὴν ἀλλὰ τῶν χρημάτων παρακομιζομένων δι᾽ ἀγορᾶς, ὅ τε δῆμος ἐθαύμαζε τὸ πλῆθος, ἥ τε βελὴ συναχθεῖσα μετὰ τῶν πρεπόντων ἐπαίνων ἐψηφίσατο τῷ Κάτωνι στρατηγίαν ἐξαίρετον [1] δοθῆναι, καὶ τὰς θέας αὐτὸν ἐν αἰσθῆτι περιπορφύρῳ θεάσασθαι. ταῦτα μὲν ὖν ὁ Κάτων παρῃτήσατο· Νικίαν δὲ, τὸν οἰκονόμον τῶν βασιλικῶν, ἐλεύθερον ἔπεισε τὴν βελὴν ἀφεῖναι, μαρτυρήσας ἐπιμέλειαν καὶ πίστιν. ὑπάτευε δὲ Φίλιππος, ὁ πατὴρ τῆς Μαρκίας, ὖ [2] καὶ τρόπον τινὰ τὸ ἀξίωμα τῆς ἀρχῆς καὶ ἡ δύναμις εἰς Κάτωνα περιῆλθεν, ὐκ ἐλάττονα τὲ συνάρχοντος [3] δι᾽ ἀρετὴν, ἢ δι᾽ οἰκειότητα τὲ Φιλίππε τῷ Κάτωνι τιμὴν προστιθέντος.

XL. Ἐπεὶ δὲ Κικέρων ἐκ τῆς φυγῆς, ἣν ἔφυγεν ὑπὸ Κλωδίε, κατελθὼν, καὶ δυνάμενος μέγα, τὰς δημαρχικὰς δέλτες, ἃς ὁ Κλώδιος ἔθηκεν ἀναγράψας [4] εἰς τὸ Καπιτώλιον, ἀπέσπασε βίᾳ καὶ καθεῖλε, τὲ Κλωδίε μὴ

1 Dione auctore L. 29. quem Xyl. sequitur, praetura est intelligenda, quae Catoni legibus nondum concederetur. Natus tum fuit annos triginta octo: praeturae gerendae autem annus quadragesimus legibus erat definitus. Paulo aliter sentire videtur Val. Max. L. IV. c. 1.

2 R. addidit ὖ de suo.

3 R. monente, subintelligendum *Philippo*, & sensus loci hic est: Gener dignitate & potentia consulari soceri utebatur, fruebatur, quoniam Lentuli Marcellini (qui collega Philippi in consulatu erat) virtus Catoni honorem non minorem attulit, quam necessitudo cum Philippo. Aliud sentit Schirach, sic vertens: Dessen hohe Würde und Macht gewissermassen auf den Cato mit übergieng, da ihm zugleich der andere Consul sowohl wegen seines eigenen Verdienstes, als wegen der Verwandtschaft mit dem Philippus grosse Ehre erzeigte.

4 R. mavult ἀναγραψάμενος, cum Clodius non ipse acta sui tribunatus illis tabulis inciderit, sed incidenda curaverit.

μὴ παρόντος· ἐπὶ τούτοις δὲ βουλῆς ἀθροισθείσης, καὶ τοῦ Κλωδίου κατηγοροῦντος, ἔλεγε, παρανόμως τῷ Κλωδίῳ τῆς δημαρχίας γενομένης, ἀτελῆ καὶ ἄκυρα δεῖν εἶναι τὰ τότε πραχθέντα καὶ γραφέντα, προσέκρουσεν ὁ Κάτων αὐτῷ λέγοντι, καὶ τέλος ἀναστὰς ἔφη, τῆς μὲν Κλωδίου πολιτείας μηδὲν ὑγιὲς, μηδὲ χρηστὸν ὅλως νομίζειν· εἰ δ' ἀναιρεῖ τις, ὅσα δημαρχῶν ἔπραξεν, ἀναιρεῖσθαι [1] πᾶσαν αὐτοῦ τὴν περὶ Κύπρον πραγματείαν, καὶ μὴ γεγονέναι τὴν ἀποστολὴν νόμιμον, ἄρχοντος παρανόμου ψηφισαμένου. παρανόμως μὲν οὖν δήμαρχον ἐξ αἱρεθῆναι [2] τὸν Κλώδιον, ἐκ πατρικίων μεταστάντα, νόμου διδόντος, εἰς δημοτικὸν οἶκον. εἰ δὲ μοχθηρὸς, ὥσπερ ἄλλοι, γέγονεν ἄρχων, αὐτὸν εὐθύνειν τὸν ἀδικήσαντα, μὴ λύειν τὴν συναδικηθεῖσαν [3] ἀρχὴν εἶναι προσῆκον. ἐκ τούτου δι' ὀργῆς ὁ Κικέρων ἔσχε τὸν Κάτωνα, καὶ φίλῳ χρώμενος ἐπαύσατο χρόνον πολύν. εἶτα μέντοι διηλλάγησαν.

XLI. Ἐκ τούτου Πομπήϊος καὶ Κράσσος ὑπερβαλόντι [4] τὰς Ἄλπεις Καίσαρι συγγενόμενοι γνώμην ἐποιήσαντο κοινῇ δευτέραν ὑπατείαν μετιέναι· καὶ καταστάντες εἰς αὐτὴν, Καίσαρι μὲν τῆς ἀρχῆς ἄλλον τοσοῦτον ἐπιψηφίζεσθαι χρόνον, αὐτοῖς δὲ τῶν ἐπαρχιῶν τὰς μεγίστας, καὶ χρήματα καὶ στρατιωτικὰς δυνάμεις. ὅπερ ἦν ἐπὶ νεμήσει τῆς ἡγεμονίας καὶ καταλύσει τῆς πολιτείας συνωμοσία. πολλῶν δὲ καὶ ἀγαθῶν ἀνδρῶν μετιέναι τὴν ἀρχὴν τότε παρασκευαζομένων, τοὺς μὲν ἄλλους ὀφθέντες [5] ἐν ταῖς παραγγελίαις ἀπέτρεψαν, μόνον δὲ

F 5 Λεύ-

1 R. susp. *συναναιρεῖσθαι, una quoque tolli & perimi.*

2 Sic ex conjectura Mosis Dus. R. dedit. Vulgo deest ἐξ. V. ἀναιρεθῆναι.

3 Mos. Dus. susp. μὴ ἀδικήσασαν.

4 Sic R. dedit pro vulg. ὑπερβάλλοντι.

5 Sic cum Junt. dari voluit Br. deditque R. pro vulg. ὀφθέντας. Idem est in Junt. & Ald. Pro seq. ἀπέτρεψαν V. ἀπέστρεψαν.

Λεύκιον Δομίτιον, Πορκίᾳ συνοικοῦντα, τῇ ἀδελφῇ [1], Κάτων ἔπεισε μὴ ἐκστῆναι, μηδ᾽ ὑφίεσθαι τοῦ ἀγῶνος, οὐ περὶ ἀρχῆς ὄντος, ἀλλὰ περὶ τῆς Ῥωμαίων ἐλευθερίας. καὶ μέντοι καὶ λόγος ἐχώρει διὰ τοῦ σωφρονοῦντος ἔτι τῆς πόλεως μέρους, ὡς οὐ περιοπτέον, εἰς ταὐτὸ τῆς Κράσσου καὶ Πομπηΐου δυνάμεως συνελθούσης, παντάπασιν ὑπέρογκον καὶ βαρεῖαν τὴν ἀρχὴν γενομένην, ἀλλ᾽ ἀφαιρετέον αὐτῆς τὸν ἕτερον. καὶ συνίσαντο πρὸς τὸν Δομίτιον, παρορμῶντες καὶ παραθαῤῥύνοντες ἀντιλαμβάνεσθαι· πολλοὺς γὰρ αὐτῷ καὶ τῶν σιωπώντων διὰ δέος ἐν ταῖς ψήφοις ὑπάρξειν. τοῦτο δὴ δείσαντες οἱ περὶ Πομπήϊον, ὑφεῖσαν ἐνέδραν τῷ Δομιτίῳ καταβαίνοντι ὄρθριον [2] ὑπὸ λαμπάδων εἰς τὸ πεδίον. καὶ πρῶτος μὲν ὁ προφαίνων ἐπιστὰς [3] τῷ Δομιτίῳ, πληγεὶς καὶ πεσὼν ἀπέθανε· μετὰ δὲ τοῦτον ἤδη καὶ τῶν ἄλλων συντιτρωσκομένων, ἐγίνετο φυγὴ, πλὴν Κάτωνος καὶ Δομιτίου. κατεῖχε γὰρ αὐτὸν ὁ Κάτων, καίπερ αὐτὸς εἰς τὸν βραχίονα τετρωμένος, καὶ παρεκελεύετο μένειν, καὶ μὴ προλιπεῖν, ἕως ἐμπνέωσι, τὸν ὑπὲρ τῆς ἐλευθερίας ἀγῶνα πρὸς τοὺς τυράννους· οἵ, τίνα τρόπον χρήσονται τῇ ἀρχῇ, δηλοῦσι, διὰ τηλικούτων ἀδικημάτων ἐπ᾽ αὐτὴν βαδίζοντες.

XLII. Οὐχ ὑποστάντος δὲ τοῦ Δομιτίου τὸ δεινὸν, ἀλλ᾽ εἰς τὴν οἰκίαν καταφυγόντος, ᾑρέθησαν μὲν ὕπατοι Πομπήϊος καὶ Κράσσος· οὐκ ἀπέκαμε δ᾽ ὁ Κάτων, ἀλλ᾽ αὐτὸς προελθὼν στρατηγίαν μετῄει, βουλόμενος ὁρμητήριον ἔχειν τῶν πρὸς ἐκείνους ἀγώνων, καὶ πρὸς ἄρχοντας ἀντικαθίστασθαι μὴ ἰδιώτης. οἱ δὲ καὶ τοῦτο δείσαντες, ὡς τῆς στρατηγίας ἀξιομάχου διὰ Κάτωνα πρὸς τὴν

1 R. susp. τῇ ἀδ. Κάτωνος, Κάτων ἐπ.

2 R. quaerit, an sit adverbium significans *multo mane*; an ὀρθρίῳ legendum sit, ut referatur ad καταβαίνοντι.

3 R. hanc vocem censet supervacaneam, ejusque significationem: *subito superveniens*, huic loco non convenientem.

τὴν ὑπατείαν γενησομένης, πρῶτον μὲν ἐξαίφνης, καὶ τῶν πολλῶν ἀγνοέντων, βελὴν συναγαγόντες, ἐψηφίσαντο τὲς αἱρεθέντας ςρατηγὲς εὐθὺς ἄρχειν, καὶ μὴ διαλιπόντας τὸν νόμιμον χρόνον, ἐν ᾧ δίκαι [1] τοῖς δεκάσασι τὸν δῆμον ἦσαν. ἔπειτα διὰ τῦ ψηφίσματος τὸ μηδὲ [2] διδόναι δίκας ἀνυπεύθυνον κατασκευάσαντες, ὑπηρέτας αὐτῶν καὶ φίλες ἐπὶ τὴν ςρατηγίαν προῆγον [3], αὐτοὶ μὲν διδόντες ἀργύριον, αὐτοὶ δὲ ταῖς ψήφοις φερομέναις ἐφεςῶτες. ὡς δὲ καὶ τέτων ἡ Κάτωνος ἀρετὴ καὶ δόξα περιῆν, ὑπ' αἰδῦς τῶν πολλῶν ἐν δεινῷ πολλῷ τιθεμένων ἀποδόθαι Κάτωνα ταῖς ψήφοις, ὃν καλῶς εἶχε πρίαθαι τῇ πόλει ςρατηγὸν, ἥ τε πρώτη κληθεῖσα τῶν φυλῶν ἐκεῖνον ἀπέδειξεν, ἐξαίφνης ὁ Πομπήϊος,

1 Sic dandum conjecit Mos. Dus. deditque R. pro vulg. ἐν ᾧ καὶ. — quo tempore dicendae erant causae poenaeque dandae iis, si qui plebem largitionibus corrupissent. Mos nimirum erat Romae, ut qui vel consules vel praetores etiam, essent designati, non statim magistratum inirent, sed tempus aliquantum designati manerent: id quod eo praesertim erat institutum, ut inquiri posset, justene, an largitione & emercando suffragia, honorem consecuti essent. Hoc enim qui commisissent, re comperta, legibus ambitus interrogabantur, poenas dabant, & magistratu arcebantur. Pompejus itaque & Crassus, cum a praetura excludendi Catonis causa statuissent suos clientes summa largitione & suffragiorum corruptela ad praeturam evehere, voluerunt eos inquisitionis & judicii periculo liberare: itaque statim ut inirent praeturam, illudque tempus inter eorum designationem & magistratum non interveniret, senatusconsulto statuerunt. Dacer. locum sic dandum censuit ἐν ᾧ καὶ τοῖς δεκ. τὸν δῆμον ἦσαν δίκαι. Sic Kind adnotat; at ex nota Mosis Dus. esset ἐν ᾧ τοῖς δεκ. δίκαι ἦσαν.

2 R. μηδὲ de suo addidit — effecerunt, ut innoxium & poena vacuum esset, si quis ipsum adeo hoc largitionum judicium defugisset, vel se de largitionibus datis & de ambitu accusatus haud purgasset. Anon. τῦ ἔπειτα διδόναι δίκας διὰ ψηφίσματος τὸ ἀνυπεύθυνον κατασκευάσαντας.

3 Sic cum H. Steph. codd. & V. scribendum censuit Mos. Dus. deditque R. pro vulg. προσῆγον.

πήϊος, βροντῆς ἀκηκοέναι ψευσάμενος, αἴχιςα ἔλυσε τὴν ἐκκλησίαν, εἰθισμένων ἀφοσιῦσθαι τὰ τοιαῦτα, καὶ μηδὲν ἐπικυρῦν, διοσημείας γενομένης. αὖθις δὲ πολλῷ χρησάμενοι [1] τῷ δεκασμῷ, τὺς βελτίςυς ὤσαντες ἐκ τῦ πεδίυ, βίᾳ διεπράξαντο Βατίνιον ἀντὶ Κάτωνος [2] αἱρεθῆναι ςρατηγόν. ἔνθα δὴ λέγεται, τὺς μὲν ὕτω παρανόμως καὶ ἀδίκως θεμένυς τὴν ψῆφον, εὐθὺς ὥσπερ ἀποδράντας οἴχεσθαι· τοῖς δ' ἄλλοις συνιςαμένοις καὶ ἀγανακτῦσι δημάρχυ τινὸς αὐτόθι παρασχόντος ἐκκλησίαν, καταςάντα [3] τὸν Κάτωνα, ἅπαντα μὲν, ὥσπερ ἐκ θεῶν ἐπίπνυν, τὰ μέλλοντα τῇ πόλει προειπεῖν, παρορμῆσαι δὲ τὺς πολίτας ἐπὶ Πομπήϊον καὶ Κράσσον, ὡς τοιαῦτα συνειδότας αὐτοῖς, καὶ τοιαύτης ἁπτομένυς πολιτείας, δι' ἣν ἔδεισαν Κάτωνα, μὴ ςρατηγὸς [4] αὐτῶν περιγένηται. τέλος δ', ἀπιόντα εἰς τὴν οἰκίαν πρῦπεμψε πλῆθος τοσῦτον, ὅσον ὐδὲ σύμπαντας ἅμα τὺς ἀποδεδειγμένυς ςρατηγύς.

XLIII. Γαΐυ δὲ Τρεβωνίυ γράψαντος νόμον ὑπὲρ νομῆς ἐπαρχιῶν τοῖς ὑπάτοις, ὥςε τὸν μὲν Ἰβηρίαν ἔχοντα καὶ Λιβύην ὑπ' αὐτῷ, τὸν δὲ Συρίαν καὶ Αἴγυπτον, οἷς βύλοιτο πολεμεῖν καὶ καταςρέφεσθαι, ναυτικαῖς καὶ πεζικαῖς δυνάμεσιν ἐπιόντας, οἱ μὲν ἄλλοι τὴν ἀντίπραξιν καὶ κώλυσιν ἀπεγνωκότες, ἐξέλιπον καὶ τὸ ἀντειπεῖν· Κάτωνι δ' ἀναβάντι πρὸ τῆς ψηφοφορίας ἐπὶ τὸ βῆμα, καὶ βυλομένῳ λέγειν, μόλις ὥρῶν δυεῖν λόγον ἔδωκαν. ὡς δὲ πολλὰ λέγων καὶ διδάσκων καὶ προθεσπίζων κατανάλωσε τὸν χρόνον, ὐκ ἔτι λέγειν αὐτὸν εἴων, ἀλλ' ἐπιμένοντα κατέσπασεν ὑπηρέτης προσελθών. ὡς

1 V. χρησάμενος.

2 Iunt. Βάτιον ἀντὶ καὶ Κάτ.

3 ftantem coram concione & cum ea agentem Catonem. R. delevit καὶ, quod vulgo ante h. v. extat.

4 Tefte H. Steph. in nonnullis codd. eft ςρατηγῶν. Idem ad ςρατηγὸς, fi retineatur, fubaudiri vult ὤν. R. deeffe videtur γενόμενος.

ας δὲ καὶ κάτωθεν ἱστάμενος ἐβόα, καὶ τοὺς ἀκούοντας καὶ συναγανακτοῦντας εἶχε, πάλιν ὁ ὑπηρέτης ἐπιλαβόμενος καὶ αγαγὼν αὐτὸν, ἔξω τῆς ἀγορᾶς κατέστησε. καὶ οὐκ ἔφθη πρῶτον ἀφεθεὶς, καὶ πάλιν ἀναστρέψας ἵετο πρὸς τὸ βῆμα, μετὰ κραυγῆς ἐγκελευόμενος τοῖς πολίταις ἀμύνειν. πολλάκις δὲ τούτου γενομένου, περιπαθῶν ὁ Τρεβώνιος ἐκέλευσεν αὐτὸν εἰς τὸ δεσμωτήριον ἄγεσθαι· καὶ πλῆθος ἐπηκολούθει, λέγοντος, ἅμα σὺν αὐτῷ βαδίζον, ἀκροώμενον [1]. ὥστε δείσαντα τὸν Τρεβώνιον ἀφεῖναι. κἀκείνην μὲν οὕτω τὴν ἡμέραν ὁ Κάτων κατηνάλωσε· ταῖς δ' [2] ἐφεξῆς, οὓς μὲν δεδιξάμενοι τῶν πολιτῶν, οὓς δὲ συσκευασάμενοι χάρισι καὶ δωροδοκίαις, ἕνα δὲ τῶν δημάρχων, Ἀκύλλιον [3], ὅπλοις εἴρξαντες ἐκ τοῦ βουλευτηρίου προελθεῖν, αὐτὸν δὲ τὸν Κάτωνα, βροντὴν γεγονέναι βοῶντα, τῆς ἀγορᾶς ἐκβαλόντες [4], οὐκ ὀλίγους δὲ τρώσαντες, ἐνίων δὲ καὶ πεσόντων, βίᾳ τὸν νόμον ἐκύρωσαν· ὥστε πολλοὺς συστραφέντας ὀργῇ τοὺς Πομπηΐου βάλλειν ἀνδριάντας. ἀλλὰ τοῦτο μὲν ἐπελθὼν ὁ Κάτων διεκώλυσε· τῷ δὲ [5] Καίσαρι πάλιν νόμου γραφομένου περὶ τῶν ἐπαρχιῶν καὶ τῶν στρατοπέδων, οὐκ ἔτι πρὸς τὸν δῆμον ὁ Κάτων, ἀλλὰ πρὸς αὐτὸν τραπόμενος Πομπήϊον, ἐμαρ-

1 Sic R. dedit & distinxit partim e Junt. partim de suo, & haec est constructio: *plebs Catonem comitabatur, auscultans ejus orationem*, βαδίζον σὺν αὐτῷ, *utpote una cum eo ambulans.* Vulgo sec. Ald. λέγ. ἅμα σὺν τῷ βαδίζειν ἀκρ. Junt. ἅμα σὺν αὐτῷ βαδίζων ἀκρ. Quid, si suspicer λέγοντος ἐν τῷ ἅμα σὺν αὐτῷ βαδίζειν ἀκρ.? Anon. λεγόντων ἅμα σὺν αὐτῷ βαδίζων. Legi αὐτῷ pro τῷ, testatur quoque H. Steph. idque praefert, & hunc sensum loco subjicit, turbam secutam fuisse, audientem Catonem dicentem, se una cum ipso Trebonio ire, in carcerem videlicet.

2 V. τοὺς δὲ.

3 Scribi vult Mos. Dus. Ἀκυΐλλιον. Idem seq. προελθεῖν dari voluit pro vulg. προσελθεῖν, & dedit R.

4 Junt. Ald. Crat. ἐκβάλλοντες.

5 Deest δὲ Junt.

ἐμαρτύρατο καὶ προὔλεγεν, ὡς ἐπὶ τὸν αὑτοῦ τράχηλον ἀναλαμβάνων Καίσαρα νῦν μὲν οὐκ οἶδεν, ὅταν δ' ἄρχηται βαρύνεσθαι καὶ κρατεῖσθαι, μήτ' ἀποθέσθαι δυνάμενος, μήτε φέρειν ὑπομένων, εἰς τὴν πόλιν ἐμπεσεῖται σὺν αὐτῷ· καὶ μεμνήσεται τότε τῶν Κάτωνος παραινέσεων, ὡς οὐδὲν ἧττον ἐν αὐταῖς τὸ [1] Πομπηΐου συμφέρον ἐνῆν, ἢ τὸ καλὸν καὶ δίκαιον. ταῦτα πολλάκις ἀκούων ὁ Πομπήϊος ἠμέλει καὶ παρέπεμπεν ἀπιστίᾳ [2] τῆς Καίσαρος μεταβολῆς, διὰ πίστιν εὐτυχίας τῆς αὑτοῦ καὶ δυνάμεως.

XLIV. Εἰς δὲ τὸ ἑξῆς ἔτος αἱρεθεὶς ὁ Κάτων στρατηγὸς, οὐδὲν ἔδοξε προστιθέναι τῇ ἀρχῇ τοσοῦτον εἰς σεμνότητα καὶ μέγεθος ἄρχων καλῶς, ὅσον ἀφαιρεῖν καὶ καταισχύνειν ἀνυπόδητος καὶ ἀχίτων πολλάκις ἐπὶ τὸ βῆμα προερχόμενος [3], καὶ θανατικὰς δίκας ἐπιφανῶν ἀνδρῶν οὕτω βραβεύων. ἔνιοι δέ φασι καὶ μετ' ἄριστον οἶνον πεπωκότα χρηματίζειν. ἀλλὰ τοῦτο μὲν οὐκ ἀληθῶς λέγεται. διαφθειρομένου δὲ τοῦ δήμου ταῖς δωροδοκίαις ὑπὸ τῶν φιλαρχούντων, καὶ χρωμένων τῷ δεκάζεσθαι, καθάπερ ἐργασίᾳ συνήθει, τῶν πολλῶν, βουλόμενος ἐκκόψαι παντάπασι τὸ νόσημα τοῦτο τῆς πόλεως, ἔπεισε δόγμα θέσθαι τὴν σύγκλητον, ὅπως οἱ κατασταθέντες ἄρχοντες, εἰ μηδένα κατήγορον ἔχοιεν, αὐτοὶ παριόντες ἐξ ἀνάγκης εἰς ἔνορκον δικαστήριον εὐθύνας διδῶσιν. ἐπὶ τούτῳ χαλεπῶς μὲν ἔχον οἱ μετιόντες ἀρχὰς, ἔτι δὲ χαλεπώτερον ὁ μισθαρνῶν ὄχλος. ἕωθεν οὖν ἐπὶ τὸ βῆμα τοῦ Κάτωνος προελθόντος, ἀθρόοι προσπεσόντες ἐβόων, ἐβλασφήμουν, ἔβαλλον· ὥστε φεύγειν ἀπὸ τοῦ βήματος ἅπαντας, αὐτὸν δ' ἐκεῖνον ἐξωθέν-

1 Deest τὸ Junt. Ald. Crat.

2 R. sic interpretatur: *Catonis orationes condonabat & transmittebat* ( h. e. *auferendas atque delendas permittebat* ) *credulitati suae, neganti, fieri posse, ut unquam Caesar animum fidemque mutaret.*

3 Sic Duf. dari voluit deditque R. Vulgo προσερχ.

θέντα τῷ πλήθει καὶ παραφερόμενον μόλις ἐπιλαβέσθαι τῶν ἐμβόλων. ἐνταῦθα καταστὰς [1], τῷ μὲν ἱταμῷ καὶ θαῤῥοῦντι τῆς ὄψεως εὐθὺς ἐκράτησε τοῦ θορύβου, καὶ τὴν κραυγὴν ἔπαυσεν· εἰπὼν δὲ τὰ πρέποντα, καὶ μεθ' ἡσυχίας ἀκουσθεὶς, παντάπασι διέλυσε τὴν ταραχήν. ἐπαινούσης δὲ τῆς βουλῆς αὐτόν· Ἐγὼ δ', εἶπεν, ὑμᾶς οὐκ ἐπαινῶ, κινδυνεύοντα στρατηγὸν ἐγκαταλιπόντας, καὶ μὴ προσαμύνοντας [2]. τῶν δὲ μετιόντων αρχὴν ἕκαστος ἀπόρῳ πάθει συνείχετο, φοβούμενος μὲν αὐτὸς δεκάζειν, φοβούμενος δ', ἑτέρου τοῦτο πράξαντος, ἐκπεσεῖν τῆς ἀρχῆς. ἔδοξεν οὖν αὐτοῖς, εἰς ταυτὸ συνελθοῦσι, παραβαλέσθαι δραχμῶν ἕκαστον ἀργυρίου [3] δέκα δύο ἥμισυ μυριάδας, εἶτα μετιέναι τὴν ἀρχὴν πάντας ὀρθῶς καὶ δικαίως· τὸν δὲ παραβάντα, καὶ χρησάμενον δεκασμῷ, στέρεσθαι τοῦ ἀργυρίου. ταῦτα ὁμολογήσαντες, αἱροῦνται φύλακα καὶ βραβευτὴν καὶ μάρτυρα τὸν Κάτωνα, καὶ χρήματα φέροντες ἐκείνῳ προσετίθεντο [4]. καὶ τὰς συνθήκας ἐγράψαντο πρὸς ἐκεῖνον, ἀντὶ τῶν χρημάτων ἐγγυητὰς λαβόντα, τὰ δὲ χρήματα μὴ δεξάμενον. ὡς δ' ἧκεν ἡ κυρία τῆς ἀναδείξεως, παραστὰς ὁ Κάτων τῷ βραβεύοντι δημάρχῳ, καὶ παραφυλάξας τὴν ψῆφον, ἕνα τῶν παραβαλομένων [5] ἀπέφηνε κακουργοῦντα, καὶ προσέταξεν ἀποδοῦναι τοῖς ἄλλοις τὸ ἀργύριον. ἀλλ' ἐκεῖνοι μὲν, ἐπαινέσαντες αὐτοῦ τὴν ὀρθότητα καὶ θαυμάσαντες, ἀνεῖλον τὸ πρόστιμον, ὡς ἱκανὴν δίκην ἔχοντες παρὰ τοῦ ἀδικήσαντος· τοὺς δ' ἄλλους ἐλύπησεν ὁ Κάτων, καὶ φθό-

1 Sic R. dedit de ſuo pro vulg. ἀναστὰς — ibi ſtans. V. & Anon. ἐντοῦθεν pro ἐνταῦθα.

2 Junt. προσαμύναντας.

3 aut δραχμῶν, aut ἀργυρίου delendum cenſet R. cum utrumque idem dicat, nullaeque drachmae aureae fuerint.

4 Sic R. de ſuo dedit pro vulg. προστίθ. Anon. & Steph. παρετίθεντο, quod probavit Br.

5 Sic R. de ſuo dedit pro vulg. παραβαλλ. Mavult tamen συμβαλομένων, unum eorum, qui nummos contuliſſent.

φθόνον ἔχεν ἀπὸ τούτου πλεῖστον, ὡς βουλῆς καὶ δικαστηρίου [1] καὶ ἀρχόντων δύναμιν αὐτῷ περιποιησάμενος. οὐδεμιᾶς γὰρ ἀρετῆς δόξα καὶ πίστις ἐπιφθόνους ποιεῖ μᾶλλον, ἢ τῆς δικαιοσύνης, ὅτι καὶ δύναμις αὐτῇ καὶ πίστις ἕπεται μάλιστα παρὰ τῶν πολλῶν. οὐ γὰρ τιμῶσι μόνον, ὡς τοὺς ἀνδρείους, οὐδὲ θαυμάζουσιν, ὡς τοὺς φρονίμους, ἀλλὰ καὶ φιλοῦσι τοὺς δικαίους, καὶ θαῤῥοῦσιν αὐτοῖς καὶ πιστεύουσιν. ἐκείνων δὲ τοὺς μὲν φοβοῦνται, τοῖς δ' ἀπιστοῦσι· πρὸς δὲ τούτοις, ἐκείνους μὲν οἴονται φύσει μᾶλλον, ἢ τῷ βούλεσθαι, διαφέρειν [2]· ἀνδρείαν καὶ φρόνησιν, τὴν μὲν ὀξύτητα τινὰ, τὴν δ' εὐρωστίαν ψυχῆς τιθέμενοι. τοῦ δικαίου δ' ὑπάρχοντος εὐθὺς τῷ εἶναι βουλομένῳ [3], μάλιστα τὴν ἀδικίαν ὡς κακίαν ἀπροφάσιστον αἰσχύνονται.

XLV. Διὸ καὶ τῷ Κάτωνι πάντες οἱ μεγάλοι προσεπολέμουν, ὡς ἐλεγχόμενοι. Πομπήϊος δὲ καὶ κατάλυσιν τῆς ἑαυτοῦ δυνάμεως τὴν ἐκείνου δόξαν ἡγούμενος, ἀεί τινας προσέβαλλεν [4] αὐτῷ λοιδορησομένους· ὧν καὶ Κλώδιος ἦν ὁ δημαγωγὸς, αὖθις ὡς [5] Πομπήϊον καταῤῥυεὶς, καὶ καταβοῶν τοῦ Κάτωνος, ὡς πολλὰ μὲν ἐκ Κύπρου χρήματα νοσφισαμένου, Πομπηΐῳ δὲ πολεμοῦντος, ἀπαξιώσαντι γάμον αὐτοῦ θυγατρός. ὁ δὲ Κάτων ἔλεγεν, ὅτι χρήματα μὲν ἐκ Κύπρου τοσαῦτα τῇ

πόλει

1 In quibusdam legit H. Steph. *δικαστηρίων*. Sic & V.

2 Subaudi *ἄλλων*, *praestare aliis.* R.

3 R. sic dedit de suo. Vulgo sine artic. *τοῦ* ante *δικ.* item *εἶναι τῷ βουλομένῳ.* Idem est ac *τῆς δὲ δικαιοσύνης εὐθὺς ὑπαρχούσης παντὶ τῷ βουλομένῳ εἶναι δίκαιος* — *justitia autem cum statim, sine ulla opera & arte, suppetat unicuique, qui velit justus esse, nullius alius rei magis moventur homines pudore, quam injustitiae, quippe quam vitiositatem habent, praetextu nullo excusabilem.* Anon. *δικαίῳ* pro *δικαίου.*

4 Mos. Dus. melius censet *προέβαλλεν.*

5 Sic R. dedit de suo pro vulg. *εἰς.* Idem valet ac *πρός.* Pro *καταῤῥυεὶς* Dus. maluit *ὑποῤῥυεὶς*, quod exhibent V. & Steph. codd.

πόλει συναγάγοι, μήτε ἵππον ἕνα, μήτε στρατιώτην λαβὼν, ὅσα Πομπήϊος ἐκ πολέμων τοσούτων καὶ θριάμβων, τὴν οἰκουμένην κυκήσας, οὐκ ἀνήνεγκε· κηδεστὴν δὲ μηδέποτε προελέσθαι Πομπήϊον, οὐκ ἀνάξιον ἡγούμενος, ἀλλ' ὁρῶν τὴν ἐν τῇ πολιτείᾳ διαφοράν. Αὐτὸς μὲν γὰρ, ἔφη, διδομένης μοι μετὰ τὴν στρατηγίαν ἐπαρχίας, ἀπέστην· οὗτος δὲ τὰς μὲν ἔχει λαβὼν, τὰς δὲ δίδωσιν ἑτέροις. νυνὶ δὲ καὶ τέλος [1] ἑξακισχιλίων ὁπλιτῶν δύναμιν Καίσαρι κέχρηκεν εἰς Γαλατίαν, ἃ οὔτ' ἐκεῖνος ᾔτησε παρ' ὑμῶν, οὔτε οὗτος ἔδωκε μεθ' ὑμῶν, ἀλλὰ δυνάμεις τηλικαῦται, καὶ ὅπλα, καὶ ἵπποι, χάριτες εἰσὶν ἰδιωτῶν καὶ ἀντιδόσεις. καλούμενος δ' αὐτοκράτωρ καὶ στρατηγὸς, ἄλλοις τὰ στρατεύματα καὶ τὰς ἐπαρχίας παραδέδωκεν· αὐτὸς δὲ τῇ πόλει παρακάθηται, στάσεις ἀγωνοθετῶν ἐν [2] ταῖς παραγγελίαις, καὶ θορύβους μηχανώμενος, ἐξ ὧν οὐ λέληθε δι' ἀναρχίας μοναρχίαν ἑαυτῷ μνηστευόμενος.

XLVI. Οὕτως μὲν ἠμύνατο τὸν Πομπήϊον. ἦν δὲ Μάρκος Φαώνιος ἑταῖρος αὐτοῦ [3] καὶ ζηλωτὴς, οἷος ὁ Φαληρεὺς Ἀπολλόδωρος ἱστορεῖται περὶ Σωκράτην γενέσθαι τὸν παλαιὸν, ἐμπαθὴς καὶ παρακεκινηκὼς [4] πρὸς τὸν λόγον, οὐ σχέδην, οὐδὲ πρᾴως, ἀλλ' ἄκρατον αὐτοῦ καθαψάμενος [5], ὡς οἱ πάροινοι, καὶ μανικώτερον. οὗτος ἀγο-

1 R. τέλος pro substantivo habet, *legionem* significante, delet autem δύναμιν, ut scholium illius vocabuli, & pro seq. ἃ legi vult ὃ.

2 deest ἐν Juntinae.

3 Catonis puta.

4 V. καὶ ἐξιστάμενος. Id. pro seq. οὐ σχέδην dat οὐ σύνεγγυς. R. docente πρὸς τὸν λόγον designat sectam stoicam, & παρακεκινηκὼς idem valet atque παρακεκινημένος, & ad πρὸς τὸν λ. subaud. ὃν ἐζηλώκει Κάτων. — ardente atque propemodum furioso impetu ablatus ad sectae stoicae studium.

5 Hanc lectionem R. e Junt. revocavit. Vulgo καθαψάμενον. Idem ἄκρατον accipit adverbialiter pro ἀκράτως, & αὐτοῦ refert

ἀγορανομίαν μετιὼν ἡτ]ᾶτο, συμπαρὼν δ' ὁ Κατων προσέχε ταῖς δέλτοις μιᾷ χειρὶ γεγραμμέναις· καὶ τὴν κακȣργίαν ἐξελέγξας, τότε μὲν ἐπικλήσει δημάρχων ἔλυσε [1] τὴν ἀνάδειξιν· ὕϛερον δὲ τȣ̃ Φαωνίȣ κατασαθέντος ἀγορανόμȣ, τά τ' ἄλλα τῆς ἀρχῆς [2] ἐπεμελεῖτο, καὶ τὰς θέας διεῖπεν ἐν τῷ θεάτρῳ [3], διδȣ̀ς καὶ τοῖς θυμελικοῖς ϛεφάνȣς μὲν ȣ̓ χρυσȣ̃ς, ἀλλ', ὥσπερ ἐν Ὀλυμπίᾳ, κοτίνων· δῶρα δ' ἀντὶ τῶν πολυτελῶν, τοῖς μὲν Ἕλλησι τεῦτλα καὶ θρίδακας, καὶ ῥαφανίδας καὶ ἀπίȣς· τοῖς δὲ Ῥωμαίοις οἴνȣ κεράμια, καὶ κρέα ὕεια, καὶ σῦκα, καὶ σικύȣς [4], καὶ ξύλων ἀγκαλίδας· ὧν τὴν εὐτέλειαν οἱ μὲν ἐγέλων, οἱ δ' ἥδȣντο [5], τȣ̃ Κάτωνος τὸ αὐϛηρὸν καὶ κατεσυμμένον ὁρῶν]ες, ἡσυχῆ μεταβάλλον [6] εἰς διάχυσιν. τέλος δ' ὁ Φαώνιος, εἰς τὸν ὄχλον ἐμβαλὼν ἑαυτὸν, καὶ καθεζόμενος ἐν τοῖς θεαταῖς, ἐκρότει τὸν Κάτωνα, καὶ διδόναι [7] τοῖς εὐημερȣ̃σι καὶ τιμᾷν ἐβόα, καὶ συμπαρεκάλει τȣ̀ς θεατὰς [8], ὡς ἐκείνῳ τὴν ἐξȣσίαν παραδεδωκώς. ἐν δὲ τῷ ἑτέρῳ

refert ad Pompejum. Dedit etiam de ſuo ὡς οἱ πάροινοι pro vulg. ὡς πάροινον, relicto μανικώτερον, quod cohaeret cum ἄκρατον adverbialiter, quaſi dixiſſet: Φαώνιος καθήψατο 7ȣ̃ Πομπηΐȣ ἀκράτως καὶ μανικωτέρως, ὡς οἱ πάροινοι. V. & Anon. ὥσπερ οἶνον. Moſ. Duſ. retento καθαψάμενον leg. ſuſp. ὡς παροίνȣ καὶ μανικωτέρȣ.

1 V. e Junt. ἔλυε.

2 Sic ex Junt. R. repoſuit, Steph. V. & Anon. cenſentientibus, pro vulg. ἀρετῆς.

3 Favonii puta, uti infra Curionis, collegae, theatrum commemoratur. Praepoſ. ἐν, quae vulgo deeſt, R. dedit cum Anon. & V.

4 Sic ſcribi voluit Duſ. & dedit R. Vulgo σικίȣς.

5 Anon. ἥδοντο, quod Br. probavit.

6 Sic cum Anon. dari voluit Br. deditque R. Vulgo μετέβαλλον.

7 ſcil. 7ὰ ἆθλα — diſtribuere praemia victoriae certatoribus iis, qui rem egregie geſſiſſent. R.

8 ſcil. βοᾷν. R. Dacer. voluit 7οῖς θεαταῖς, quod Br. probat,

ἑτέρῳ θεάτρῳ Κερίων [1], ὁ Φαωνίε συνάρχων, ἐχορήγει πολυτελῶς· ἀλλ᾽ ἐκεῖνον ἀπολιπόντες οἱ ἄνθρωποι, μετέβαινον ἐνταῦθα, καὶ συνέπαιζον προθύμως ὑποκρινομένῳ τῷ Φαωνίῳ τὸν ἰδιώτην [2], καὶ τῷ Κάτωνι τὸν ἀγωνοθέτην. ἔπραττε δὲ ταῦτα, διασύρων τὸ πρᾶγμα, καὶ διδάσκων, ὅτι παίζοντα δεῖ τῇ παιδιᾷ χρῆσθαι, καὶ χάριτι παραπέμπειν ἀτύφῳ μᾶλλον, ἢ παρασκευαῖς καὶ πολυτελείαις [3], εἰς τὰ μηδενὸς ἄξια φροντίδας μεγάλας καὶ σπεδὰς κατατιθέμενον.

XLVII. Ἐπεὶ δὲ, Σκιπίωνος καὶ Ὑψαίε καὶ Μίλωνος ὑπατείαν μετερχομένων [4], ἐ μόνον ἐκείνοις τοῖς συντρόφοις ἤδη καὶ συμπολιτευομένοις ἀδικήμασι, δωροδοκίαις καὶ δεκασμοῖς, ἀλλ᾽ ἄντικρυς δι᾽ ὅπλων καὶ φόνων εἰς ἐμφύλιον πόλεμον ὠθεμένων τόλμῃ καὶ ἀπονοίᾳ, Πομπήϊον τινὲς ἠξίεν ἐπιστῆναι ταῖς ἀρχαιρεσίαις· τὸ μὲν πρῶτον ἀντεῖπεν ὁ Κάτων, ἐ τοῖς νόμοις ἐκ Πομπηΐε φάμενος, ἀλλ᾽ ἐκ τῶν νόμων Πομπηΐῳ δεῖν ὑπάρχειν τὴν ἀσφάλειαν. ὡς δὲ, πολὺν χρόνον ἀναρχίας ἔσης, καὶ τριῶν στρατοπέδων τὴν ἀγορὰν ὁσημέραι περιεχόντων [5], ὀλίγον ἀπέλειπεν ἀνεπίσχετον γεγονέναι τὸ κακὸν, ἔγνω τὰ πράγματα πρὸ τῆς ἐσχάτης ἀνάγκης εἰς Πομπήϊον ἑκεσίῳ [6] χάριτι τῆς βελῆς περιστῆσαι, καὶ τῷ μετριωτάτῳ τῶν παρανομημάτων χρησάμενος ἰάματι



bat, & Kind sequitur, vertens: und schrie, dass er sowohl die Schauspieler, die ihre Rollen gut spielten, als die Zuschauer beschenken sollte. Schirach prorsus omittit: er solle die Schauspieler, die sich gut hielten, nach Gefallen belohnen.

1 In edd. Stephanica prioribus extat Λερίων.

2 Deest τὸν ante h. v. Junt. Ald. Crat.

3 Deesse videtur R. post h. v. aliquis infinitivus, e. c. σποβεῖσθαι — aut, quod tamen durius censet, e praemissis subaudiendum χρῆσθαι.

4 Junt. sola τρεχομένων.

5 R. quaerit, num κατεχόντων?

6 Teste H. Steph. etiam legitur ἑκεσίως.

ματι τῆς τῶν μεγίςων κατασάσεως [1], τὴν μοναρχίαν ἐπαγαγέσθαι μᾶλλον, ἢ περιϊδεῖν τὴν σάσιν εἰς μοναρχίαν τελευτᾶσαν. εἶπεν ἦν ἐν τῇ βουλῇ γνώμην Βύβλος, ὢν οἰκεῖος Κάτωνος, ὡς χρὴ μόνον ἑλέσθαι Πομπήϊον ὕπατον· ἢ γὰρ ἕξειν καλῶς τὰ πράγματα, ἐκείνου κατασήσαντος, ἢ τῷ κρατίσῳ δουλεύσειν [2] τὴν πόλιν. ἀνασὰς δ' ὁ Κάτων, οὐδενὸς ἂν προσδοκήσαντος, ἐπῄνεσε τὴν γνώμην, καὶ συνεβούλευε, πᾶσαν ἀρχὴν ὡς ἀναρχίας κρείττονα· Πομπήϊον δὲ καὶ προσδοκᾶν ἄρισα τοῖς παροῦσι χρήσεσθαι πράγμασι, καὶ φυλάξειν διαπισευθέντα τὴν πόλιν.

XLVIII. Οὕτω δ' ἀποδειχθεὶς ὕπατος ὁ Πομπήϊος, ἐδεήθη τοῦ Κάτωνος ἐλθεῖν πρὸς αὐτὸν εἰς τὸ προάσειον. ἐλθόντα δὲ δεξάμενος φιλοφρόνως ἀσπασμοῖς καὶ δεξιώσεσι, καὶ χάριν ὁμολογήσας, παρεκάλει σύμβουλον αὐτῷ καὶ πρόεδρον [3] εἶναι τῆς ἀρχῆς. ὁ δὲ Κάτων ἀπεκρίνατο, μήτε τὰ πρῶτα πρὸς ἀπέχθειαν εἰπεῖν Πομπηΐου, μήτε ταῦτα πρὸς χάριν, ἀλλ' ἐπὶ συμφέροντι πάντα τῆς πόλεως. ἰδίᾳ μὲν οὖν αὐτῷ παρακαλοῦντι σύμβουλος [4] ἔσεσθαι, δημοσίᾳ δὲ, κἂν μὴ παρακαλῆται, πάντως ἐρεῖν τὸ φαινόμενον. καὶ ταῦτ' ἔπραττεν, ὡς εἶπε. πρῶτον μὲν γὰρ ἐπὶ τοὺς δεκάσαντας ἤδη τὸν δῆμον ἐπιτίμια καινὰ καὶ δίκας μεγάλας τοῦ Πομπηΐου νομοθετοῦντος, ἀμελεῖν ἐκέλευε [5] τῶν γεγονότων, καὶ προσέχειν τοῖς μέλλουσιν. οὔτε γὰρ, ὅπου σήσεται τὰ προημαρτημένα, ζητοῦσιν

1 R. haec vox vitio laborare videtur, ſententia poſtulante *καταφθίσεως*, *labis*, *corruptionis*. Suſp. idem, *τῆς περὶ τῶν μεγίςων σάσεως*, *contentionis de rebus ſummis*.

2 Junt. Ald. Crat. *δουλεύειν*, & antea *ἕξει*; item infra *χρήσασθαι*.

3 V. *πάρεδρον*. Sic Br. conjecit. Duſ. mavult *πρόσεδρον*. R. vulgatam ſervandam cenſet, eique eſt latiniſmus — *praeſidium*, tutamen, munimentum ſui conſulatus.

4 R. videtur deeſſe poſt h. v. *πρόθυμος*.

5 V. *ἐκέλευσε*.

τοῦσιν [1] ὁρίσαι ῥᾴδιον, ἐάν τε νεώτερα γράφηται τῶν ἀδικημάτων ἐπιτίμια, δεινὰ πείσεσθαι τοὺς, ὃν [2] οὐ παρέβαινον, οὔτ' ἠδίκουν νόμον, κατὰ τοῦτον κολαζομένους. ἔπειτα, πολλῶν κρινομένων ἐπιφανῶν ἀνδρῶν, ἐνίων δὲ καὶ φίλων τοῦ Πομπηΐου καὶ οἰκείων, ὁρῶν αὐτὸν ἐνδιδόντα ἐν πολλοῖς καὶ καμπτόμενον, ἐπετίμα σφοδρῶς καὶ διήγειρεν [3]. ἐπεὶ δὲ νόμῳ τοὺς εἰωθότας λέγεσθαι περὶ τῶν κρινομένων ἐπαίνους αὐτὸς ἀφελὼν, Μουνατίῳ Πλάγκῳ [4] συγγράψας ἔπαινον ἐπὶ τῆς δίκης ἔδωκεν, ἐπισχόμενος ὁ Κάτων τὰ ὦτα ταῖς χερσὶν (ἔτυχε γὰρ δικάζων) ἐκώλυεν ἀναγινώσκεσθαι τὴν μαρτυρίαν. ὁ δὲ Πλάγκος ἀπέλεξεν αὐτὸν ἐκ τῶν δικαστῶν μετὰ τοὺς λόγους, καὶ οὐδὲν ἧττον ἥλω. καὶ ὅλως ἄπορον ἦν πρᾶγμα καὶ δυσμεταχείριστον ὁ Κάτων τοῖς φεύγουσι, μήτε βουλομένοις αὐτὸν ἀπολιπεῖν δικαστὴν, μήτ' ἀπολέγειν τολμῶσιν. ἥλωσαν γὰρ οὐκ ὀλίγοι, τῷ Κάτωνα [5] φεύγειν δόξαντες οὐ θαῤῥεῖν τοῖς δικαίοις. ἐνίοις [6] δὲ καὶ προὔφερον οἱ λοιδοροῦντες, ὡς



ὄνειδος

1 R. sic dedit pro vulg. ζητεῖν de suo. Dus. susp. ζητῶν. H. Steph. locum hunc sic intelligendum censuit, ac si verba ita collocata essent οὔτε γὰρ ῥᾴδιον ὁρίσαι, ὅπου στήσεται ζητεῖν τὰ προημαρτημένα, & ita scripsisse Plutarchum suspicatur τὸ τὰ προημ. ζητεῖν — quis futurus sit inquirendi in praeterita delicta finis? —

2 Ita cum Anon. R. dedit pro vulg. τοῦτον ὄν. Pro πείσεσθαι etiam πείθεσθαι legi testatur H. Steph. E V. ita locus hic enotatur: πείθεσθαι vel πείσεσθαι τούτους, οἱ παρέβαινον ὅτ' ἠδίκουν νόμον κατὰ τοῦτον. Junt. Ald. Crat. κατὰ τοῦτο.

3 R. ad h. v. ita: *correxit* vel *sublevavit*, ut regulam incurvatam, aut arundinem a vento prostratam. Dixerat enim modo καμπτόμενον. Incurvati subriguntur, relevantur ad rectum statum.

4 Sic cum Anon. & Xyl. dedit R. pro vulg. Φλάκκῳ. Ita & infra. Pro seq. δίκης V. καταδίκης.

5 Sic cum V. R. dedit. Vulgo τὸν Κάτωνα. H. Steph. etiam legi τῷ Κάτωνι testatur, quae verba jungenda censet cum praecedentibus, ut sit pro ὑπὸ τοῦ Κάτωνος. Mavult tamen τῷ τὸν Κάτ. i. e. διὰ τὸ τὸν K. φ.

6 Sic cum V. & Anon. dari voluit Br. deditque R. Vulgo ἐνίους.

ὄνειδος μέγα, το μὴ δέξαθαι κριτὴν Κάτωνα προτεινόμενον [1].

XLIX. Ἐπεὶ δὲ, Καίσαρος αὐτȣ̃ [2] μὲν ἐμπεφυκότος τοῖς ϛρατεύμασιν ἐν Γαλατίᾳ, καὶ τῶν ὅπλων ἐχομένȣ, δώροις δὲ καὶ χρήμασι καὶ φίλοις μάλιϛα πρὸς τὴν ἐν τῇ πόλει χρωμένȣ δύναμιν, ἤδη μὲν αἱ Κάτωνος προαγορεύσεις ἀνέφερον [3] τὸν Πομπήϊον, ἐκ πολλῆς δὴ τῆς πρόσθεν ἀπιϛίας ὀνειροπολȣ̃ντα τὸ δεινόν. ἐπεὶ δ' ἦν ὄκνȣ καὶ μελλήσεως ἀτόλμȣ πρὸς τὸ κωλύειν καὶ ἐπιχειρεῖν ὑπόπλεως, ὥρμησεν ὁ Κάτων ὑπατείαν παραγγέλλειν, ὡς ἀφαιρησόμενος εὐθὺς τὰ ὅπλα τȣ̃ Καίσαρος, ἢ τὴν ἐπιβȣλὴν ἐξελέγξων. οἱ δ' ἀντιπαραγγέλλοντες αὐτῷ, χαρίεντες μὲν ἦσαν ἀμφότεροι, Σȣλπίκιος δὲ καὶ πολλὰ τῆς τȣ̃ Κάτωνος ἐν τῇ πόλει δόξης τε καὶ δυνάμεως ἀπολελαυκὼς, ȣ̓ μέτριον ȣ̓̃ν [4] ἐδόκει πρᾶγμα ποιεῖν, ȣ̓δ' εὐχάριϛον· ȣ̓ μὴν ὅ γε Κάτων ἐνεκάλει. Τί γὰρ, ἔφη, θαυμαϛὸν, εἰ, ὅ τις νομίζει τῶν ἀγαθῶν μέγιϛον, ἑτέρῳ μὴ παρίησι; πείσας δὲ τὴν βȣλὴν ψηφίσαθαι, τȣ̀ς μετιόντας τὴν ἀρχὴν αὐτȣ̀ς δεξιȣ̃σθαι τὸν δῆμον [5], δι' ἑτέρȣ δὲ μὴ δεῖσθαι, μηδ' ἐντυγχάνειν ὑπὲρ αὐτῶν περιϊόντας, ἔτι μᾶλλον ἐξηγρίαινε [6] τȣ̀ς

1 Sic H. Steph. in aliquo cod. legi affirmat, & Mof. Duf. legendum cenfuit, deditque R. pro vulg. προτεινόμενοι.

2 R. ambigit, αὐτȣ̃ fitne genitivus pronominis, an adverbium, *ibidem*, cujus interpretatio ἐν Γαλατίᾳ, ubi tum Caefar erat, fubjicitur.

3 Sic V. & H. Steph. ex vetuftorum exempl. auctoritate repofuit pro προέφερον, quod in prioribus edd. erat. R. judice, fententia poftulat ἔπτυρον, *territabant*. In feq. idem dedit δὴ de fuo, pro vulg. ἤδη; mavult tamen legi ἐκ πολλῆς νῦν δὴ, *nunc tandem aliquando*. Pro προαγορ. V. προσαγορεύσεις.

4 R. fufp. ȣ̓ μέτριον μὲν ȣ̓̃ν.

5 plebem univerfam fimul in concione congreffam, non viritim quemque. R.

6 V. ἐξηγρίανε. Poft τȣ̀ς ἀνθρ. R. deeffe videtur νεμεσῶντας, aegre ferentes, ftomachantes, vel ἀχθομένȣς, vel tale quid.

τȣς ανθρώπȣς· εἰ μὴ μόνον τὸ λαβεῖν μισθὸν, ἀλλὰ καὶ τὸ διδόναι χάριν, αὐτȣς ἀφηρημένος, ἄπορον καὶ ἄτιμον ὁμȣ̃ τὸν δῆμον πεποίηκε. πρὸς δὲ τȣτῳ μήτ' αὐτος ἐντυχεῖν ὑπὲρ αὐτȣ̃ πιθανὸς ὢν, ἀλλ' ἐν ἤθει τὸ τȣ̃ βίȣ μᾶλλον ἀξίωμα βȣλόμενος φυλάσσειν, ἢ προσλαβεῖν τὸ τῆς ἀρχῆς, ποιȣ́μενος [1] τὰς δεξιώσεις, μήτε τȣ̀ς φίλȣς ἐάσας, οἷς ὄχλος ἁλίσκεται καὶ θεραπεύεται, ποιεῖν, ἀπέτυχε τῆς ἀρχῆς.

L. Φέροντος δὲ τȣ̃ πράγματος ȣ̓κ αὐτοῖς μόνοις τοῖς ἀποτυχȣ̃σιν, ἀλλὰ καὶ φίλοις αὐτῶν καὶ οἰκείοις, σὺν αἰσχύνῃ τινὶ κατήφειαν καὶ πένθος ἐφ' ἡμέρας πολλὰς, ȣ̓́τως ἤνεγκε ῥαθύμως τὸ συμβεβηκὸς, ὥςτ' ἀλειψάμενος μὲν ἐν τῷ πεδίῳ σφαιρίσαι, μετ' ἄριςον δὲ πάλιν, ὥσπερ εἴθιςο, καταβὰς εἰς ἀγορὰν ἀνυπόδητος καὶ ἀχίτων, περιπατῆσαι μετὰ τῶν συνήθων. αἰτιᾶται δὲ Κικέρων, ὅτι, τῶν πραγμάτων ἄρχοντος τοιȣ́τȣ δεομένων, ȣ̓κ ἐποιήσατο σπȣδὴν, ȣ̓δ' ὑπῆλθεν ὁμιλίᾳ φιλανθρώπῳ τὸν δῆμον, ἀλλὰ καὶ πρὸς τὸ λοιπὸν ἐξέκαμε καὶ ἀπηγόρευε, καίτοι τὴν ςρατηγίαν αὖθις ἐξ ὑπαρχῆς μετελθών. ἔλεγεν ȣ̓̃ν ὁ Κάτων, ὅτι τῆς μὲν ςρατηγίας ȣ̓ κατὰ γνώμην ἐξέπεσε τῶν πολλῶν, ἀλλὰ βιασθέντων, ἢ διαφθαρέντων· ἐν δὲ ταῖς ὑπατικαῖς ψήφοις μηδεμιᾶς κακȣργίας γενομένης, ἔγνω καὶ τῷ δήμῳ προσκεκρȣκὼς διὰ τὸν αὐτȣ̃ [2] τρόπον, ὃν ȣ̓́τε μεταθέσθαι πρὸς



1 R. docente, idem est ac *διὰ τȣ̃ ποιεῖσθαι, quam prensationibus acquisitivum consulatus honorem vetustae vitae dignitati adjicere.* Br. susp. *μὴ ποιȣ́μενος.* Laxius vertunt Kind & Schirach hunc locum. Ille: und sich lieber bey seinem Ansehen, das er sich durch seine Lebensart erworben hatte, behaupten, *als es um des Consulats willen schmälern wollte.* Hic: *als daß er die Würde des Consulats hätte zu dieses Nachtheile sich verschaffen sollen.*

2 Sic cum Anon. R. dedit pro vulg. *αὐτόν.*

πρὸς ἑτέρων χάριν, ὅτε χρώμενον ὁμοίῳ [1] πάλιν ὅμοια παθεῖν, νῦν ἔχοντος ἀνδρός ἐστιν.

LI. Τοῦ δὲ Καίσαρος ἐμβαλόντος εἰς ἔθνη μάχιμα, καὶ παραβόλως κρατήσαντος, Γερμανοῖς δὲ καὶ σπονδῶν γενομένων δοκοῦντος ἐπιθέσθαι καὶ καταβαλεῖν τριάκοντα μυριάδας, οἱ μὲν ἄλλοι τὸν δῆμον ἠξίουν εὐαγγέλια θύειν· ὁ δὲ Κάτων ἐκέλευεν ἐκδιδόναι τὸν Καίσαρα τοῖς παρανομηθεῖσι, καὶ μὴ τρέπειν εἰς αὐτοὺς, μηδ' ἀναδέχεσθαι τὸ ἄγος εἰς τὴν πόλιν. Οὐ μὴν ἀλλὰ καὶ τοῖς θεοῖς, ἔφη, θύομεν [2], ὅτι τῆς τοῦ στρατηγοῦ μανίας καὶ ἀπονοίας τὴν δίκην εἰς τοὺς στρατιώτας οὐ τρέπουσιν, ἀλλὰ φείδονται τῆς πόλεως. Ἐκ τούτου Καῖσαρ ἐπιστολὴν γράψας ἀπέστειλεν εἰς τὴν σύγκλητον· ὡς δ' ἀνεγνώσθη βλασφημίας πολλὰς ἔχουσα καὶ κατηγορίας τοῦ Κάτωνος, ἀναστὰς ἐκεῖνος, οὐχ ὑπ' ὀργῆς, οὐδὲ φιλονεικίας, ἀλλ' ὥσπερ ἐκ λογισμοῦ καὶ παρασκευῆς, τὰ μὲν εἰς ἑαυτὸν ἐγκλήματα λοιδορίαις καὶ σκώμμασιν ὅμοια καὶ παιδιάν τινα καὶ βωμολοχίαν τοῦ Καίσαρος ἀπέδειξεν· ἁψάμενος δὲ τῶν ἐκείνου βουλευμάτων ἀπ' ἀρχῆς, καὶ πᾶσαν αὐτοῦ τὴν διάνοιαν, ὥσπερ οὐκ ἐχθρὸς, ἀλλὰ συνωμότης καὶ κοινωνὸς, ἐκκαλύψας, καὶ διδάξας, ὡς οὐ Βρεττανῶν [3], οὐδὲ Κελτῶν παῖδας, ἀλλ' ἐκεῖνον αὐτὸν, εἰ σωφρονοῦσι, φοβητέον ἐστὶν αὐτοῖς, οὕτως ἐπέστρεψε καὶ παρώξυνεν, ὡς τοὺς φίλους τοῦ Καίσαρος μετανοεῖν, ὅτι τὴν ἐπιστολὴν ἀναγνόντες ἐν τῇ βουλῇ καιρὸν τῷ Κάτωνι λόγων δικαίων καὶ κατηγοριῶν ἀληθῶν παρέσχον. ἐκυρώθη μὲν οὖν οὐδὲν, ἀλλ' ἐλέχθη μόνον, ὅτι καλῶς ἔχει διάδοχον Καίσαρι δοθῆναι. τῶν δὲ φίλων ἀξιούντων καὶ Πομ-

1 V. ὁμοίως. R. susp. *μὴ πάλιν ὅμοια προσδοκᾶν παθεῖν, non rursus eundem exspectare exitum, cum eodem agendi modo utaris.* Kind satis audacter vertit: welche ein kluger Mann nicht ändern würde, *wenn er auch niemals ein öffentliches Amt bekommen sollte.*

2 R. mavult θύωμεν, ut sit adhortantis oratio.

3 Amiot. & Dacer. Γερμανῶν legere jubent.

Πομπήϊον ἐξ ἴσȣ τα ὅπλα καταθέθαι, καὶ ἀποδȣ͂ναι τὰς ἐπαρχίας, ἢ μηδὲ Καίσαρα, νῦν ἐκεῖνα βοῶν ὁ Κάτων, ἃ πρȣ̈λεγεν αὐτοῖς, ἥκειν, καὶ βιάζεθαι τὸν ἄνθρωπον, ἀναφανδὸν ἤδη τῇ δυνάμει χρώμενον, ἣν ἔχεν ἐξαπατῶν καὶ φενακίζων τὴν πόλιν, ἔξω μὲν ȣ͂ν [1] ȣ̓δὲν ἐπέραινε, τȣ͂ δήμȣ θέλοντος ἀεὶ τὸν Καίσαρα μέγιςον εἶναι, τὴν δὲ σύγκλητον εἶχε πειθομένην, καὶ φοβȣμένην τὸν δῆμον.

LII. Ὡς δ' Ἀρίμινον κατείληπτο, καὶ Καῖσαρ κατηγγέλλετο μετὰ ςρατιᾶς ἐλαύνειν ἐπὶ τὴν πόλιν, ἐνταῦθα δὴ πάντες ἐπ' ἐκεῖνον ἀφεώρων, οἵ τε πολλοὶ, καὶ Πομπήϊος, ὡς μόνον μὲν ἐξ ἀρχῆς προαιθόμενον, πρῶτον δὲ φανερῶς προειπόντα τὴν Καίσαρος γνώμην. εἶπεν ȣ͂ν ὁ Κάτων· Ἀλλ' εἴ γ', οἷς ἐγὼ πρȣ̈λεγον ἀεὶ καὶ συνεβȣλευον, ἐπείθη τις ὑμῶν, ἄνδρες, ȣ̓́τ' ἂν ἕνα ἐφοβεῖθε νῦν, ȣ̓́τ' ἐν ἑνὶ τὰς ἐλπίδας εἴχετε. Πομπηΐȣ δ' εἰπόντος, μαντικώτερα μὲν εἰρῆθαι Κάτωνι, φιλικώτερα δ' αὐτῷ πεπρᾶχθαι, συνεβȣλευεν ὁ Κάτων ἑνὶ Πομπηΐῳ τὰ πράγματα τὴν σύγκλητον ἐγχειρίσαι· τῶν γὰρ αὐτῶν εἶναι, καὶ ποιεῖν τὰ μεγάλα κακὰ, καὶ παύειν. ὁ μὲν ȣ͂ν Πομπήϊος ȣ̓́τε δύναμιν ἔχων ἑτοίμην, ȣ̓́τε ȣ̔̓ς κατέλεγε, τότε προθύμȣς ὁρῶν, ἐξέλιπε τὴν Ῥώμην. ὁ δὲ Κάτων ἕπεθαι καὶ συμφεύγειν ἐγνωκὼς, τὸν μὲν νεώτερον υἱὸν εἰς Βρεττίȣς ὑπεξέθετο πρὸς Μȣνάτιον, τὸν δὲ πρεσβύτερον εἶχε σὺν ἑαυτῷ. τῆς δ' οἰκίας καὶ τῶν θυγατέρων κηδεμόνος [2] δεομένων, ἀνέλαβε πάλιν τὴν Μαρκίαν χηρεύȣσαν ἐπὶ χρήμασι πολλοῖς. ὁ γὰρ Ὁρτήσιος θνήσκων ἐκείνην ἀπέλιπε κληρονόμον. εἰς ὃ δὴ μάλισα λοιδορȣ́μενος ὁ Καῖσαρ τῷ Κάτωνι φιλοπλȣτίαν προσφέρει [3] καὶ μιθαρνίαν ἐπὶ τῷ γάμῳ. Τί γὰρ ἔδει παραχωρεῖν δεόμενον γυναικὸς, ἢ

 τί

1 Deeſt ȣ͂ν Junt.
2 V. κηδόμενος.
3 Br. legi vult προφέρει. Seq. lin. pro γυναικός V. γυναῖκα.

τί μὴ δεόμενον αὖθις ἀναλαμβάνειν; εἰ μὴ δέλεαρ ἐξ ἀρχῆς ὑΦείθη τὸ γύναιον Ὁρτησίῳ, καὶ νέαν ἔχρησεν, ἵνα πλεσίαν ἀπολάβῃ. πρὸς μὲν ἒν ταῦτα μετρίως ἔχει τὸ Εὐριπίδειον ἐκεῖνο·

Πρῶτον μὲν ἒν τἄῤῥητ' [1]. ἐν ἀῤῥήτοισι γὰρ
Τὴν σὴν νομίζω δειλίαν, ὦ Ἡράκλεις.

ὅμοιον γάρ ἐςι τῷ Ἡρακλεῖ [2] μαλακίαν ὀνειδίζειν, καὶ κατηγορεῖν αἰσχροκέρδειαν Κάτωνος. εἰ δ' ἄλλῃ πῃ [3] μὴ καλῶς πέπρακται περὶ τὸν γάμον, ἐπισκεπτέον. ἐγγυησάμενος γὰρ [4] τὴν Μαρκίαν ὁ Κάτων, καὶ τὸν οἶκον ἐπιτρέψας ἐκείνῃ, καὶ τὰς θυγατέρας, αὐτὸς ἐδίωκε Πομπήϊον.

LIII. Ἀπ' ἐκείνης δὲ λέγεται τῆς ἡμέρας μήτε κεφαλὴν ἔτι κείρασθαι, μήτε γένεια, μήτε ςέφανον ἐπιθέσθαι, πένθες δὲ καὶ κατηφείας καὶ βαρύτητος ἐπὶ ταῖς συμφοραῖς τῆς πατρίδος ἓν σχῆμα, νικώντων ὁμοίως καὶ νικωμένων, ἄχρι τελευτῆς διαφυλάξαι. τότε δὲ κλήρῳ λαχὼν Σικελίαν, διέβη μὲν εἰς Συρακέσας· πυθόμενος δ', Ἀσίνιον Πολλίωνα παρὰ τῶν πολεμίων ἀφῖχθαι μετὰ δυνάμεως εἰς Μεσήνην [5], ἔπεμψε λόγον ἀπαιτῶν παρ' αὐτᾶ τῆς διαβάσεως. ἀνταπαιτηθεὶς δὲ λόγον ὑπ' ἐκείνε τῆς τῶν πραγμάτων μεταβολῆς, καὶ Πομπήϊον ἀκέσας ἐκλελοιπότα παντελῶς Ἰταλίαν ἐν Δυῤῥαχίῳ ςρατοπεδεύειν, πολὺν ἔφη περὶ τὰ θεῖα πλάνον [6] εἶναι

1 Sic cum Anon. dandum censuit Mos. Dus. deditque R. pro vulg. πρῶτα μὲν ἒν τὰ ῥητά. Jam de τἄῤῥητ' monuerunt Xyl. & Dacer. Locus est apud Euripid. in Herc. fur. v. 174. sq.
2 Anon. τὸ Ἡρακλεῖ, quod probat Dus.
3 Scriptum est in prioribus edd. ἄλλῃ πῇ. Hinc V. ἄλλῃ πῃ, quod Br. recepit.
4 Mos. Dus. legi vult γἒν aut γε.
5 Scribendum monet Dus. Μεσσήνην.
6 Teste H. Steph. etiam legitur πολλὴν — πλάνην. In Junt. πολὴν — πλάνον. Saepius autem in ea η cum υ permutatum reperitur.

εἶναι καὶ ἀσάφειαν, εἰ Πομπήϊον, ἐν οἷς ὑγιὲς ἐδὲν, ἐδὲ δίκαιον ἔπραττεν, ἀήττητον γενόμενον, νῦν, ὅτε τὴν πατρίδα βέλεται σώζειν, καὶ τῆς ἐλευθερίας ὑπερμάχεται, προλέλοιπε τὸ εὐτυχεῖν. Ἀσίννιον μὲν ἐν ἔφη δυνατὸς εἶναι Σικελίας ἐκβαλεῖν, ἄλλης δὲ μείζονος ἐπερχομένης [1] δυνάμεως, ἐ βέλεσθαι τὴν νῆσον ἐν [2] πολέμῳ ἀπολέσθαι· χωρεῖν δὲ πρὸς τὸ κρατἐν καὶ σώζεσθαι παραινέσας τοῖς [3] Συρακεσίοις ἐξέπλευσεν. ἀφικόμενος δὲ πρὸς Πομπήϊον, ἀεὶ μὲν εἴχετο μιᾶς γνώμης, χρονοτριβεῖν τὸν πόλεμον· ἐλπίζων διαλύσεις, καὶ μὴ βελόμενος ἐν ἀγῶνι χείρω γενομένην τὴν πόλιν αὐτὴν ὑφ' αὑτῆς παθεῖν τὰ ἔσχατα σιδήρῳ διακριθεῖσαν. ἄλλα δὲ τέτων ἀδελφὰ Πομπήϊον ἔπεισε καὶ τὲς συνέδρες ψηφίσασθαι, μήτε πόλιν ὑπήκοον Ῥωμαίων διαρπάζειν, μήτ' ἄνδρα Ῥωμαῖον ἔξω παρατάξεως ἀναιρεῖν· καὶ δόξαν ἤνεγκε, καὶ προσηγάγετο πολλὲς τῇ Πομπηΐε μερίδι, τὴν ἐπιείκειαν αὐτἒ καὶ τὸ ἥμερον ἀσπασαμένες.

LIV. Ἐκπεμφθεὶς δ' εἰς Ἀσίαν, ὡς τοῖς ἐκεῖ [4] συνάγεσι πλοῖα καὶ ςρατιὰν ὠφέλιμος γένοιτο, Σερβιλίαν ἐπηγάγετο, τὴν ἀδελφὴν [5], καὶ τὸ Λευκέλλε παιδίον ἐξ ἐκείνης γεγονός. ἠκολέθησε γὰρ αὐτῷ χηρεύεσα, καὶ πολὺ τῶν εἰς τὸ ἀκόλαςον αὐτῆς διαβολῶν ἀφεῖλεν, ὑποδῦσα τὴν ὑπὸ Κάτωνι φρερὰν καὶ πλάνην καὶ δίαιταν ἑκεσίως. ἀλλ' ὅ γε Καῖσαρ ἐδὲ τῶν ἐπ' ἐκείνῃ βλασφημιῶν τἒ Κάτωνος ἐφείσατο. πρὸς μὲν ἐν τἄλλα

1 Sic cum Junt. dedit R. pro vulg. ὑπερχομένης.

2 aut delendum cenſet R. hanc praepoſitionem, aut legendum ἐμφυλίῳ πολέμῳ. Pro ſeq. ἀπολέσθαι Junt. & Crat. ἀποθέσθαι.

3 Sic R. de ſuo cum artic. dedit, qui vulgo abeſt, ductus quodammodo a Juntina, quae habet παραινέσας δὲ Συρ.

4 Subaud. φίλοις καὶ ὑπηρέταις Πομπηΐε, vel ςρατηγοῖς. R.

5 Sic cum Anon. & V. reponendum cenſuit Duſ. deditque R. Vulgo ἀδελφιδῆν. Artic. Idem e Junt. reſtituit.

τἄλλα τῦ Κάτωνος ὐδὲν, ὡς ἔοικεν, ἐδεήθησαν οἱ Πομπηΐυ ϛρατηγοί· Ῥοδίυς δὲ πείθει [1] προσαγαγόμενος, καὶ τὴν Σερβιλίαν αὐτόθι καὶ τὸ παιδίον ἀπολιπὼν, ἐπανῆλθε πρὸς Πομπήϊον, ἤδη πεζικῆς τε λαμπρᾶς καὶ ναυτικῆς δυνάμεως περὶ αὐτὸν ὔσης. ἔνθα δὴ [2] καὶ μάλιϛα τῆς γνώμης κατάφωρος ἔδοξε γεγονέναι Πομπήϊος. ὥρμησε μὲν γὰρ ἐγχειρίσαι τῷ Κάτωνι τὴν τῶν νεῶν ἡγεμονίαν· ἦσαν δὲ πεντακοσίων μὲν ὐκ ἐλάττυς αἱ μάχιμοι, λιβυρνικὰ δὲ καὶ κατασκοπικὰ καὶ ἄφρακτα παμπληθῆ. ταχὺ δ' ἐννοήσας, ἢ διδαχθεὶς ὑπὸ τῶν φίλων, ὡς ἓν ἐϛι [3] κεφάλαιον Κάτωνι πάσης πολιτείας [4], ἐλευθερῶσαι τὴν πατρίδα, κἂν γένηται κύριος τηλικαύτης δυνάμεως, ἧς ἂν ἡμέρας καταγωνίσωνται Καίσαρα, τῆς αὐτῆς ἐκείνης ἀξιώσει καὶ Πομπήϊον τὰ ὅπλα καταθέσθαι, καὶ τοῖς νόμοις ἕπεσθαι, μετέγνω, καίπερ ἤδη διειλεγμένος αὐτῷ, καὶ Βύβλον ἀπέδειξε ναύαρχον. ὐ μὴν ᾔσθετό γε παρὰ τῦτο τῆς προθυμίας τῦ Κάτωνος ἀμβλυτέρας· ἀλλὰ καὶ λέγεται πρός τινα μάχην πρὸ τῦ Δυῤῥαχίυ, αὐτῦ τε Πομπηΐυ παρορμῶντος τὴν δύναμιν, καὶ τῶν ἄλλων ἕκαϛον ἡγεμόνων εἰπεῖν τι καὶ προτρέψασθαι κελεύοντος, ἀργῶς καὶ σιωπῇ τὺς ϛρατιώτας ἀκύειν· Κάτωνος δὲ μετὰ πάντας, ὅσα καιρὸν εἶχε τῶν ἀπὸ φιλοσοφίας ἀκύειν, λεγομένων [5] περὶ ἐλευθερίας καὶ

1 Br. mavult πειθοῖ cum Anon. In Junt. πείθοι.

2 Ex Ald. & Junt. ſeſe hanc lectionem revocaſſe, R. monet pro vulg. ἔνθα δὲ. Sic non niſi in Bry. extat.

3 Sic repoſuit H. Steph. pro ἔνεϛι, quod antea dabatur.

4 Anon. δεσποτείας, quod probandum videtur, ſi πάσ. δεσπ. ad ſequentia transferres. Quae conſtructio antea extitit, cum comma ante πάσης daretur. R. dedit comma poſt πολιτείας.

5 R. monente, conſtructio haec eſt: ὅσα ἀκύειν τῶν ἀπὸ φιλοσοφίας λεγόμενα (ſic legi mavult) καιρὸν εἶχε, i. e. εὔκαιρον ἦν, *quae nempe e philoſophia petita, milites audire opportunum erat* — aut: ὅσα ἀκύειν καιρὸν εἶχε τῶν ὑπὸ φιλοσόφων λεγομένων περὶ ἐλευθερίας — *quae milites in ejusmodi tempore*

καὶ ἀρετῆς καὶ θανάτου καὶ δόξης διελθόντος αὐτοπαθῶς, καὶ τελευτῶντα τρέψαντος τὸν λόγον εἰς θεῶν ἀνάκλησιν, ὡς παρόντων καὶ ἐφορώντων τὸν ὑπὲρ τῆς πατρίδος ἀγῶνα, τηλικοῦτον ἀλαλαγμὸν γενέσθαι καὶ τοσοῦτον κίνημα τῆς στρατιᾶς ἐπαρθείσης, ὥστε πάντας ἐλπίδων μεστοὺς ἐπὶ τὸν κίνδυνον ὁρμῆσαι τοὺς ἡγεμόνας. τρεψαμένων δὲ καὶ κρατησάντων ἀφείλετο τὴν παντελῆ νίκην ὁ Καίσαρος δαίμων, τῇ Πομπηΐου [1] χρησάμενος εὐλαβείᾳ καὶ ἀπιστίᾳ περὶ τὸ εὐτύχημα. ταῦτα μὲν οὖν ἐν τοῖς περὶ Πομπηΐου γέγραπται. χαιρόντων δὲ πάντων καὶ μεγαλυνόντων τὸ ἔργον, ὁ Κάτων ἀπεδάκρυε τὴν πατρίδα, καὶ τὴν ὀλέθριον καὶ κακοδαίμονα φιλαρχίαν ὠδύρετο, πολλοὺς καὶ ἀγαθοὺς ὁρῶν πολίτας ὑπ' ἀλλήλων πεπτωκότας.

LV. Ἐπεὶ δὲ Καίσαρα διώκων Πομπήϊος εἰς Θεσσαλίαν ἀνεζεύγνυε, πολλὰ καταλιπὼν περὶ Δυῤῥάχιον ὅπλα [καὶ χρήματα [2]] καὶ σώματα συγγενῆ καὶ οἰκεῖα, πάντων ἀπέδειξεν ἡγεμόνα καὶ φύλακα τὸν Κάτωνα, πεντεκαίδεκα σπείρας ἔχοντα στρατιωτῶν, διὰ πίστιν [3] ἅμα καὶ φόβον τοῦ ἀνδρός. ἡττωμένῳ μὲν γὰρ πάντων εἶναι [4] βεβαιότατον ἐνόμιζεν· εἰ δὲ νικῴη, μὴ ἐπιτρέψειν παρόντα χρήσασθαι τοῖς πράγμασιν, ὡς προήρηται [5]. πολλοὶ δὲ καὶ τῶν ἐπιφανῶν ἀνδρῶν ἀπεῤῥίφησαν

*re conveniebat audire de scitis, quae a philosophis disputantur, vel agitantur de libertate;* nisi ἀπὸ φιλοσοφίας idem esse arbitreris, atque ἀπὸ φιλοσόφων.

1 Vulgo sec. Steph. τῇ τοῦ Πομπ. R. τοῦ expunxit auctoritate Juntinae, cui consentit Ald. & Crat.

2 Haec duo vocabula, quae H. Steph. adposuit, a Junt. Ald. Crat. omissa R. uncis inclusit.

3 Sic R. dedit e Br. conjectura pro vulg. δι' ἀπιστίαν.

4 Ad ἡττωμένῳ subaud. ἑαυτῷ, *sibi*, Pompejo; ad εἶναι, ἐκεῖνον, Catonem. R.

5 Sic R. dedit e Mosis Duf. conjectura pro προείρεται, quod est in Junt. Ald. Crat. vel προείρηται, quod est in Steph. reliquisque.

φησαν [1] ἐν Δυῤῥαχίῳ μετὰ Κάτωνος. γενομένης δὲ τῆς κατὰ Φάρσαλον ἥττης, οὕτως ἔστη τοῖς λογισμοῖς ὁ Κάτων, ὡς, εἰ μὲν τεθνήκοι Πομπήϊος, εἰς Ἰταλίαν τοὺς σὺν αὐτῷ περαιώσων, αὐτὸς δὲ προσωτάτω τῆς τυραννίδος ἐπὶ φυγῇ βιωσόμενος· εἰ δὲ σώζοιτο, πάντως ἐκείνῳ διαφυλάξων τὴν δύναμιν. οὕτω δὴ διαβαλὼν εἰς Κέρκυραν, ὅπου τὸ ναυτικὸν ἦν, ἐξίστατο μὲν Κικέρωνι τῆς ἀρχῆς, ὡς ὑπατικῷ στρατηγικός· οὐ δεξαμένου δὲ Κικέρωνος, ἀλλ᾽ ἀπάραντος εἰς Ἰταλίαν, ἰδὼν τὸν Πομπήϊον [2] ὑπ᾽ αὐθαδείας καὶ φρονήματος ἀκαίρου βουλόμενον κολάζειν τοὺς ἀποπλέοντας, πρώτῳ [3] δὲ μέλλοντα τῷ Κικέρωνι προσφέρειν τὰς χεῖρας, ἐνουθέτησεν ἰδίᾳ καὶ κατεπράϋνεν· ὥστε τὸν Κικέρωνα περισῶσαι σαφῶς ἐκ θανάτου, καὶ τοῖς ἄλλοις ἄδειαν παρασχεῖν.

LVI. Τεκμαιρόμενος δὲ, Πομπήϊον Μάγνον εἰς Αἴγυπτον, ἢ Λιβύην, διεκπεσεῖσθαι, καὶ σπεύδων πρὸς ἐκεῖνον, ἀνήχθη μὲν ἔχων ἅπαντας, ἔπλει δὲ, πρῶτον ἀπιέναι [4] διδοὺς καὶ ὑπολείπεσθαι τοὺς οὐ προθύμως συστρατευομένους. ἁψάμενος δὲ Λιβύης καὶ παραπλέων ἐντυγχάνει Σέξτῳ, τῷ νεωτέρῳ τῶν Πομπηΐου παίδων, ἀγγέλλοντι τὴν ἐπ᾽ Αἰγύπτου τοῦ πατρὸς [5] τελευτήν. πάντες μὲν οὖν βαρέως ἤνεγκαν, οὐδεὶς δὲ μετὰ Πομπήϊον ἠξίου, Κάτωνος παρόντος, οὐδ᾽ ἀκούειν ἄλλον ἡγεμόνα [6]. διὸ καὶ Κάτων αἰδούμενος καὶ οἰκτείρων ἄνδρας ἀγαθοὺς καὶ πίστεως δεδωκότας πεῖραν ἐπὶ ξένης ἐρήμους

καὶ

1 Duſ. mavult aut ὑπεῤῥίφησαν, aut ὑπελείφθησαν.

2 Bryano videtur vox νέον hic excidiſſe, alibi addita, cum de hoc Pompeji filio ſermo eſt.

3 Sic cum V. & Anon. dari voluit Duſ. deditque R. Vulgo πρῶτον.

4 Sic R. dedit de ſuo pro vulg. ἀπεῖναι.

5 H. Steph. monet, in Ald pro πατρὸς ſcriptum eſſe πρεσβύτερος, quod & habet Crat. — ex ignoratione ſcripturae compendiariae πρς, quae quoque in Junt. ſpectatur.

6 R. quaerit, num ἄλλου ἡγεμόνος?

καὶ ἀπόρους ἀπολιπεῖν, ὑπέστη τε τὴν ἀρχὴν, καὶ παρῆλθεν εἰς Κυρήνην. ἐδέξαντο γὰρ ἐκεῖνον, ὀλίγαις ἡμέραις ἔμπροσθεν ἀποκλείσαντες Λαβιηνόν. ἐνταῦθα πυνθανόμενος, Σκιπίωνα, τὸν Πομπηΐου πενθερὸν, ὑπὸ Ἰόβα τοῦ βασιλέως ανειλῆφθαι, καὶ Οὔαρον Ἄττιον [1], ὃς ἦν ὑπὸ Πομπηΐου Λιβύης ἀποδεδειγμένος ἡγεμὼν, εἶναι σὺν αὐτοῖς μετὰ δυνάμεως, ἐξώρμησε πεζῇ χειμῶνος ὥρᾳ, πολλοὺς μὲν ὄνους ὕδωρ κομίζοντας συναγαγὼν, πολλὴν δὲ λείαν ἐλαύνων, ἔτι δ' ἅρματα καὶ τοὺς καλουμένους Ψύλλους ἐπαγόμενος, οἳ τά τε δήγματα τῶν θηρίων ἰῶνται τοῖς στόμασιν ἕλκοντες ἰὸν, αὐτά τε τὰ θηρία κατεπᾴδοντες ἀμβλύνουσι καὶ κηλοῦσιν. ἡμέρας δὲ συνεχῶς ἑπτὰ [2] τῆς πορείας γενομένης, πρῶτος ἡγήσατο, μήτε ἵππῳ, μήτε ὑποζυγίῳ χρησάμενος. ἐδείπνει δὲ καθήμενος [3] ἀφ' ἧς ἡμέρας τὴν κατὰ Φάρσαλον ἔγνω ἧτταν· καὶ τοῦτο τῷ λοιπῷ προσέθηκε πένθει, τὸ μὴ κατακλιθῆναι, πλὴν καθεύδων. ἐν δὲ Λιβύῃ διαγαγὼν τοῦ χειμῶνος ἐξήγαγε [4] τὴν στρατιάν· ἦσαν δὲ μυρίων ὀλίγον ἀποδέοντες.

LVII. Τὰ δὲ πράγματα κακῶς εἶχε τοῖς περὶ Σκιπίωνα καὶ Οὔαρον, ἐκ διαφορᾶς καὶ στάσεως ὑποδυομένοις καὶ θεραπεύουσι τὸν Ἰόβαν, οὐκ ἀνεκτὸν ὄντα βαρύτητι φρονήματος καὶ ὄγκῳ διὰ πλοῦτον καὶ δύναμιν· ὅς γε Κάτωνι πρῶτον ἐντυγχάνειν μέλλων, μέσον ἔθηκε

1 Sic cum Anon. & Xyl. dari voluit Br. deditque R. Vulgo Ἄπιον. In Crat. Ἄππιον.

2 Corrupta haec videntur Mosi Duf. cum VII. diebus tantum iter confici nequeat, quantum inter Cyrenen & Jubae regnum intercesserit. Si Livii supplementa sequamur, LXX pro VII. reponenda, sed tum non *συνεχῶς* servandum censet. Pro seq. *πρῶτος* R. susp. *πεζὸς*, *pedes anteibat.*

3 non accumbens, mori priscorum Romanorum convenienter.

4 ex hibernis, in campum, exercendi ergo in armis. R. Pro seq. ὀλίγον V. ὀλίγῳ.

κε τὸν ἑαυτοῦ θρόνον τοῦ Σκιπίωνος καὶ τοῦ Κάτωνος. ὁ μέντοι Κάτων ὡς εἶδεν, ἄρας τὸν ἑαυτοῦ θρόνον μετέθηκεν ἐπὶ [1] θάτερα, μέσον λαμβάνων τὸν Σκιπίωνα, καίπερ ἐχθρὸν ὄντα, καί τι καὶ βιβλίον ἐκδεδωκότα βλασφημίας ἔχον τοῦ Κάτωνος [2]. εἶτα τοῦτο μὲν εἰς οὐδένα τίθενται λόγον· εἰ δὲ Φιλόστρατον ἐν Σικελίᾳ μέσον εἶχε περιπατῶν ἐπὶ τιμῇ φιλοσοφίας, ἐγκαλοῦσι. τότε δ' οὖν καὶ τὸν Ἰόβαν ἔπαυσε, μονονουχὶ σατράπας πεποιημένον ἑαυτοῦ τοὺς περὶ τὸν Σκιπίωνα, κἀκείνους διήλλαξεν. ἀξιούντων δὲ πάντων ἄρχειν αὐτὸν, καὶ πρώτων [3] τῶν περὶ Σκιπίωνα καὶ Οὔαρον ἐξισταμένων καὶ παραδιδόντων τὴν ἡγεμονίαν, οὐκ ἔφη καταλύσειν [4] τοὺς νόμους, περὶ ὧν τῷ καταλύοντι πολεμοῦσιν, οὐδ' ἑαυτὸν ἀντιστράτηγον ὄντα, παρόντος ἀνθυπάτου, προστάξειν. ἀνθύπατος γὰρ ὁ Σκιπίων ἀπεδέδεικτο, καὶ θάρσος εἶχον οἱ πολλοὶ διὰ τοὔνομα κατορθώσειν, ἄρχοντος ἐν Λιβύῃ Σκιπίωνος.

LVIII. Ἐπεὶ μέντοι τὴν ἀρχὴν ὁ Σκιπίων παραλαβὼν εὐθὺς ἐβούλετο, Ἰόβᾳ χαριζόμενος, Ἰτυκαίους ἡβηδὸν ἀποκτεῖναι, καὶ κατασκάψαι τὴν πόλιν, ὡς τὰ Καίσαρος φρονοῦσαν, οὐχ ὑπέμεινεν ὁ Κάτων, ἀλλὰ μαρτυράμενος καὶ κεκραγὼς ἐν τῷ συνεδρίῳ, καὶ θεοκλυτῶν, μόλις ἐξείλετο τῆς ὠμότητος αὐτῶν τοὺς ἀνθρώπους· καὶ τὰ μὲν αὐτῶν δεηθέντων, τὰ δὲ τοῦ Σκιπίωνος ἀξιοῦντος, ἀνεδέξατο φρουρήσειν τὴν πόλιν, ὡς μήτε ἑκοῦσα, μήτ' ἄκουσα Καίσαρι προσγένοιτο. καὶ γὰρ ἦν εἰς

1 deest haec praepos. Junt. Ald. Crat.

2 V. & Anon. κατὰ τοῦ Κάτ. quod probat Dusoul. R. quidem tuetur vulgatam, monens, aeque dici posse βλασφημία τινος, ac βλασφ. κατά τινος. At cum in Junt. detur ἔχοντα (quod & habet Ald. & Crat.) lectioni, quae commendatur, nonnihil ponderis addi censet.

3 Sic cum Anon. dari voluit Dus. deditque R. pro vulg. πρῶτον.

4 Junt. Ald. Crat. καταλύειν.

εἰς ἅπαντα τὸ χωρίον ὠφέλιμον καὶ διαρκὲς τοῖς ἔχουσιν· ἔτι δὲ μᾶλλον ὑπὸ τοῦ Κάτωνος ἐῤῥώθη. καὶ γὰρ σῖτον εἰσήγαγεν ὑπερβάλλοντα πλήθει, καὶ κατεσκεύασε τὰ τείχη, πύργους ἐπαιρόμενος, καὶ τάφρους ὀχυρὰς καὶ χαρακώματα πρὸ τῆς πόλεως βαλλόμενος. Ἰτυκαίων δὲ τοὺς μὲν ἡβῶντας ἐν τοῖς χαρακώμασιν ἔταξεν οἰκεῖν, τὰ ὅπλα παραδόντας αὐτῷ, τοὺς δ' ἄλλους ἐν τῇ πόλει συνεῖχεν, ἰσχυρῶς ἐπιμελόμενος, μὴ ἀδικεῖσθαι, μηδὲ πάσχειν κακῶς ὑπὸ τῶν Ῥωμαίων. ὅπλα δὲ πολλὰ καὶ χρήματα καὶ σῖτον ἐξέπεμψε τοῖς ἐπὶ στρατοπέδου, καὶ ὅλως εἶχε τοῦ πολέμου τὴν πόλιν ταμιεῖον. ἃ δὲ Πομπηΐῳ συνεβούλευε πρότερον, καὶ τότε Σκιπίωνι, μὴ μάχεσθαι πρὸς ἄνδρα πολεμιστὴν καὶ δεινὸν, ἀλλὰ τῷ χρόνῳ χρῆσθαι, πᾶσαν ἀκμὴν, ᾗ [1] τυραννὶς ἰσχύει, μαραίνοντι· τούτων ὁ Σκιπίων ὑπ' αὐθαδείας κατεφρόνει· καί ποτε τῷ Κάτωνι δειλίαν ὀνειδίζων ἔγραψεν [2], εἰ μὴ μόνον αὐτὸς ἀγαπᾷ καθήμενος ἐν πόλει καὶ τείχεσιν, ἀλλὰ μηδ' ἑτέρους ἐᾷ πρὸς τὸν καιρὸν εὐθαρσῶς χρῆσθαι τοῖς λογισμοῖς. πρὸς ταῦτα ὁ Κάτων ἀντέγραψεν, ὡς ἕτοιμός ἐστιν, οὓς ἤγαγεν αὐτὸς εἰς Λιβύην, ὁπλίτας καὶ ἱππεῖς παραλαβὼν, εἰς Ἰταλίαν περαιοῦν, καὶ Καίσαρα μεθιστάναι καὶ τρέπειν ἀπ' ἐκείνων πρὸς αὑτόν. ὡς δὲ καὶ τούτων ὁ Σκιπίων κατεγέλα, πάνυ [3] δῆλος ἦν καὶ ἀχθόμενος ὁ Κάτων τῇ παραχωρήσει τῆς ἀρχῆς, ὡς οὔτε τῷ πολέμῳ καλῶς τὸν Σκιπίωνα χρησόμενον, οὔτ', ἂν παραλόγως εὐτυχήσῃ, μέτριον ἐν τῷ κρατεῖν πρὸς τοὺς πολίτας ἐσόμενον. διὸ καὶ γνώμην εἶχεν ὁ Κάτων, καὶ πρὸς τοὺς συνήθεις ἔλεγεν, οὐ χρηστὰς μὲν ἐλπίδας ἔχειν ὑπὲρ τοῦ πολέμου δι' ἀπειρίαν καὶ θρα-

1 Sic ex Br. conjectura R. dedit. Vulgo ἦν.
2 interrogavit per literas. R. Pro seq. μόνον Anon. μένοι.
3 Post πάνυ deesse aliquod adjectivum, e. c. περίφοβος, περιδεὴς, περίλυπος, R. monet ex insequenti καί.

θρασύτητα τῶν ἡγεμόνων· εἰ δ' οὖν εὐτυχία τις γένοιτο, καὶ καταλυθείη Καῖσαρ, οὐ μενεῖν ἐν Ῥώμῃ, φεύξεσθαι δὲ τὴν χαλεπότητα καὶ πικρίαν τοῦ Σκιπίωνος, ἤδη τότε δεινὰς καὶ ὑπερηφάνους ποιουμένου κατὰ πολλῶν ἀπειλάς. ἀπέβη δὲ μᾶλλον [1], ἢ προσεδόκα· καὶ περὶ ἑσπέραν βαθεῖαν ἧκέ τις ἀπὸ στρατοπέδου τριταῖος, ἀγγέλλων, ὅτι, μάχης μεγάλης πρὸς Θάψῳ γενομένης, διέφθαρται πάνταπασι τὰ πράγματα, καὶ κρατεῖ Καῖσαρ τῶν στρατοπέδων· Σκιπίων δὲ καὶ Ἰόβας σὺν ὀλίγοις ἐκπεφεύγασιν, ἡ δ' ἄλλη δύναμις ἀπόλωλε.

LIX. Τούτων προσπεσόντων, ἡ μὲν πόλις, οἷον εἰκὸς ἐν νυκτὶ καὶ πολέμῳ, πρὸς τοιοῦτον ἄγγελμα μικροῦ δεῖν ἔκφρων γενομένη, μόλις ἑαυτὴν ἐντὸς τειχῶν κατεῖχεν· ὁ δὲ Κάτων προελθὼν [2], τότε μὲν ὡς ἑκάστοις ἀπήντα διαθέουσι καὶ βοῶσιν, ἐπιλαμβανόμενος καὶ παραμυθούμενος, ἀφῄρει τοῦ δέους τὸ περιθαμβὲς καὶ ταραχῶδες, ὡς οὐ τηλικούτων ἴσως γεγονότων, ἀλλ' ἐπὶ μεῖζον αἰρομένων τῷ λόγῳ· καὶ κατέστησε τὸν θόρυβον. ἅμα δ' ἡμέρᾳ τοὺς τριακοσίους, οἷς ἐχρῆτο βουλῇ, Ῥωμαίους μὲν ὄντας, ἐν δὲ Λιβύῃ πραγματευομένους ἀπ' ἐμπορίας καὶ δανεισμῶν, εἰς ἱερὸν Διὸς ἐκήρυττε συνιέναι, καὶ ὅσοι παρῆσαν ἀπὸ συγκλήτου, καὶ παῖδας αὐτῶν. ἔτι δὲ συλλεγομένων ἐκείνων, προσελθὼν ἀθορύβως καὶ μετ' εὐσταθείας, ὥσπερ οὐδενὸς καινοῦ γεγονότος, βιβλίον ἔχων ἐν ταῖς χερσὶν ἀνεγίνωσκεν. ἦν δ' ἀναγραφὴ τῶν πρὸς τὸν πόλεμον [3] ὀργάνων, ὅπλων, σίτου, τόξων,

1 Moſ. Duſ. non probare videtur μᾶλλον pro θᾶττον poſitum. R. docente, eſt ſententia: *es ward nur allzuwahr, es traf nur gar zu ſehr ein* — non ſolum, quae metuerat Cato, eveniebant, ſed plura etiam atque diriora, quam metuerat. Pro καὶ περὶ idem vult καὶ γὰρ περί. V. πρὸς pro περί.

2 Sic cum V. dari voluit Duſ. deditque R. pro vulg. προσελθὼν — *hoſpitio ſuo progreſſus in publicum.*

3 ſcil. ἐπιτηδείων, vel potius παρεσκευασμένων. R.

τόξων [1], ὁπλιτῶν. ἐπεὶ δὲ συνῆλθον, αρξάμενος ἀπὸ τῶν τριακοσίων, καὶ διελθὼν πολὺν ἔπαινον τῆς προθυμίας αὐτῶν καὶ τῆς πίϛεως, ἣν ἐπεδείξαντο καὶ χρήμασι καὶ σώμασι καὶ βϐλαῖς ὠφελιμώτατοι γενόμενοι, παρεκάλει μὴ διαλυθῆναι, ταῖς ἐλπίσιν [2] ἕκαϛον αὐτῷ φυγὴν ἰδίαν, ἢ ἀπόδρασίν τινα, ποριζόμενον. ἂν γὰρ ἐν ταὐτῷ συμμένωσι, καὶ πολεμϐντων ἧττον καταφρονήσειν Καίσαρα, καὶ φείσεσθαι μᾶλλον δεομένων. βϐλεύεσθαι δ' ἐκέλευεν [3] αὐτὰς ὑπὲρ αὑτῶν, ὀδέτερα μεμψόμενος, ἀλλ' εἰ μὲν τρέποιντο τῇ γνώμῃ πρὸς τὴν τύχην, τῆς ἀνάγκης [4] θησόμενος τὴν μεταβολήν· ἱϛαμένων δὲ πρὸς τὰ δεινὰ, καὶ δεχομένων τὸν ὑπὲρ τῆς ἐλευθερίας κίνδυνον, ὀκ ἐπαινεσόμενος μόνον, ἀλλὰ καὶ θαυμασόμενος τὴν ἀρετὴν, καὶ παρέξων ἑαυτὸν ἄρχοντα [5] καὶ συναγωνιζόμενον· ἄχρις ὃ τὴν ἐχάτην τύχην τῆς πατρίδος ἐξελέγξωσιν, ἣν ὀχὶ Ἰτύκην, ὀδ' Ἀδρϐμητον ὄσαν, ἀλλὰ Ῥώμην, πολλάκις ἐκ χαλεπωτέρων σφαλμάτων ὑπὸ μεγέθϐς ἀναφέρεσθαι [6]. πολλῶν δ' αὐτοῖς εἰς σωτηρίαν καὶ ἀσφάλειαν ὑποκειμένων, καὶ μεγίϛϐ, τϐ [7] πρὸς ἄνδρα πολεμεῖν ἐπὶ πολλὰ τοῖς καιροῖς ἀνθελκόμενον, Ἰβηρίας τε πρὸς Πομπήϊον ἀφεϛώσης,



1 R. quaerit, num τοξοτῶν? — cum alias ὁπλιτῶν delendum ſit.

2 Idem eſt, R. docente, ac διὰ τῶν ἐλπίδων. Idem αὐτῷ dedit de ſuo, pro αὐτῶν.

3 V. ἐκέλευσεν. In ſeq. Moſ. Duſ. dari voluit μεμψόμενος pro μεμψάμενος, deditque R.

4 Aut ad hanc vocem ſubaudiendum ἔργον, aut, quod R. mavult, legendum τῇ ἀνάγκῃ, ſe neceſſitati eſſe imputaturum.

5 R. monente, aut pone ἄρχοντα deeſt πρόθυμον, aut καὶ ante συναγ. delendum eſt.

6 R. monente, poſtulat ſententia: εἰδέναι ἀναφέρϐσαν — *ſe noſſe*, aut *ipſos noſſe, tantam eſſe patriae amplitudinem, ut ſuo robore ſummis e diſcriminibus emerſerit.* Pro Ἀδρϐμητον, quod praeceſſit, V. Ἀδρόμητον.

7 Hunc artic. R. de ſuo addidit.

σης, τὸν νέον, αὐτῆς τε τῆς Ῥώμης ἔπω δι' ἀήθειαν [1] παντάπασι δεδεγμένης τὸν χαλινὸν, ἀλλ' ἀναξιοπαθέσης, καὶ συνεξανισαμένης πρὸς πᾶσαν μεταβολήν· ἐδὲ τὸν [2] κίνδυνον εἶναι Φευκτέον, ἀλλ' ἔχειν διδάσκαλον τὸν πολέμιον, ἀφειδῦντα τῆς ψυχῆς ἐπὶ ταῖς μεγίσαις [3] ἀδικίαις, ἐχ ὥσπερ ἑαυτοῖς, εἰς τὸν εὐτυχέσατον βίον κατορθῦσιν, ἢ πταίεσιν εἰς τὸν εὐκλεέσατον θάνατον, τὴν ἀδηλότητα τῦ πολέμε τελευτᾷν. ἐ μὴν ἀλλ' ἐκείνες γε δεῖν ἔΦη βελεύεσθαι καθ' ἑαυτὲς, συνευχόμενος [4] ἀντὶ τῆς πρόσθεν ἀρετῆς καὶ προθυμίας αὐτοῖς τὰ δόξαντα συνενεγκεῖν.

LX. Τοιαῦτα τῦ Κάτωνος εἰπόντος, ἦσαν μὲν οἱ καὶ τοῖς λόγοις ἀγόμενοι πρὸς τὸ θαῤῥεῖν, οἱ δὲ πλεῖσοι πρὸς τὸ ἀδεὲς καὶ γενναῖον αὐτῦ καὶ Φιλάνθρωπον ὀλίγε δεῖν ἐκλαθόμενοι τῶν παρόντων, ὡς μόνον ὄντα τῦτον ἀήττητον ἡγεμόνα, καὶ πάσης κρείττονα τύχης, ἐδέοντο χρῆσθαι καὶ σώμασιν αὐτῶν καὶ χρήμασι καὶ ὅπλοις, ὅπως αὐτὸς ἔγνωκε· κρεῖττον γὰρ, ἐκείνῳ πειθομένες ἀποθανεῖν, ἢ σώζεσθαι προδόντας ἀρετὴν τοσαύτην. εἰπόν-

1 V. ἀλήθειαν.

2 R. fufp. ἐδένα κίνδυνον, nullum difcrimen ipfis effe defugiendum.

3 V. ταῖς μεγάλαις. In feq. Br. fufp. excidiffe ᾧ ante ἐχ. R. autem videtur locus bene habere, idemque valere ac fi dixiffet ἐπὶ ταῖς μεγ. ἀδικ. *quo atrociffima patret fcelera*, ἐκ ἐπὶ τῷ τελευτᾷν αὐτῷ τὴν ἀδηλότητα τῦ πολέμε, ἢ εἰς εὐτυχέσατον βίον κατορθώσαντι, ἢ εἰς εὐκλεέσατον θάνατον πταίσαντι, ὥσπερ ἡμῖν τελευτᾷ, *non quo incerta belli fortuna ipfi exeat five in fortunatiffimam vitam, ubi vicerit, five in mortem gloriofiffimam, ubi fuccubuerit, quemadmodum haec fpes nobis eft propofita.*

4 Sic dedit R. de fuo pro vulg. συνερχομένες, ut cohaereat cum ἔΦη — *Cato dicebat, hanc orationem hoc voto profequens, ut fidei, virtutis atque voluntatis ab ipfis olim fibi declaratae praemium hoc a Diis referant, ut, quae ipfis deliberantibus videantur atque decernantur, ea ipfis quoque expediant.*

πόντος δέ τινος, ὡς χρὴ ψηφίσαθαι δέλοις ἐλευθερίαν, καὶ τῶν πλείςων συνεπαινεσάντων, ἐκ ἔφη τῦτο ποιήσειν ὁ Κάτων· ἐ γὰρ εἶναι νόμιμον, ἐδὲ δίκαιον· αὐτῶν μέντοι τῶν δεσποτῶν ἀφιέντων, τὲς ἐν ἡλικίᾳ δέχεθαι. γενομένων δὲ πολλῶν ὑποχέσεων, κελεύσας ἀπογράφεθαι τὸν βελόμενον, ἀπηλλάττετο, καὶ μετὰ μικρὸν ἧκεν αὐτῷ γράμματα παρὰ Ἰόβα καὶ Σκιπίωνος· Ἰόβα μὲν, ἐν ὄρει κεκρυμμένε μετ᾽ ὀλίγων [1], ἐρωτῶντος, ὅ τι πράττειν δέδοκται τῷ Κάτωνι· καὶ γὰρ περιμένειν Ἰτύκην ἐκλιπόντα, καὶ πολιορκεμένῳ μετὰ ςρατιᾶς ἐπιβοηθήσειν· Σκιπίωνος δὲ πρὸς ἄκρᾳ τινὶ ναυλοχῦντος ἐ πόῤῥω τῆς Ἰτύκης, ἐπὶ τοῖς αὐτοῖς καραδοκῦντος.

LXI. Ἔδοξεν ἦν τῷ Κάτωνι τὲς γραμματοφόρες ἐπιχεῖν, ἄχρις ἐ βεβαιώσῃ τὰ παρὰ τῶν τριακοσίων. οἱ μὲν γὰρ ἀπὸ βελῆς ἦσαν πρόθυμοι, καὶ τὲς οἰκέτας εὐθὺς ἀφιέντες ἐλευθέρες ὥπλιζον. τῶν δὲ τριακοσίων, ἅτε δὴ πλωτικῶν καὶ δανειςικῶν ἀνθρώπων, καὶ τὸ πλεῖςον ἐν τοῖς οἰκέταις τῆς ἐσίας ἐχόντων, ἐ πολὺν οἱ Κάτωνος λόγοι χρόνον ἐμμείναντες ἐξεῤῥύησαν. καθάπερ [2] τῶν σωμάτων τὰ μὲν ἀναδέχεται ῥᾳδίως τὴν θερμότητα, καὶ πάλιν μεθίησι [3], τῦ πυρὸς ἀπαχθέντος ψυχόμενα· παραπλησίως ἐκείνες ὁ μὲν Κάτων ὁρώμενος ἀνεζωπύρει καὶ διεθέρμαινεν, αὐτὲς δ᾽ ἑαυτοῖς λόγον διδόντας ὁ Καίσαρος φόβος ἐξέκρεσε τῆς πρὸς Κάτωνα καὶ τὸ καλὸν αἰδῦς. Τίνες γὰρ, ἔφασαν, ὄντες, καὶ τίνι τὸ προστασσόμενον ποιεῖν ἀπαξιῦμεν; ἐχὶ Καῖσαρ μὲν ἦτος, εἰς ὃν ἡ Ῥωμαίων ἅπασα περι-



1 Hae duae voces μετ᾽ ὀλ. desunt Junt. Ald. Crat. quas ex vet. cod. additas fuisse H. Steph. adnotat.

2 H. Steph. mavult καὶ καθάπερ. Mos. Dus. autem καθάπερ γάρ.

3 Junt. Ald. Crat. μεθίςησι. Pro seq. ψυχόμενα V. e Junt. ψυχέμενα.

περιέσηκεν ἰχύς; ἡμῶν δὲ Σκιπίων ὀδεὶς, ὀδὲ Πομπήϊος, ὀδὲ Κάτων. ἀλλ᾽ ἐν οἷς καιροῖς πάντες ἄνθρωποι ταπεινότερα τῶν προσηκόντων διὰ φόβον φρονᾶσιν, ἐν τότοις ὑμεῖς ὑπερμαχᾶντες τῆς Ῥωμαίων ἐλευθερίας, πολεμᾶμεν [1] ἐξ Ἰτύκης, ᾧ Κάτων μετὰ Πομπηΐα Μάγνα φεύγων ὑφεῖτο τῆς Ἰταλίας· καὶ δόλας ἐλευθερᾶμεν κατὰ Καίσαρος, οἷς αὐτοῖς ἐλευθερίας, ὅσον ἂν ἐκεῖνος θέλῃ, μέτεσιν; ἀλλ᾽ ἔτι νῦν, ὦ μοχθηροὶ, γνόντες ἑαυτὸς, παραιτώμεθα τὸν κρατᾶντα, καὶ πέμψωμεν τὸς δεησομένας. Ταῦτα οἱ μετριώτατοι τῶν τριακοσίων παρῄνεν. οἱ δὲ πλεῖσοι τοῖς συγκλητικοῖς ἐπεβόλευον, ὡς, εἰ τότος συλλάβοιεν, ἱλασόμενοι τὴν πρὸς αὐτὸς ὀργὴν τᾶ Καίσαρος.

LXII. Ὁ δὲ Κάτων, ὑπονοῶν τὴν μεταβολὴν, ὀκ ἤλεγχε. τῷ μέντοι Σκιπίωνι καὶ τῷ Ἰόβᾳ γράψας ἀπέχεσθαι τῆς Ἰτύκης, ἀπισίᾳ τῶν τριακοσίων, ἐξέπεμψε τὸς γραμματοφόρας. τῶν δ᾽ ἱππέων οἱ διαφυγόντες ἀπὸ τῆς μάχης, ἀριθμὸς ὀκ εὐκαταφρόνητος, προσελάσαντες τῇ Ἰτύκῃ, πέμπασι πρὸς τὸν Κάτωνα τρεῖς ἄνδρας, ὀ τὴν αὐτὴν γνώμην ἀπὸ πάντων ἔχοντας [2]. οἱ μὲν γὰρ ἀπιέναι πρὸς Ἰόβαν, οἱ δὲ τῷ Κάτωνι προσχωρεῖν ὥρμηντο· τὸς δὲ καὶ δέος εἶχεν εἰς Ἰτύκην παριέναι. ταῦτα ὁ Κάτων ἀκόσας, τοῖς μὲν τριακοσίοις [3] ἐκέλευσε προσέχειν Μάρκον Ῥόβριον, ἀτρέμα τὰς ἀπογραφὰς τῶν ἐλευθερόντων δεχόμενον, καὶ μὴ προσβιαζόμενον· αὐτὸς δὲ τὸς συγκλητικὸς ἀναλαβὼν, προῆλθεν

1 R. docente, pro πολεμήσομεν, uti & postea ἐλευθερᾶμεν pro ἐλευθερώσομεν usurpavit Plut.

2 *qui tamen eadem] ab omnibus mandata non perferebant.* Non indicat Plutarchus, his tribus diversas fuisse sententias, suam cuique, sed equitum nomine ad Catonem mandata pertulisse non eadem, sed diversa, ut alia parte equitum haec, alia istaec mandante. R.

3 V. τοῖς μὲν τριακοσίοις.

θεν ἔξω τῆς Ἰτύκης, καὶ τοῖς ἱππάρχοις ἐνέτυχε, δεόμενος μὴ προέσθαι Ῥωμαίων ἄνδρας ἀπὸ βελῆς τοσέτες, μηδ' Ἰόβαν ἑλέσθαι ςρατηγὸν ἀντὶ Κάτωνος· ἀλλὰ σώζεσθαι κοινῇ καὶ σώζειν, παρελθόντας εἰς πόλιν ἔτε κατάκρας ἁλώσιμον, εἰς ἔτη τε [1] πάμπολλα σῖτον καὶ τὴν ἄλλην παρασκευὴν ἔχεσαν. ταῦτα δὲ καὶ τῶν συγκλητικῶν δεομένων καὶ δακρυόντων, οἱ μὲν ἵππαρχοι διελέγοντο [2] τοῖς ἱππεῦσιν· ὁ δὲ Κάτων ἐπὶ χώματός τινος καθίσας μετὰ τῶν συγκλητικῶν, ἀνέμεινε τὰς ἀποκρίσεις.

LXIII. Ἐν δὲ τέτῳ παρῆν ὁ Ῥέβριος, σὺν ὀργῇ κατηγορῶν τῶν τριακοσίων ἀκοσμίαν πολλὴν καὶ θόρυβον, ὡς ἀφιςαμένων καὶ διαταραττόντων τὴν πόλιν. ἐφ' οἷς οἱ μὲν ἄλλοι παντάπασιν ἀπογνόντες ἑαυτῶν εἰς δάκρυα καὶ ὀδυρμὲς ἐξέπεσον· ὁ δὲ Κάτων ἐκείνες τε θαρσύνειν ἐπειρᾶτο, καὶ πρὸς τὲς τριακοσίες ἔπεμψεν, ἀναμεῖναι κελεύων. οἱ δ' ἀπὸ τῶν ἱππέων ἧκον, ὁ μέτρια προστάττοντες. ἔφασαν γὰρ, ὅτ' Ἰόβα δεῖσθαι μισθοδοτῦντος [3], ἔτε Καίσαρα φοβεῖσθαι, Κάτωνος αὐτῶν ἄρχοντος. Ἰτυκαίοις δὲ, Φοίνιξιν ἀνθρώποις εὐμεταβόλοις, συγκαθείργνυσθαι, δεινὸν εἶναι. καὶ γὰρ εἰ νῦν ἀτρεμῦσιν, ὅταν Καῖσαρ ἐπίῃ, συνεπιθήσεσθαι καὶ προδώσειν. εἴπερ ὖν δεῖταί τις [4] αὐτῶν συμπολεμύντων καὶ συμπαρόντων, ἐκβαλὼν ἅπαντας Ἰτυκαίες, ἢ διαφθείρας, ὕτως εἰς πόλιν καθαρὰν πολεμίων καὶ βαρβάρων



1 τε R. dedit de ſuo pro vulg. δὲ, quod a Junt. prorſus abeſt.

2 Sic Dacer. ex Anon. reponi voluit, deditque R. pro vulg. διηλέγχοντο.

3 Sic R. cum V. dedit, Br. probante, pro vulg. μισθολογῦντος. Junt. Ald. Crat. μισθολογῦντες.

4 Moſ. Duſ. hoc τις abſurdum cenſet, & mavult τι. R. judice bene habet — *ſi cujus interſit, ſe cum ipſo caſtra bellicamque operam conſociare, is vocato in oppidum*, i. e. *ab eo ſe velle induci in oppidum liberum.*

ρων καλείτω. Ταῦτα ὁ Κάτων ἄγρια μὲν δεινῶς ἡγεῖτο καὶ βάρβαρα, πρᾴως δ' ἀπεκρίνατο, βουλεύσεσθαι μετὰ τῶν τριακοσίων. καὶ παρελθὼν αὖθις εἰς τὴν πόλιν ἐνετύγχανε τοῖς ἀνδράσιν, οὐκ ἔτι σκήψεις [1], οὐδὲ παραγωγὰς πλασσομένοις ὑπ' αἰδοῦς πρὸς αὐτὸν, ἄντικρυς δὲ χαλεπαίνουσιν, εἴ τις αὐτοὺς βιάζοιτο πολεμεῖν Καίσαρι, μὴ δυναμένους, μηδὲ βουλομένους. ἔνιοι δὲ καὶ παρεφθέγγοντο περὶ τῶν συγκλητικῶν, ὡς καθεκτέον [2] ἐν τῇ πόλει, Καίσαρος παρόντος. ἀλλὰ τοῦτο μὲν, ὡς οὐκ ἀκούσας, ὁ Κάτων παρῆκε· καὶ γὰρ ἦν ὑποκωφότερος· ὡς δέ τις αὐτῷ [3] προσελθὼν ἀπήγγειλε, τοὺς μὲν ἱππεῖς ἀπιέναι, φοβηθεὶς, μὴ παντάπασιν οἱ τριακόσιοι κατὰ τῶν συγκλητικῶν ἀπονοηθῶσιν, ἐβάδιζε μετὰ τῶν φίλων ἐξαναστάς· καὶ θεασάμενος ἤδη προκεχωρηκότας, ἵππον λαβὼν, ἐδίωκε πρὸς αὐτούς. οἱ δ' ἰδόντες ἄσμενοι προσελαύνοντα, καὶ ἐδέξαντο καὶ παρεκάλουν σώζεσθαι μετ' αὐτῶν [4]. τότε καὶ δακρῦσαι τὸν Κάτωνα φασὶν, ὑπὲρ τῶν συγκλητικῶν δεόμενον καὶ προτείνοντα τὰς χεῖρας, ἐνίων δὲ καὶ τοὺς ἵππους ἀναστρέφοντα, καὶ τῶν ὅπλων ἀντιλαμβανόμενον, μέχρις οὗ κατειργάσατο τὴν γοῦν ἡμέραν ἐκείνην ἐπιμείναντας ἀσφαλῆ τοῖς ἀνδράσι φυγὴν [5] παρασχεῖν.

LXIV. Ὡς οὖν ἔχων αὐτοὺς ἀφίκετο, καὶ τοὺς μὲν ἐπὶ τὰς πύλας κατέστησε, τοῖς δὲ τὴν ἄκραν φυλάττειν παρ-

1 R. dedit ita de suo pro vulg. οὐκ ἐπισκήψεις — *non jam amplius commentitios, a se confictos praetextus proferentibus.* Vocabulum ἐπίσκηψις, *injunctio*, *mandatum*, huic loco non convenit.

2 scil. αὐτούς. Pro ἐν τῇ πόλει R. susp. ἐν τῇ Λιβύῃ, *Caesare in Lybia agente senatorios illos retinendos*, aut καθειρκτέον, custodiae mandandos esse. Pro παρόντος V. e Junt. ὄντος.

3 Junt. αὐτῶν.

4 Legi etiam πρὸς αὐτὸν, testatur H. Steph. Sic & V.

5 Exemplaria quaedam φρουρὰν habere, observat H. Steph.

παρέδωκεν, ἔδεισαν οἱ τριακόσιοι, μὴ δίκην δῶσι τῆς μεταβολῆς· καὶ πρὸς τὸν Κάτωνα πέμποντες, ἐδέοντο πάντως ἀφικέσθαι πρὸς αὐτούς [1]. οἱ δὲ συγκλητικοὶ περιχυθέντες οὐκ εἴων, οὐδ' ἔφασαν προήσεσθαι τὸν κηδεμόνα καὶ σωτῆρα τοῖς ἀπίστοις καὶ προδόταις. σαφεστάτη γὰρ, ὡς ἔοικεν, αἴσθησις τότε παρέστη καὶ πόθος καὶ θαῦμα τῆς τοῦ Κάτωνος [2] ἀρετῆς πᾶσιν ὁμαλῶς τοῖς ἐν τῇ Ἰτύκῃ γενομένοις, ὡς οὐδὲν ἄρα κίβδηλον, οὔτ' ἀπατηλὸν, ἐμέμικτο [3] τοῖς πραττομένοις ὑπ' αὐτοῦ. πάλαι δ' ἄνθρωπος ἑαυτὸν ἐγνωκὼς ἀνελεῖν, δεινοὺς πόνους ἐπόνει, καὶ φροντίδας καὶ ὠδῖνας εἶχεν ὑπὲρ ἄλλων, ὅπως εἰς ἀσφαλὲς καταστήσας ἅπαντας ἀπαλλάξαιτο τοῦ ζῆν. οὐ γὰρ ἦν ἄδηλος ἡ πρὸς τὸν θάνατον αὐτοῦ φορὰ, καίπερ οὐ πάσχοντος [4]. ὑπήκουσεν οὖν τότε τοῖς τριακοσίοις,



1 *ut quoquo modo ad se veniret*, h. e. R. explicante, quidquid dehortarentur amici ejus, ut nihilominus tamen ad se veniret, neque se pateretur ullo modo, ullis precibus, minis, terroribus averti, quo minus ad se veniret.

2 Articulum τοῦ, quem omnes exhibent edd. Bryanea priores, restituere haud dubitavi.

3 R. mavult ἐνεμέμικτο.

4 Corrupta haec esse patet. Pro οὐ γὰρ ἦν ἄδ. in Ald. Crat. Steph. Frft. καὶ γὰρ ἦν ἄδ. Hinc H. Steph. observat, in vet. cod. esse οὐ γὰρ ἦν, quod & e V. enotatur, & est in Junt. — Kind quoque pro ἄδ. ejusd. lect. susp. εὔδηλος, aut οὐ γὰρ ἦν ἄδ. Pro καίπερ οὐ πάσχ. Junt. καὶ περιπάσχοντος. Anon. φάσχοντος f. φάσκοντος. Haec lectio posterior Bryano placet, & sic vertunt cum Cruser. Nostrates. — Xyl. ita enim latebat ejus moriendi cupiditas, ac si nihil tale cogitaret — adjuncta adnotatione: „ nisi forte exponere libeat: quanquam id ipse non pateretur. Sed ego minime hoc, quod statuerat, prae se tulisse Catonem judico.“ Lapus: erat occulta ejus deliberatio ad mortem, quamquam pro ceteris affligeretur. R. quaerit, num καὶ περίπυστος, an καὶ ἀπροφάσιστος? Locus sane, qui plures conjecturas facile admittit. Quaenam probabilior sit, quis divinet! An forte sic supplenda erunt, ut saltim sensus aliquis planior prodeat — ἀμετάπειστος, ὡς οὐδὲν δεινὸν πάσχοντος — ejus

cupi-

σίοις, παραμυθησάμενος τὲς συγκλητικὲς· καὶ μόνος ἧκε πρὸς αὐτὲς, χάριν ἔχειν ὁμολογὲντας, καὶ δεομένες τὰ μὲν ἄλλα χρῆσθαι καὶ πιςεύειν· εἰ δὲ Κάτωνες ἐκ εἰσὶν, ἐδὲ τὸ Κάτωνος φρόνημα χωρὲσιν, οἰκτείρειν τὴν ἀσθένειαν αὐτῶν. ἐγνωκότες δ' ἐν Καίσαρος δεῖσθαι καὶ πέμπειν πρὸς αὐτὸν, ὑπὲρ ἐκείνε μάλιςα καὶ πρώτε ποιήσασθαι δέησιν· εἰ δὲ μὴ πείθοιεν, ἐδ' αὐτοῖς διδομένην δέξασθαι τὴν [1] χάριν, ἀλλ' ἄχρις ἂν ἐμπνέωσι, πολεμήσειν ὑπὲρ ἐκείνε. Πρὸς ταῦτα ὁ Κάτων ἐπαινέσας τὴν εὔνοιαν, ἔφη, χρῆναι τῆς αὐτῶν σωτηρίας ἕνεκα πέμπειν κατὰ τάχος, ὑπὲρ αὐτῦ δὲ μὴ δεῖσθαι· κεκρατημένων γὰρ εἶναι δέησιν, καὶ ἀδικέντων παραίτησιν. αὐτὸς δ' ἐ μόνον ἀήττητος γεγονέναι παρὰ πάντα τὸν βίον, ἀλλὰ καὶ νικᾶν, ἐφ' ὅσον ἐβέλετο, καὶ κρατεῖν Καίσαρος τοῖς καλοῖς [2] καὶ δικαίοις. ἐκεῖνον δ' εἶναι τὸν ἑαλωκότα καὶ νενικημένον· ἃ γὰρ ἠρνεῖτο πράττων κατὰ τῆς πατρίδος πάλαι, νῦν ἐξηλέγχθαι καὶ πεφωρᾶσθαι.

LXV. Ταῦτα διαλεχθεὶς τοῖς τριακοσίοις ἀπηλλάττετο· καὶ πυθόμενος, Καίσαρα πᾶσαν ἄγοντα τὴν ςρατιὰν ἤδη καθ' ὁδὸν εἶναι· Παπαὶ, εἶπεν, ὡς ἐπ' ἄνδρας ἡμᾶς ἐκεῖνος. καὶ τραπόμενος πρὸς τὲς συγκλητικὲς, ἐκέλευε μὴ μέλλειν, ἀλλ', ἕως παραμένεσιν οἱ ἱππεῖς, σώζεσθαι. καὶ τὰς μὲν ἄλλας ἀπέκλεισε θύρας, μιᾷ δὲ τῇ πρὸς θάλασσαν φερέσῃ, τά τε πλοῖα τοῖς ὑφ' ἑαυτὸν διένειμε, καὶ τάξεως ἐπεμελεῖτο, παύων τὰς ἀδικίας, καὶ διαλύων τὲς θορύβες, καὶ τὲς ἀπόρως ἔχοντας ἐφοδιάζων. ἐπεὶ δὲ Μάρκος Ὀκτάβιος, ἄγων δύο

cupiditas, non revocanda, quaſi nihil mali in morte perpetientis? an καίπερ ἑαυτὸν περὶ τε σώζειν τες ἄλλες ἐπιμελέςατον παρεχόντος? an quoque καίπερ τότε ἀφορμὴν τε ὑποπτεύειν τε τοιέτο ἐ παραχόντος? — At lubens cedo meliori judicio.

1 abeſt hic artic. a Junt. Ald. Crat.

2 In quibusd. exempl. poſt has voces ſcriptum eſſe τὸν βίον, H. Steph. teſtatur.

δύο τάγματα, πλησίον κατεστρατοπέδευσε, καὶ πέμπων ἠξίυ τὸν Κάτωνα περὶ ἀρχῆς διορίσαϑαι πρὸς αὐτὸν, ἐκείνῳ μὲν ὐϑὲν ἀπεκρίνατο, πρὸς δὲ τὺς Φίλυς εἶπεν· Εἶτα ϑαυμάζομεν, ὅπως ἀπόλωλε τὰ πράγματα, τὴν Φιλαρχίαν ὁρῶντες ἡμῖν ἐν αὐτῷ τῷ ὀλέϑρῳ βεβηκόσι παραμένυσαν; Ἐν τύτῳ δὲ τὺς ἱππεῖς ακύσας ἀπιόντας ἤδη Φέρειν καὶ ἄγειν τὰ τῶν Ἰτυκαίων, ὥσπερ λάφυρα, δρόμῳ συνέτεινε πρὸς αὐτὺς, καὶ τοῖς πρώτοις ἐντυχὼν ἀφῃρεῖτο· τῶν δ' ἄλλων ἕκαστος ἔφϑανε ῥίπτων καὶ κατατιϑέμενος, πάντες δ' ὑπ' αἰσχύνης σιωπῇ, καὶ κάτω βλέποντες ἀπῄεσαν. ὁ δὲ Κάτων, εἰς τὴν πόλιν τὺς Ἰτυκαίυς συναγαγὼν, ἐδεῖτο περὶ τῶν τριακοσίων, μὴ παροξῦναι Καίσαρα κατ' αὐτῶν, ἀλλὰ καὶ κοινῇ τὴν σωτηρίαν πράττειν ἀλλήλοις. εἶτα πάλιν τραπόμενος πρὸς τὴν ϑάλατταν, ἐπεσκόπει τὺς ἐμβαίνοντας, καὶ τῶν Φίλων καὶ ξένων ὅσυς ἔπεισεν, ἠσπάζετο καὶ πρύπεμπε. τὸν δ' υἱὸν ὐκ ἔπεισε λαβεῖν πλοῖον, ὐδ' ᾤετο δεῖν ἀποτρέπειν περιεχόμενον τῦ πατρός. ἦν δέ τις Στατύλλιος, ἀνὴρ τῇ μὲν ἡλικίᾳ νέος, ἰσχυρὸς δὲ τῇ γνώμῃ βυλόμενος εἶναι, καὶ τῦ Κάτωνος ἀπομιμεῖσϑαι τὴν ἀπάϑειαν. τῦτον ἠξίυ πλεῖν· καὶ γὰρ ἦν καταφανὴς μισοκαῖσαρ· ὡς δ' ὐκ ἤϑελεν, Ἀπολλωνίδῃ τῷ Στωϊκῷ καὶ Δημητρίῳ τῷ Περιπατητικῷ προσβλέψας ὁ Κάτων· Ὑμέτερον, εἶπεν, ἔργον, οἰδῦντα τῦτον μαλάξαι, καὶ καταρτίσαι πρὸς τὸ συμφέρον. αὐτὸς δὲ τὺς λοιπὺς συνεκπέμπων, καὶ χρηματίζων τοῖς δεομένοις, τήν τε νύκτα διέτριβε περὶ ταῦτα, καὶ τῆς ἐπιύσης ἡμέρας τὸ πλεῖστον μέρος.

LXVI. Ἐπεὶ δὲ Λεύκιος Καῖσαρ, οἰκεῖος μὲν ὢν Καίσαρος ἐκείνυ, μέλλων δὲ πρεσβεύειν ὑπὲρ τῶν τριακοσίων, παρεκάλει τὸν Κάτωνα λόγον αὐτῷ συνυποϑέσϑαι πιϑανὸν, ᾧ χρήσεται περὶ ἐκείνων· Ὑπὲρ σῦ μὲν γὰρ αὐτῦ καὶ χειρῶν ἐμοὶ καλὸν ἅψασϑαι, καὶ γόνασι προσπεσεῖν Καίσαρος. ὐκ εἴα ταῦτα ποιεῖν ὁ Κάτων αὐτόν.

Ἐμοὶ

Ἐμοὶ γὰρ, εἶπεν, εἰ σώζεσθαι χάριτι Καίσαρος ἐβουλόμην, αὐτῷ βαδιστέον ἦν πρὸς ἐκεῖνον μόνον. οὐ βούλομαι δὲ τῷ τυράννῳ χάριν ἔχειν ὑπὲρ ὧν παρανομεῖ. παρανομεῖ δὲ, σώζων ὡς κύριος ὧν αὐτῷ δεσπόζειν οὐδὲν προσῆκεν. ὅπως μέντοι παραιτήσῃ τοὺς τριακοσίους, κοινῇ σκοπῶμεν, εἰ βούλει. γενόμενος δὲ πρὸς τούτῳ μετὰ τοῦ Λευκίου, τὸν υἱὸν αὐτῷ συνέστησε καὶ τοὺς ἑταίρους ἀπιόντι· καὶ προπέμψας ἐκεῖνον καὶ δεξιωσάμενος, ἐπανῆλθεν οἴκαδε, καὶ τὸν υἱὸν καὶ τοὺς Φίλους συναγαγὼν, ἄλλα τε πολλὰ διελέχθη, καὶ πολιτείας ἀπεῖπεν ἅψασθαι τῷ μειρακίῳ. τὸ μὲν γὰρ ἀξίως Κάτωνος, οὐκ ἔτι τὰ πράγματα δέξασθαι· τὸ δ' ἄλλως, αἰσχρὸν εἶναι. καὶ περὶ ἑσπέραν ἤδη τρέπεται πρὸς τὸ βαλανεῖον. ἐν δὲ τῷ λοῦσθαι τοῦ Στατυλλίου μνησθεὶς, καὶ μέγα Φθεγξάμενος· Ἐξεπέμψας, εἶπεν, ὦ Ἀπολλωνίδη, τὸν Στατύλλιον ἀπὸ τοῦ Φρονήματος ἐκείνου καθελών; καὶ πέπλευκεν ὁ ἀνὴρ, μηδ' ἀσπασάμενος ἡμᾶς; Πόθεν; εἶπεν ὁ Ἀπολλωνίδης, καίτοι πολλὰ διελέχθημεν, ἀλλ' ὑψηλός ἐστι καὶ ἄτρεπτος, καὶ μένειν Φησὶ καὶ πράττειν, ὅ τι ἂν σὺ πράττῃς. Πρὸς ταῦτα Φασὶ τὸν Κάτωνα μειδιάσαι, καὶ εἰπεῖν· Ἀλλὰ τοῦτο μὲν αὐτίκα Φανεῖται.

LXVII. Λουσάμενος δὲ μετὰ πολλῶν ἐδείπνει καθήμενος, ὥσπερ εἰώθει μετὰ τὴν μάχην. οὐ γὰρ κατεκλίθη, πλὴν καθεύδων. συνεδείπνουν δὲ πάντες οἱ ἑταῖροι, καὶ τῶν Ἰτυκαίων οἱ ἄρχοντες. καὶ μετὰ τὸ δεῖπνον ὁ πότος ἔσχε μοῦσαν πολλὴν καὶ χάριν, ἄλλων ἐπ' ἄλλοις λόγων Φιλοσόφων κυκλούντων. ἄχρις οὗ περιῆλθεν ἡ ζήτησις εἰς ταῦτα δὴ τὰ παράδοξα καλούμενα τῶν Στωϊκῶν, τὸ μόνον εἶναι τὸν ἀγαθὸν ἐλεύθερον· δούλους δὲ τοὺς Φαύλους ἅπαντας. ἐνταῦθα δὴ, ὡς εἰκὸς, ἀντιβάντος τοῦ περιπατητικοῦ, σφοδρὸς ἐμπεσὼν ὁ Κάτων, καὶ τόνον προσθεὶς καὶ τραχύτητα Φωνῆς, ἀπέτεινε πορρωτάτω τὸν λόγον, ἀγῶνι θαυμαστῷ χρησάμενος·

νος· ὥςε μηδένα λαθεῖν, ὅτι τῷ βίῳ πέρας ἔγνωκεν ἐπιθεὶς ἀπαλλάττεσθαι τῶν παρόντων. διὸ καὶ μετὰ τὸν λόγον σιωπῆς καὶ κατηφείας γενομένης ἐν πᾶσιν [1], ἀναλαμβάνων αὐτὲς καὶ ἀπάγων τῆς ὑποψίας ὁ Κάτων, αὖθις ὑπὲρ [2] τῶν παρόντων ἐνέβαλλεν ἐρωτήματα καὶ φροντίδας, ὡς δεδιὼς μὲν ὑπὲρ τῶν πλεόντων, δεδιὼς δ' ὑπὲρ τῶν ὁδευόντων ἐρημίαν ἄνυδρον καὶ βάρβαρον.

LXVIII. Οὕτω δὲ διαλύσας τὸ σύνδειπνον, καὶ περιπατήσας μετὰ τῶν φίλων τὸν συνήθη μετὰ τὸ δεῖπνον περίπατον, καὶ τοῖς ἄρχεσι τῶν φυλάκων, ἃ καιρὸς ἦν, προστάξας· ἀπιὼν εἰς τὸ δωμάτιον ἤδη [3], τόν τε παῖδα καὶ τῶν φίλων ἕκαςον, μᾶλλον, ἢ πρότερον εἰώθει, προσαγαγόμενος καὶ φιλοφρονηθεὶς, πάλιν ὑποψίαν παρέσχε τȣ̃ μέλλοντος. εἰσελθὼν δὲ καὶ κατακλιθεὶς, ἔλαβεν εἰς χεῖρας τῶν Πλάτωνος διαλόγων τὸν περὶ ψυχῆς· καὶ διελθὼν τȣ̃ βιβλίȣ τὸ πλεῖςον, καὶ ἀναβλέψας ὑπὲρ κεφαλῆς, ὡς ȣ̓κ εἶδε κρεμάμενον τὸ ξίφος, (ὑφῄρητο γὰρ ὁ παῖς, ἔτι δειπνȣ̃ντος αὐτȣ̃) καλέσας οἰκέτην ἠρώτησεν, ὅςις λάβοι τὸ ἐγχειρίδιον. σιωπῶντος δ' ἐκείνȣ, πάλιν ἦν πρὸς τὸ βιβλίον· καὶ μικρὸν διαλιπὼν, ὥσπερ ȣ̓ σπεύδων, ȣ̓δ' ἐπειγόμενος, ἄλλως δὲ τὸ ξίφος ἐπιζητῶν, ἐκέλευσε κομίσαι. διατριβῆς δὲ γινομένης, καὶ μηδενὸς κομίζοντος, ἐξαναγνȣ̀ς τὸ βιβλίον, αὖθις ἐκάλει καθ' ἕνα τῶν οἰκετῶν, καὶ μᾶλλον ἐνέτεινε τὴν φωνὴν, το ξίφος ἀπαιτῶν· ἑνὸς δὲ καὶ πὺξ τὸ ςόμα πατάξας, ᾕμαξε τὴν αὐτȣ̃ χεῖρα, χαλεπαίνων, καὶ βοῶν ἤδη μέγα, παραδίδοσθαι τῷ πολεμίῳ γυμνὸς ὑπὸ τȣ̃ παιδὸς αὐτȣ̃ καὶ τῶν οἰκετῶν. ἄχρις

1 Comma, quod post h. v. monente Br. R. dedit, vulgo post *γενομένης* datur.

2 Br. susp. legendum *περὶ*.

3 Comma, quod Br. post h. v. dari voluit, deditque R. vulgo post *δωμάτ.* extat.

ἄχρις οὗ κλαίων ὁ υἱὸς εἰσέδραμε μετὰ τῶν φίλων, καὶ περιπεσὼν ὠδύρετο καὶ καθικέτευεν. ὁ δὲ Κάτων ἐξανασὰς ἀνέβλεψέ τε δεινὸν, καὶ· Πότε, εἶπεν, ἐγὼ καὶ πȣ̃ λέληθα παρανοίας ἡλωκὼς; ὅτι [1] διδάσκει μὲν οὐδεὶς, οὐδὲ μεταπείθει περὶ ὧν δοκῶ κακῶς βεβουλεῦθαι, κωλύομαι δὲ χρῆσθαι τοῖς ἐμαυτοῦ λογισμοῖς, καὶ παροπλίζομαι; τί δ' οὐχὶ καὶ συνδεῖς, ὦ γενναῖε, τὸν πατέρα, καὶ τὰς χεῖρας ἀποσρέφεις, μέχρις ἂν ἐλθὼν Καῖσαρ εὕρῃ με μηδ' ἀμύνασθαι δυνάμενον; οὐ γὰρ [2] ἐπ' ἐμαυτόν γε δέομαι ξίφους, ὅπου καὶ τὸ πνεῦμα βραχὺν χρόνον ἐπισχόντα, καὶ τὴν κεφαλὴν ἅπαξ πατάξαντα πρὸς τὸν τοῖχον, ἀποθανεῖν ἔνεσι [3].

LXIX. Ταῦτα λέγοντος αὐτοῦ, τὸ μὲν μειράκιον ἐξῆλθε μετὰ κλαυθμοῦ, καὶ πάντες οἱ λοιποί· τῷ δὲ Δημητρίῳ καὶ τῷ Ἀπολλωνίδῃ μόνοις ὑπολειφθεῖσι πρᾳότερον ἤδη λαλῶν· Ἦ που καὶ ὑμῖν, ἔφη, δέδοκται βίᾳ κατέχειν ἄνδρα τοσοῦτον ἡλικίας [4] ἐν τῷ βίῳ, καὶ καθημένους αὐτοῦ σιωπῇ παραφυλάσσειν, ἢ λόγον ἥκετε κομίζοντες, ὡς οὐ δεινὸν, οὐδ' αἰσχρόν ἐσιν, ἀποροῦντα σωτηρίας ἑτέρας Κάτωνα [5] τὴν ἀπὸ τοῦ πολεμίου περιμένειν; τί οὖν οὐ λέγετε πείθοντες ἡμᾶς ταῦτα καὶ μεταδιδάσκοντες, ἵνα τὰς προτέρας δόξας ἐκείνας καὶ λόγους, οἷς συμβεβιώκαμεν, ἐκβαλόντες, καὶ γενόμενοι διὰ Καίσαρα σοφώτεροι, μείζονα χάριν εἰδῶμεν αὐτῷ; καίτοι βεβούλευμαι μὲν οὐθὲν ἔγωγε περὶ ἐμαυτοῦ· δεῖ δέ με βουλευσάμενον εἶναι κύριον οἷς ἔγνωκα χρῆσθαι. βουλεύσομαι

1 R. quaerit, num ὃν, quem?

2 R. ſuſp. οὐ γὰρ οἶδα, ὅτι ἐπ' ἐμαυτόν γε — an te fugit, me adverſus viſcera mea ferro nil indigere.

3 Anon. ἔξεσιν.

4 R. poſt h. v. deeſſe videtur προβεβηκότα, *ad iſtud aetatis provectum.* Pro καθημένους, quod ſequitur, mavult idem καθημένοις, ob praemiſſum ὑμῖν.

5 V. τὸν Κάτωνα.

σουαι δὲ τρόπον τινὰ μεθ᾽ ὑμῶν [1], βουλευόμενος μετὰ τῶν λόγων, οἷς καὶ ὑμεῖς φιλοσοφεῖτε χρῆσθαι. θαῤῥοῦντες οὖν ἄπιτε, καὶ κελεύετε τὸν υἱὸν, ἃ μὴ δύναται τὸν πατέρα πείθειν, μὴ βιάζεσθαι.

LXX. Πρὸς ταῦτα μηθὲν ἀντειπόντες οἱ περὶ τὸν Δημήτριον, ἀλλὰ δακρύσαντες ὑπεξῆλθον. εἰσπέμπεται δὲ διὰ παιδίου μικροῦ τὸ ἐγχειρίδιον· καὶ λαβὼν ἐσπάσατο [2], καὶ κατενόησεν. ὡς δ᾽ εἶδεν ἑστῶτα τὸν ἀθέρα καὶ τὴν ἀκμὴν διαμένουσαν, εἰπών· Νῦν ἐμός εἰμι, τὸ μὲν ξίφος ἔθηκε, τὸ δὲ βιβλίον αὖθις ἀνεγίνωσκε, καὶ λέγεται δὶς ὅλον διεξελθεῖν. εἶτα κοιμηθεὶς ὕπνον βαθὺν, ὥστε τοὺς ἐκτὸς αἰσθέσθαι, περὶ μέσας νύκτας ἐκάλει τῶν ἀπελευθέρων Κλεάνθην τὸν ἰατρὸν, καὶ Βοῦταν, ᾧ μάλιστα πρὸς τὰς πολιτικὰς πράξεις ἐχρῆτο. καὶ τοῦτον μὲν ἐπὶ θάλασσαν ἔπεμψεν, ὅπως σκεψάμενος, εἰ πάντες ἀνηγμένοι τυγχάνωσι, φράσει πρὸς αὐτόν· τῷ δ᾽ ἰατρῷ τὴν χεῖρα φλεγμαίνουσαν ὑπὸ τῆς πληγῆς, ἣν ἔπληξε τὸν οἰκέτην, ἐπιδῆσαι παρέσχε. καὶ τοῦτ᾽ ἐποίησεν ἡδίους ἅπαντας, ὡς ζωτικῶς ἔχοντος αὐτοῦ. μετ᾽ ὀλίγον δὲ παρῆν ὁ Βοῦτας, ἀπαγγέλλων, τοὺς μὲν ἄλλους ἀνῆχθαι, Κράσσον δὲ λείπεσθαι ὑπ᾽ ἀσχολίας τινός. ὅσον δ᾽ οὔπω καὶ τοῦτον ἐμβαίνειν· πολὺν δὲ χειμῶνα καὶ μέγα πνεῦμα κατέχειν τὴν θάλασσαν. τοῦτ᾽ ἀκούσας ὁ Κάτων ἐστέναξεν οἴκτῳ τῶν πλεόντων, καὶ πάλιν ἔπεμψε τὸν Βοῦταν ἐπὶ θάλασσαν, εἴ τις ἄρα παλινδρομήσας δέοιτο τινὸς τῶν ἀναγκαίων, ἀπαγγελοῦντα πρὸς αὐτόν. ἤδη δ᾽ ὄρνιθες

1 Xyl. dubitat de integritate hujus loci. Pro βουλευόμενος Junt. βουλευσόμενος. In seq. pro φιλοσοφεῖτε χρῆσθαι Anon. οἱ φιλόσοφοι χρῆσθε, quam lectionem Dacer. sequitur, & Schirach. Etiam e V. enotatur χρῆσθε. Mos. Dus. deleri voluit χρῆσθαι, quod ex praecedenti irrepsisse censet. R. vulgata bene videtur habere, posita pro φιλοσόφως σπουδάζετε χρῆσθαι, *quibus uti vos more philosophorum contenditis.* φιλοσοφεῖν γὰρ idem est ac μετὰ σπουδῆς καὶ ἀσκήσεως ἐκπονεῖν καὶ μελετᾶν γε.

2 Junt. ἐπαύσατο.

νιθες ᾖδον, καὶ μικρὸν αὖθις κατηνέχθη πρὸς ὕπνον. ἐπανελθόντος δὲ τοῦ Βούτα, καὶ Φράσαντος, πολλὴν [1] ἡσυχίαν περὶ τοὺς λιμένας εἶναι, προσέταξεν αὐτῷ τὴν θύραν κλεῖσαι, καὶ καθῆκεν ἑαυτὸν εἰς τὸ κλινίδιον, ὡς τὸ λοιπὸν ἔτι τῆς νυκτὸς ἀναπαυσόμενος. ἐξελθόντος δὲ τοῦ Βούτα, σπασάμενος τὸ ξίφος, ἔωσε μὲν ὑπὸ το στῆθος· τῇ δὲ χειρὶ κουφότερον διὰ τὴν Φλεγμονὴν χρησάμενος, οὐκ εὐθὺς ἀπήλλαξεν ἑαυτὸν, ἀλλὰ δυσθανατῶν ἐξέπεσε τῆς κλίνης, καὶ ψόφον ἐποίησε, καταβαλὼν ἀβάκιόν τι τῶν γεωμετρικῶν παρακείμενον· ὥστε τοὺς θεράποντας αἰσθομένους ἀναβοῆσαι, καὶ τὸν υἱὸν αὐτίκα καὶ τοὺς Φίλους ὑπεισελθεῖν. ἰδόντες δὲ πεφυρμένον αἵματι, καὶ τῶν ἐντέρων τὰ πολλὰ προπεπτωκότα, ζῶντα δ' αὐτὸν ἔτι καὶ βλέποντα, δεινῶς μὲν ἅπαντες ἔσχον, ὁ δ' ἰατρὸς προσελθὼν ἐπειρᾶτο, τῶν ἐντέρων ἀτρώτων διαμεινάντων, ταῦτά τε καθιστᾶν [2], καὶ τὸ τραῦμα διαῤῥάπτειν. ὡς οὖν ἀνήνεγκεν ὁ Κάτων καὶ συνεΦρόνησε, τὸν μὲν ἰατρὸν ἀπεώσατο, ταῖς χερσὶ δὲ τὰ ἔντερα σπαράξας καὶ τὸ τραῦμα ἐπαναῤῥήξας ἀπέθανεν.

LXXI. Ἐν ᾧ δ' οὐκ ἄν τις ᾤετο χρόνῳ τοὺς κατὰ τὴν οἰκίαν πάντας ᾐσθῆσθαι τὸ πάθος, ἐπὶ ταῖς θύραις ἦσαν οἱ τριακόσιοι, καὶ μικρὸν ὕστερον ὁ δῆμος ἤθροιστο τῶν Ἰτυκαίων, μιᾷ Φωνῇ τὸν εὐεργέτην καὶ σωτῆρα καὶ μόνον ἐλεύθερον καὶ μόνον ἀήττητον καλούντων. καὶ ταῦτα ἔπραττον, ἀγγελλομένου [3] προσιέναι Καίσαρος· ἀλλ' οὔτε Φόβος αὐτοὺς, οὔτε κολακεία τοῦ κρατοῦντος, οὔτε ἡ πρὸς ἀλλήλους διαΦορὰ καὶ στάσις ἀμβλυτέρους ἐποίησε τῇ [4] πρὸς Κάτωνα τιμῇ. κοσμήσαντες δὲ τὸ σῶμα λαμπρῶς, καὶ πομπὴν ἐπιΦανῆ παραχόντες, καὶ θαψαν-

1 V. πάλιν πολλήν. Sic & legi testatur H. Steph.

2 V. καθιστάναι.

3 Ita in omnibus edd. excepta Bryanea, quae dat ἐπαγγ.

4 Br. excidisse susp. ἐν. Pro τῇ — τιμῇ V. τῆς π. K. τιμῆς. Sic & legi in vet. exempl. testatur H. Steph.

θάψαντες παρὰ τὴν θάλασσαν, ὃ νῦν ἀνδριὰς ἐφέστηκεν αὐτοῦ ξιφήρης, οὕτως ἐτράποντο πρὸς τὸ σώζειν ἑαυτοὺς καὶ τὴν πόλιν.

LXXII. Καῖσαρ δὲ, πυνθανόμενος παρὰ τῶν ἀφικνουμένων, ὑπομένειν ἐν Ἰτύκῃ τὸν Κάτωνα, μηδὲ φεύγειν, ἀλλὰ τοὺς ἄλλους προπέμπειν, αὐτὸν δὲ καὶ τοὺς ἑταίρους καὶ τὸν υἱὸν ἀδεῶς ἀναστρέφεσθαι, δυστέκμαρτον ἡγεῖτο τὴν γνώμην τοῦ ἀνδρὸς, ἅτε δὴ [1] τὸν πλεῖστον λόγον ἔχων ἐκείνου, καὶ προσῆγε μετὰ τῆς δυνάμεως ἐπειγόμενος. ὡς δ' ἤκουσε τὸν θάνατον αὐτοῦ, λέγεται τοσοῦτον εἰπεῖν· Ὦ Κάτων, φθονῶ σοι τοῦ θανάτου· καὶ γὰρ ἐμοὶ σὺ τῆς σαυτοῦ σωτηρίας ἐφθόνησας. Τῷ γὰρ ὄντι σωθῆναι Κάτων ἀνασχόμενος ὑπὸ Καίσαρος οὐκ ἂν οὕτω δοκεῖ καταισχῦναι τὴν αὑτοῦ δόξαν, ὡς κοσμῆσαι τὴν ἐκείνου. τὸ δὲ πραχθὲν [2], ἄδηλον. εἰκάζεται δὲ τὰ χρηστότερα περὶ Καίσαρος [3].

LXXIV. Ἐτελεύτησε δὲ Κάτων ἔτη δυεῖν δέοντα πεντήκοντα βεβιωκώς. ὁ δ' υἱὸς αὐτοῦ ὑπὸ Καίσαρος μὲν οὐδὲν ἠδικήθη· λέγεται δὲ ῥάθυμος γενέσθαι, καὶ περὶ γυναῖκας οὐκ ἀνεπίληπτος. ἐν δὲ Καππαδοκίᾳ ξένῳ τινὶ χρησάμενος, Μαρφαδάτῃ, τῶν βασιλικῶν, ἔχοντι γύναιον εὐπρεπὲς, καὶ πλείονα παρ' αὐτοῖς, ἢ καλῶς εἶχε, διατρίβων χρόνον, ἐσκώπτετο, τοιαῦτα γραφόντων εἰς αὐτόν.

Αὔριον Κάτων βαδίζει μετὰ τριάκονθ' ἡμέρας.

καὶ

1 R. susp. ἅτε δὲ, *faciens autem summi, Catonem vivum in potestatem redigere, propterea quoque festinans cum copiis accedebat.* Sequens καὶ ante προσῆγε inutile & delendum censuit Br.

2 Mos. Dus. susp. τί δ' ἔπραττεν ἄν. R. τὸ δὲ πραχθὲν ἂν, id quod factum fuisset, id quod Caesar facturus fuisset, si Catone vivo potitus fuisset, ἄδηλον μὲν, est id quidem dubium.

3 Mos. Dus. mavult cum V. παρὰ Καίσ.

καί·

Πόρκιος καὶ Μαρφαδάτης, δύο φίλοι, ψυχὴ μία.

Ψυχὴ γὰρ ἐκαλεῖτο τȣ̃ Μαρφαδάτȣ [1] τὸ γύναιον. καὶ ἔτι·

Εὐγενὴς καὶ λαμπρὸς ὁ Κάτων· βασιλικὴν ψυχὴν ἔχει.

ἀλλὰ πᾶσάν γε τὴν τοιαύτην ἐξήλειψε καὶ ἠφάνισε τῷ θανάτῳ δύσκλειαν. ἀγωνιζόμενος γὰρ ἐν Φιλίπποις πρὸς Καίσαρα καὶ Ἀντώνιον ὑπὲρ τῆς ἐλευθερίας, καὶ κλινομένης τῆς φάλαγγος, ȣ̓́τε φυγεῖν, ȣ̓́τε λαθεῖν ἀξιώσας. ἀλλὰ προκαλȣ́μενος τȣ̀ς πολεμίȣς, ἔμπροσθεν ἑαυτὸν ἐμφανίζων, καὶ συνεξορμῶν τȣ̀ς συμμένοντας, ἔπεσε, θαῦμα τῆς ἀρετῆς τοῖς ἐναντίοις παρασχών. ἔτι δὲ μᾶλλον ἡ θυγάτηρ τȣ̃ Κάτωνος, ȣ̓́τε σωφροσύνης, ȣ̓́τ' ἀνδρείας [2] ἀπολειφθεῖσα, (Βρȣ́τῳ γὰρ συνῴκει τῷ κτείναντι Καίσαρα) αὐτῆς τε τῆς συνωμοσίας μετέσχε, καὶ προήκατο τὸν βίον ἀξίως τῆς εὐγενείας καὶ ἀρετῆς, ὡς ἐν τοῖς περὶ Βρȣ́τȣ γέγραπται. Στατύλλιος δὲ, φήσας, μιμεῖσθαι Κάτωνα, τότε μὲν ὑπὸ τῶν φιλοσόφων ἐκωλύθη, βȣλόμενος ἑαυτὸν ἀνελεῖν· ὕσερον δὲ τῷ Βρȣ́τῳ πισότατον ἑαυτὸν παρασχὼν καὶ χρησιμώτατον, ἐν Φιλίπποις ἀπέθανεν.

## ΑΓΙΣ ΚΑΙ ΚΛΕΟΜΕΝΗΣ.

Οὐκ ἀτόπως τινὲς, ȣ̓δὲ φαύλως, συγκεῖσθαι πρὸς τȣ̀ς φιλοδόξȣς [3] ὑπονοȣ̃σι τὸν ἐπὶ τῷ Ἰξίονι μῦθον, ὡς δὴ λαβόντι τὴν νεφέλην ἀντὶ τῆς Ἥρας, καὶ τῶν Κενταύρων ȣ̓́τως γενομένων. καὶ γὰρ ȣ̓̃τοι τῆς ἀρετῆς

1 Junt. Ald. Crat. τῷ Μαρφαδάτῃ. Eaedem paulo post ἔχειν pro ἔχει.

2 R. post h. v. deesse videtur τȣ̃ τε πατρὸς καὶ τȣ̃ ἀνδρός.

3 In margine cod. SG. e regione κατὰ φιλοδόξȣς eadem manu exaratum est.

τῆς ὥσπερ εἰδώλῳ τινὶ, τῇ δόξῃ, συνόντες, οὐδὲν εἰλικρινὲς, οὐδ' ὁμολογούμενον [1], ἀλλὰ νότα καὶ μικτὰ πολλὰ πράττουσιν, ἄλλοτ' ἄλλας φορὰς φερόμενοι, ζήλοις καὶ πάθεσιν [2] ἐπακολουθοῦντες. ὅπερ οἱ Σοφοκλέους βατῆρες ἐπὶ τῶν ποιμνίων λέγουσιν·

Τούτοις γὰρ ὄντες δεσπόται δουλεύομεν,
Καὶ τῶνδ' ἀνάγκη καὶ σιωπώντων κλύειν.

ὅπερ ἀληθῶς οἱ πρὸς ἐπιθυμίας ὄχλων καὶ ὁρμὰς πολιτευόμενοι πάσχουσι, δουλεύοντες καὶ ἀκολουθοῦντες, ἵνα δημαγωγοὶ καὶ ἄρχοντες ὀνομάζωνται. καθάπερ γὰρ οἱ πρωρεῖς τὰ ἔμπροσθεν προορώμενοι τῶν κυβερνητῶν, ἀφορῶσι πρὸς ἐκείνους, καὶ τὸ προστασσόμενον ὑπ' ἐκείνων ποιοῦσιν· οὕτως οἱ πολιτευόμενοι, καὶ πρὸς δόξαν ὁρῶντες, ὑπηρέται τῶν πολλῶν μὲν εἰσὶν [3], ὄνομα δ' ἀρχόντων ἔχουσιν.

II. Ὁ μὲν γὰρ ἀπηκριβωμένως [4] καὶ τελείως ἀγαθὸς οὐδ' ἂν ὅλως δόξης δέοιτο, πλὴν ὅση πάροδον ἐπὶ τὰς πράξεις καὶ [5] διὰ τοῦ πιστεύεσθαι δίδωσι. νέῳ δ' ἔτι ὄντι καὶ φιλοτίμῳ δοτέον ἀπὸ τῶν καλῶν ἔργων καὶ δόξῃ τι καλλωπίζεσθαι [6] καὶ κομπάσαι. φυόμεναι γὰρ ἐν τοῖς τηλικούτοις αἱ ἀρεταὶ καὶ βλαστάνουσαι, τό τε κατορθούμενον [7], ὥς φησι Θεόφραστος, ἐπιβεβαιοῦνται τοῖς ἐπαι-



1 SG. ὡμολογημένον. Sequens μικτὰ primum extat in Steph. an ex ingenio H. Steph. an ex cod. quodam, incertum. In prioribus edd. est μικρὰ, in quo R. latere susp. μείουρα, *mutila*, *deficientia*, vel *claudicantia*.

2 R. susp. καὶ ἄλλοις πάθ. In seq. pro ὅπερ Br. mavult ὥσπερ.

3 SG. ὑπηρέται μὲν τῶν πολ. εἰσ.

4 SG. ἀπηκριβωμένος. Sic & Junt. Ald. & Crat.

5 Delendum censuit Br. hoc καὶ. Idem vult R. aut addendum ei δύναμιν vel ἀξίωμα.

6 SG. καλλωπίσασθαι.

7 R. susp. τοῖς τε κατορθουμένοις, *& confirmantur in recte factis per laudes* vel *a laudibus*. τοῖς ἐπαίνοις idem esse monet ac διὰ τῶν ἐπαίνων, & ἐπιβεβ. τοῖς κατορθ. idem ac βεβαιοῦνται ἐπὶ τοῖς κατορθουμένοις. SG. ἐκβεβαιοῦνται.

ἐπαίνοις, καὶ τὸ λοιπὸν[1] αὔξονται μετὰ Φρονήματος ἐπαιρόμεναι. τὸ δ' ἄγαν πανταχοῦ μὲν ἐπισΦαλὲς, ἐν δὲ ταῖς πολιτικαῖς Φιλοτιμίαις ὀλέθριον. ἐκΦέρει γὰρ εἰς μανίαν καὶ παραΦροσύνην ὕπαιθρον[2] ἐξουσίας μεγάλης ἐπιλαβομένους, ὅταν μὴ τὸ καλὸν ἔνδοξον εἶναι θέλωσιν, ἀλλ' ἀγαθὸν ἡγῶνται τὸ ἔνδοξον εἶναι. ὥσπερ οὖν Φωκίων πρὸς Ἀντίπατρον ἀξιοῦντά τι παρ' αὐτοῦ τῶν μὴ καλῶν· Οὐ δύνασαι, εἶπεν, ἅμα καὶ Φίλῳ Φωκίωνι χρῆσθαι καὶ κόλακι· τοῦτο λεκτέον, ἢ ὅμοιόν τι τούτῳ, πρὸς τοὺς πολλούς· Οὐ δύνασθε τὸν αὐτὸν ἔχειν καὶ ἄρχοντα καὶ ἀκόλουθον. ἐπεὶ συμβαίνει γε καὶ οὕτως τὸ τοῦ δράκοντος, οὗ Φησὶν ὁ μῦθος τὴν οὐρὰν τῇ κεΦαλῇ στασιάσασαν ἀξιοῦν ἡγεῖσθαι παρὰ μέρος, καὶ μὴ διὰ παντὸς ἀκολουθεῖν ἐκείνῃ· λαβοῦσαν δὲ τὴν ἡγεμονίαν, αὐτήν τε κακῶς ἀπαλλάττειν, ἀνοίᾳ πορευομένην, καὶ τὴν κεΦαλὴν καταξαίνειν, τυΦλοῖς καὶ κωΦοῖς μέρεσιν ἀναγκαζομένην παρὰ Φύσιν ἕπεσθαι. τοῦτο πολλοὺς τῶν πρὸς χάριν ἅπαντα πολιτευομένων[3] ὁρῶμεν πεπονθότας. ἐξαρτήσαντες γὰρ αὐτοὺς ὄχλων εἰκῆ Φερομένων, οὐδ' ἀναλαβεῖν ὕστερον, οὐδ' ἐπιστῆσαι τὴν ἀταξίαν ἐδυνήθησαν. Ταῦτα δ' ἡμῖν εἰς τὴν παρὰ τῶν πολλῶν δόξαν ἐπῆλθεν εἰπεῖν, ἐννοήσασιν, ἡλίκην ἔχει δύναμιν, ἐκ τῶν Τιβερίῳ καὶ Γαΐῳ τοῖς Γράκχοις[4] συμπεσόντων. οὓς κάλλιστα μὲν Φύντας, κάλλιστα δὲ τραΦέντας, καλλίστην δὲ τῆς πολιτείας ὑπόθεσιν λαβόντας, ἀπώλεσεν οὐχ οὕτως ἐπιθυμία δόξης ἄμετρος, ὡς Φόβος ἀδοξίας ἐκ προΦάσεως οὐκ ἀγεννοῦς πεΦυκώς. μεγάλην γὰρ εὔνοιαν προειληΦότες[5] παρὰ τῶν πολιτῶν, ᾐσχύνθησαν ἐγκαταλιπεῖν, ὥσπερ

1 R. susp. πρὸς τὸ λεῖπον, *ad ea, quae adhuc deficiunt.*

2 R. sic legi & distingui mavult: παραΦροσύνην, ὑπαίθρου (aut ὑπαίθρων) ἐξουσίας μεγ. ἐπιλαβ. potitos magna potestate rerum in publico agendarum, domi forisque, in bello & pace.

3 SG. πεπολιτευμένων.

4 SG. Γράγχοις. Sic & Iunt.

5 Sic R. dedit; & dari voluit Br. vel παρειληΦότες. Vulgo προσειληΦ.

ὥσπερ χρέος. ἁμιλλώμενοι δ' ἀεὶ πολιτεύμασι χρηστοῖς τὰς τιμὰς ὑπερβάλλεσθαι, καὶ τιμώμενοι μᾶλλον ἐξ ὧν ἐπολιτεύοντο κεχαρισμένως, καὶ τοῦτον τὸν τρόπον ἴσῃ φιλοτιμίᾳ πρός τε τὸν δῆμον ἑαυτοὺς, καὶ τὸν δῆμον πρὸς ἑαυτοὺς ἐκκαύσαντες, ἔλαθον ἀψάμενοι πραγμάτων, ἐν οἷς ἐπεὶ οὐκέτ' ἦν τὸ προβῆναι καλὸν, αἰσχρὸν ἤδη τὸ παύσασθαι [1]. ταῦτα μὲν οὖν ἐπικρινεῖς αὐτὸς ἐκ τῆς διηγήσεως. Παραβάλωμεν δ' αὐτοῖς Λακωνικὸν ζεῦγος δημαγωγῶν, Ἆγιν καὶ Κλεομένην, τοὺς βασιλεῖς. καὶ γὰρ οὗτοι τὸν δῆμον αὔξοντες, ὥσπερ ἐκεῖνοι, καὶ πολιτείαν καλὴν καὶ δικαίαν ἐκλελοιπυῖαν πολὺν χρόνον ἀναλαμβάνοντες, ὁμοίως ἀπηχθάνοντο τοῖς δυνατοῖς, μὴ βουλομένοις ἀφεῖναι τὴν συνήθη πλεονεξίαν. ἀδελφοὶ μὲν οὖν οὐκ ἦσαν ἀλλήλων οἱ Λάκωνες, συγγενοῦς δὲ καὶ ἀδελφῆς ἥψαντο πολιτείας, ἀρχὴν τοιαύτην λαβόντες.

III. Ἐπεὶ παρεισέδυ πρῶτον εἰς τὴν πόλιν ἀργύρου καὶ χρυσοῦ ζῆλος, καὶ συνηκολούθησε τοῦ πλούτου τῇ μὲν κτήσει πλεονεξία καὶ μικρολογία, τῇ δὲ χρήσει καὶ ἀπολαύσει τρυφὴ καὶ μαλακία καὶ πολυτέλεια· τῶν πλείστων ἐξέπεσεν ἡ Σπάρτη καλῶν, καὶ ταπεινὰ πράττουσα παρ' ἀξίαν διετέλει, μέχρι τῶν χρόνων ἐκείνων, ἐν



1 Vulgo hic locus ſic extat: ἐν οἷς οὐκέτ' ἦν τὸ, ἐπεὶ μὴ καλὸν, αἰσχρὸν ἤδη τὸ παύσασθαι. Anon. ἐν αἷς οὐκ ἦν εἰπεῖν, τῶν οὐκέτι καλῶν αἰσχρὸν ἤδη τὸ μὴ παύσασθαι; V. τὸ πεπαῦσθαι exhibet. H. Steph. quoque in vet. cod. τὸ παύσασθαι ſcriptum fuiſſe obſervat, & locum ita refingit ἐπεὶ μὴ καλὸν, οὐκ αἰσχρὸν ἤδη τὸ παύσασθαι. Uti nunc extat, eum debemus Reiskio — *ubi quia procedere jam non erat amplius honeſtum, jam turpe erat deſinere.* Xyl. vertit: *ad eas res tentandas delati ſunt, quas cum parum honeſtas ſentirent, tamen jam inhoneſtas eſſe (notum enim illud eſt: quod non honeſtum eſt, jam turpe eſſe ſentias) colligere non potuerunt* — & graeca: ἐπεὶ μὴ καλὸν αἰσχρὸν ἤδη, partem Senarii eſſe ait, quem ſe alicubi legiſſe meminerat. Cruſer. vertit: ubi jam non erat illud, dici quod ſolet: rectum licet non ſit, turpe eſt deſiſtere.

ἐν οἷς Ἆγις καὶ Λεωνίδας ἐβασίλευον. Ἆγις μὲν Εὐρυτιωνίδης[1], καὶ Εὐδαμίδα παῖς, ἕκτος ἀπ' Ἀγησιλάου, τοῦ διαβάντος εἰς τὴν Ἀσίαν, καὶ μέγιστον Ἑλλήνων δυνηθέντος. ἦν γὰρ Ἀγησιλάου μὲν Ἀρχίδαμος, ὁ περὶ Μανδόνιον[2] τῆς Ἰταλίας ὑπὸ Μεσσαπίων ἀποθανών. Ἀρχιδάμου δὲ πρεσβύτερος μὲν υἱὸς Ἆγις, Εὐδαμίδας δὲ νεώτερος, ὅς, Ἄγιδος ὑπ' Ἀντιπάτρου περὶ Μεγάλην πόλιν ἀναιρεθέντος ἀτέκνου, τὴν βασιλείαν ἔσχε. τούτου δ' Ἀρχίδαμος, Ἀρχιδάμου δὲ ἕτερος Εὐδαμίδας, Εὐδαμίδα δὲ Ἆγις, περὶ οὗ[3] τάδε γέγραπται. Λεωνίδας δ' ὁ Κλεωνύμου τῆς μὲν ἑτέρας οἰκίας ἦν Ἀγιάδης[4]. ὄγδοος δ' ἀπὸ Παυσανίου τοῦ νικήσαντος ἐν Πλαταιαῖς μάχῃ Μαρδόνιον. Παυσανίας γὰρ υἱὸν ἔσχε Πλειστώνακτα, Πλειστώναξ δὲ Παυσανίαν. οὗ φυγόντος εἰς Τεγέαν ἐκ Λακεδαίμονος, ὅ τε πρεσβύτερος υἱός, Ἀγησίπολις, ἐβασίλευσε, καὶ τούτου τελευτήσαντος ἀτέκνου, Κλεόμβροτος, ὁ νεώτερος. ἐκ δὲ Κλεομβρότου πάλιν ἄλλος Ἀγησίπολις ἦν, καὶ Κλεομένης. ὧν Ἀγησίπολις μὲν οὔτ' ἦρξε πολὺν χρόνον, οὔτε παῖδας ἔσχε· Κλεομένης δέ, βασιλεύσας μετ' Ἀγησίπολιν, τὸν μὲν πρεσβύτερον τῶν υἱῶν, Ἀκρότατον, ἔτι ζῶν ἀπέβαλε· νεώτερον δὲ Κλεώνυμον κατέλιπεν, ὃς οὐκ ἐβασίλευσεν, ἀλλ' Ἄρευς, υἱωνὸς ὢν Κλεομένους. Ἀκροτάτου δ' υἱὸς Ἄρευς. Ἄρεως δὲ πεσόντος περὶ Κόρινθον, υἱὸς ὢν Ἀκρότατος, τὴν βασιλείαν κατέσχεν. ἀπέθανε δὲ καὶ οὗτος, ἡττηθεὶς μάχῃ περὶ Μεγάλην πόλιν ὑπ' Ἀριστοδήμου, τοῦ τυράννου, κατα-

1 SG. Εὐρυτιώνδης. Sic & Junt. Ald. Crat.

2 Mos. Duf. scribi vult Μανδύριον, auctoritate Cellarii. SG. Μανδώνιον.

3 Sic cum Anon. & SG. dari voluit Br. deditque R. pro vulg. ἐπὶ οὗ. Est autem περὶ antiqua lectio, in Junt. Ald. & Crat. obvia. In Steph. irrepsisse videtur ex ignoratione compendiariae scripturae, qua Ald. in hac voce utitur.

4 SG. item Junt. Ald. Crat. ἀπάδης, quod mendum Xyl. notavit, & Steph. correxit.

καταλιπὼν ἐγκύμονα τὴν γυναῖκα. παιδίȣ δ' ἄῤῥενος γενομένȣ, Λεωνίδας ὁ Κλεωνύμȣ τὴν ἐπιτροπὴν ἔσχεν. εἶτα, πρὶν ἐν ἡλικίᾳ γενέϑαι, τελευτήσαντος, ȣτως εἰς αὐτὸν ἡ βασιλεία περιῆλθεν, ȣ πάνυ τοῖς πολίταις εὐάρμοςον ȣντα. καίπερ γὰρ, ἐκκεκλικότων [1] ἤδη τῇ διαφθορᾷ τȣ πολιτεύματος ὁμαλῶς ἁπάντων, ἦν τις ἐν τῷ Λεωνίδᾳ τῶν πατρώων ἐπιφανὴς ἐκδιαίτησις, ἅτε δὴ χρόνον εἱλινδημένῳ [2] πολὺν ἐν αὐλαῖς σατραπικαῖς, καὶ τεθεραπευκότι Σέλευκον· εἶτα τὸν ἐκεῖθεν ὄγκον εἰς Ἑλληνικὰ πράγματα καὶ νόμιμον ἀρχὴν ȣκ ἐμμελῶς μεταφέροντι.

IV. Ὁ δ' Ἆγις ȣτω πολὺ παρήλλαττεν εὐφυΐᾳ καὶ φρονήματι ψυχῆς ȣ μόνον τȣτον, ἀλλὰ σχεδὸν ἅπαντας, ὅσοι μετ' Ἀγησίλαον τὸν μέγαν ἐβασίλευσαν, ὥςε μήπω γεγονὼς εἰκοςὸν ἔτος, ἐντεθραμμένος δὲ πλȣτοις καὶ τρυφαῖς γυναικῶν, τῆς τε μητρὸς Ἀγησιςράτας, καὶ τῆς μάμμης Ἀρχιδαμίας, αἳ πλεῖςα χρήματα Λακεδαιμονίων ἐκέκτηντο, πρός τε τὰς ἡδονὰς εὐθὺς ἀπισχυρίσαϑαι, καὶ τὸ μὴ ἐπιτρέψαι [3] μάλιςα τῇ χάριτι τῆς μορφῆς, ὡραϊσμὸν δοκȣντα περισπάσας τȣ σώματος, καὶ πᾶσαν ἐκδὺς καὶ διαφυγὼν πολυτέλειαν, ἐγκαλλωπίζεϑαι τῷ τριβωνίῳ, καὶ δεῖπνα καὶ λȣτρὰ καὶ διαίτας Λακωνικὰς ζητεῖν· καὶ λέγειν, ὡς ȣδὲν δέοιτο τῆς βασιλείας, εἰ μὴ δι' αὐτὸν [4] ἀναλήψοιτο τȣς νόμȣς καὶ τὴν πάτριον ἀγωγήν.



1 Br. mavult ἐγκεκλικότων.

2 In SG. emendatum eſt eadem manu ἠλινδημένῳ.

3 Br. reponi vult ἐπιτρέψας, & legi τὸν μάλιςα ἐπιτρ. R. locum pluribus modis vitiatum putat, & ſuſp. καὶ τὸ ἐπιτρέψας (ſubaud. ἑαυτὸν aut τὰ ἑαυτȣ) μάλιςα τῇ χάριτι τῆς μορφῆς, ὡραϊσμὸν δοκȣν ταπεινὸν, περισπάσας τȣ σώμ. *ſtudium ſe ſuaque omnia ſoli formae gratiae permittendi, cum deſtrinxiſſet corpore, ut nihil aliud viſum, praeterquam humilem & abjectum conatum formoſitatem jactandi ad placendum.*

4 SG. cod. H. Steph. Anon. αὐτὴν, quod reponi voluit Br. ut

V. Ἀρχὴν μὲν οὖν διαφθορᾶς [1] καὶ τοῦ νοσεῖν ἔσχε τὰ πράγματα τῶν Λακεδαιμονίων, σχεδὸν ἀφ' οὗ τὴν Ἀθηναίων καταλύσαντες ἡγεμονίαν, χρυσίου τε καὶ ἀργυρίου κατέπλησαν ἑαυτούς. οὐ μὴν ἀλλὰ καὶ τῶν οἴκων, ὃν [2] ὁ Λυκοῦργος ὥρισε φυλαττόντων ἀριθμὸν ἐν ταῖς διαδοχαῖς, καὶ πατρὸς παιδὶ τὸν κλῆρον ἀπολιπόντος, ἁμωσγέπως ἡ τάξις αὕτη καὶ ἰσότης διαμένουσα τὴν πόλιν ἐκ τῶν ἄλλων ἀνέφερεν ἁμαρτημάτων. ἐφορεύσας δέ τις ἀνὴρ δυνατὸς, αὐθάδης δὲ καὶ χαλεπὸς τὸν τρόπον, Ἐπιτάδευς ὄνομα, πρὸς τὸν υἱὸν αὐτῷ γενομένης διαφορᾶς, ῥήτραν ἔγραψεν, ἐξεῖναι τὸν οἶκον αὐτοῦ καὶ τὸν κλῆρον, ᾧ τις ἐθέλοι, καὶ ζῶντα δοῦναι, καὶ καταλιπεῖν διατιθέμενον [3]. οὗτος μὲν οὖν αὐτοῦ τινὰ θυμὸν ἀποπιμπλὰς ἴδιον, εἰσήνεγκε τὸν νόμον· οἱ δ' ἄλλοι πλεονεξίας ἕνεκα δεξάμενοι καὶ κυρώσαντες, ἀπώλεσαν τὴν ἀρίστην κατάστασιν. ἐκτῶντο γὰρ ἀφειδῶς ἤδη παρωθοῦντες οἱ δυνατοὶ τοὺς προσήκοντας ἐκ τῶν διαδοχῶν· καὶ ταχὺ τῆς εὐπορίας εἰς ὀλίγους συῤῥυείσης, πενία τὴν πόλιν κατέσχεν, ἀνελευθερίαν καὶ τῶν

ut ad *βασιλείας* referatur. Utraque lectio, monente H. Steph. eundem sensum efficit. Si *δι' αὐτόν* retineas, nominativus verbi *ἀναλήψ.* erit *βασιλεία*; sin mutes in *αὐτήν*, nominativus erit *αὐτός*.

1 SG. *διαφορᾶς*. Sic & Junt. h. l. & circa finem cap. 3.

2 Vulgo extat *τὸν οἶκον, ὅν*. V. & Anon. *τῶν οἴκων, ὧν*. Sic legi voluerunt Dacer. & Mos. Dus. — Dedit R. *τῶν οἴκων*, & retinuit *ὅν*, mutata in seq. vulgata lectione *φυλάττειν τὸν* in *φυλαττόντων*, ut subaudiendo *αὐτῶν* sit sensus: — *verumtamen cum Lacedaemonii numerum generum*, vel *gentium*, vel *familiarum* (hi sunt *οἶκοι*) *a Lycurgo definitum observarunt, in haereditatibus & consecutionibus atque successionibus posterorum in jura titulosque majorum*. Pro *τὸν ἀριθμόν* Dus. voluit *τὸ ἄῤῥυθμον*, cum non *domorum numerum* sanxerit Lycurgus, sed modum, eas struendi. Cf. Plut. T. I. in vit. Lyc. c. 13.

3 R. mavult *διαθέμενον*.

τῶν καλῶν ἀσχολίαν [1] ἐπιφέρουσα μετὰ φθόνου καὶ δυσμενείας πρὸς τοὺς ἔχοντας. ἀπελείφθησαν οὖν ἑπτακοσίων οὐ πλείονες [2] Σπαρτιᾶται, καὶ τούτων ἴσως ἑκατὸν ἦσαν οἱ γῆν κεκτημένοι καὶ κλῆρον· ὁ δ' ἄλλος ὄχλος [3] ἄπορος καὶ ἄτιμος ἐν τῇ πόλει παρεκάθητο, τοὺς μὲν ἔξωθεν πολέμους ἀργῶς καὶ ἀπροθύμως ἀμυνόμενος, ἀεὶ δέ τινα καιρὸν ἐπιτηρῶν μεταβολῆς καὶ μεταστάσεως τῶν παρόντων.

VI. Διὰ ταῦτα δὴ καλὸν ὁ Ἆγις, ὥσπερ ἦν, ποιούμενος, ἐξισῶσαι καὶ ἀναπληρῶσαι τὴν πόλιν, ἐπειρᾶτο τῶν ἀνθρώπων. οἱ μὲν οὖν νέοι ταχὺ καὶ παρ' ἐλπίδας ὑπήκουσαν αὐτῷ, καὶ συναπεδύσαντο πρὸς τὴν ἀρετήν, ὥσπερ ἐσθῆτα τὴν δίαιταν ἐπ' ἐλευθερίᾳ συμμεταβάλλοντες. τῶν δὲ πρεσβυτέρων, ἅτε δὴ πόῤῥω διαφθορᾶς γεγονότων, συνέβαινε τοῖς πλείστοις, ὥσπερ ἐπὶ δεσπότην ἀγομένους [4] ἐκ δρασμοῦ δεδιέναι καὶ τρέμειν τὸν Λυκοῦργον. καὶ καθήπτοντο τοῦ Ἄγιδος ὀδυρομένου τὰ παρόντα πράγματα, καὶ τὸ παλαιὸν ἀξίωμα τῆς Σπάρτης ἐπιποθοῦντος. Λύσανδρος δ' ὁ Λίβυος, καὶ Μανδροκλείδας ὁ Ἐκφάνους, ἔτι δ' Ἀγησίλαος, ἀπεδέξαντο καὶ συμπαρώρμησαν αὐτοῦ τὴν φιλοτιμίαν. ἦν δὲ Λύσανδρος μὲν ἐν δόξῃ μάλιστα τῶν πολιτῶν, Μανδροκλείδας δὲ δεινότατος Ἑλλήνων πράγματα συσκευάσασθαι, καὶ τὸ συνετὸν τοῦτο καὶ δολερὸν τόλμῃ μεμιγμένον ἔχων· Ἀγησίλαον μέν, θεῖον ὄντα τοῦ βασιλέως καὶ δυνατὸν εἰπεῖν, ἄλλως δὲ μαλακὸν καὶ φιλοχρήματον, ἐμφανῶς μὲν ὁ υἱός, Ἱππομέδων, ἐκίνει καὶ παρ-



1 Sic ex conjectura Mosis Dus. dedit R. pro vulg. ἀνελευθερίαν τῶν καλῶν καὶ ἀσχολίαν — negotiositatem eripientem otium honestis artibus studendi. Ab Anon. haec duo vocabula καὶ ἀσχολίαν tollenda videntur praescribi, cum exhibeat τῶν καλῶν ἐπιφέρουσα. Pro ἀσχολ. R. quoque susp. ἀμέλειαν.

2 V. omittit οὐ ante h. v.

3 Vocab. ὄχλος deest Junt. Ald. Crat.

4 Br. voluit ἀγομένοις, cum πλείστοις praecesserit.

εθάῤῥυνεν, εὐδόκιμος ἐν πολλοῖς πολέμοις ἀνήρ, καὶ μέγα δι' εὔνοιαν τῶν νέων δυνάμενος· ἡ δ' ἀληθῶς ἀναπείσασα τὸν Ἀγησίλαον αἰτία τῶν πραττομένων μετασχεῖν ὀφλημάτων πλῆθος ἦν, ὧν ἤλπιζεν ἀπαλλαγήσεσθαι, μεταβάλλων τὴν πολιτείαν. ὡς οὖν τάχιστα προσηγάγετο τοῦτον ὁ Ἆγις, εὐθὺς ἐπιχειρεῖ μετ' αὐτοῦ τὴν μητέρα πείθειν, ἀδελφὴν οὖσαν τοῦ Ἀγησιλάου, πλήθει δὲ πελατῶν καὶ φίλων καὶ χρεωστῶν μέγα δυναμένην ἐν τῇ πόλει, καὶ πολλὰ τῶν κοινῶν διαπραττομένην.

VII. Ἡ δ' ἀκούσασα, τὸ μὲν πρῶτον ἐξεπλάγη, καὶ κατέπαυε τὸ μειράκιον, ὡς οὔτε δυνατῶν, οὔτε λυσιτελῶν ἐφιέμενον. ἐπεὶ δὲ ταῦτα μὲν ὁ Ἀγησίλαος ἐδίδασκεν ὡς καλῶς ἕξει καὶ πραχθήσεται συμφερόντως, αὐτὸς δ' ὁ βασιλεὺς ἐδεῖτο τῆς μητρὸς ἐπιδοῦναι πρὸς δόξαν αὐτῷ καὶ φιλοτιμίαν τὸν πλοῦτον, ὡς χρήμασι μὲν οὐ δυνάμενος πρὸς τοὺς ἄλλους βασιλεῖς ἐξισωθῆναι· σατραπῶν γὰρ οἰκέτας, καὶ δούλους ἐπιτρόπων Πτολεμαίου καὶ Σελεύκου, κεκτῆσθαι πλείονα συμπάντων ὁμοῦ τῶν ἐν Σπάρτῃ βασιλέων· ἐὰν δὲ, σωφροσύνῃ καὶ λιτότητι καὶ μεγαλοψυχίᾳ τὰς ἐκείνων [1] ὑπερβαλλόμενος τρυφὰς, ἰσότητα καὶ κοινωνίαν καταστήσῃ τοῖς πολίταις, ὄνομα καὶ δόξαν ὡς ἀληθῶς βασιλέως μεγάλου [2] κτησόμενος· οὕτω μετέπεσον ταῖς γνώμαις αἱ γυναῖκες, ὑπὸ τῆς φιλοτιμίας ἐπαρθεῖσαι τοῦ νεανίσκου, καὶ τοσαύτῃ κατεχέθησαν οἷον ἐπιπνοίᾳ πρὸς τὸ καλὸν, ὥστε τὸν μὲν Ἆγιν συνεξορμᾶν καὶ συνεπιταχύνειν, μεταπεμπομένας δὲ τοὺς φίλους παρακαλεῖν, καὶ ταῖς ἄλλαις διαλέγεσθαι γυναιξὶν, ἅτε δὴ τοὺς Λακεδαιμονίους ἐπισταμένας κατηκόους ὄντας ἀεὶ τῶν γυναικῶν, καὶ πλεῖον ἐκείναις τῶν δημοσίων,

1 Sic cum Anon. SG. & Junt. dari voluit Br. deditque R. pro vulg. ἐκείνου. Falſo eandem lectionem, jam receptam, Br. Aldinae tribuit. In meo ſaltim exemplari, uti in Crat. legitur ἐκείνου.

2 V. omittit hanc vocem μεγάλου. Id. paulo poſt τοσαῦται pro τοσαύτῃ.

σίων, ἢ τῶν ἰδίων αὐτοῖς, πολυπραγμονεῖν διδόντας. ἦν δὲ τότε τῶν Λακωνικῶν πλούτων ἐν ταῖς γυναιξὶ τὸ πλεῖστον, καὶ τοῦτο τὴν πρᾶξιν τῷ Ἄγιδι δύσεργον καὶ χαλεπὴν ἐποίησεν. ἀντέστησαν γὰρ αἱ γυναῖκες, οὐ μόνον τρυφῆς ἐκπίπτουσαι δι' ἀπειροκαλίαν εὐδαιμονιζομένης [1], ἀλλὰ καὶ τιμὴν καὶ δύναμιν, ἣν ἐκ τοῦ πλουτεῖν ἐκαρποῦντο, περικοπτομένην αὐτῶν [2] ὁρῶσαι. καὶ πρὸς τὸν Λεωνίδαν τραπόμεναι, παρεκάλουν ὄντα πρεσβύτερον, ἐπιλαμβάνεσθαι τοῦ Ἄγιδος, καὶ τὰ πραττόμενα διακωλύειν. ἐβούλετο μὲν οὖν ὁ Λεωνίδας τοῖς πλουσίοις βοηθεῖν· δεδιὼς δὲ τὸν δῆμον ἐπιθυμοῦντα τῆς μεταβολῆς, οὐδὲν ἀντέπραττε φανερῶς, λάθρα δὲ τὴν πρᾶξιν ἐζήτει κακουργεῖν καὶ διαφθείρειν, ἐντυγχάνων τοῖς ἄρχουσι, καὶ διαβάλλων τὸν Ἄγιν, ὡς τυραννίδος μισθὸν τοῖς πένησι τὰ τῶν πλουσίων προτείνοντα, καὶ γῆς μεταδόσεσι καὶ χρεῶν ἀφέσεσι [3] πολλοὺς ὠνούμενον ἑαυτῷ δορυφόρους, οὐ τῇ Σπάρτῃ πολίτας.

VIII. Οὐ μὴν ἀλλὰ διαπραξάμενος ὁ Ἄγις Ἔφορον γενέσθαι τὸν Λύσανδρον, εὐθὺς εἰσέφερεν ἑαυτοῦ [4] ῥήτραν εἰς τοὺς γέροντας· ἧς ἦν κεφάλαια, χρεῶν μὲν ἀφεθῆναι τοὺς ὀφείλοντας, τῆς δὲ γῆς ἀναδασθείσης, τὴν μὲν ἀπὸ τοῦ κατὰ Πελλήνην χαράδρου πρὸς τὸ Ταΰγετον, καὶ Μαλέαν, καὶ Σελλασίαν [5], κλήρους γενέσθαι τετρακισχιλίους πεντακοσίους· τὴν δ' ἔξω, μυρίους πεντακισχιλίους· καὶ ταύτην μὲν [6] τοῖς ὁπλοφορεῖν δυναμένοις τῶν περιοίκων μερισθῆναι· τὴν δ' ἐντὸς, αὐτοῖς Σπαρτιάταις. ἀνα-

1 Sic cum Anon. & Steph. reponi voluit Br. deditque R. pro vulg. εὐδαιμονιζομένην.

2 Ita H. Steph. auctoritate codicum dedit pro αὐτὴν, quod in prioribus edd. extat.

3 Sic R. de suo dedit. Vulgo μετάδοσιν καὶ χρ. ἄφεσιν.

4 V. δι' ἑαυτοῦ. SG. δι' αὐτοῦ.

5 SG. Σελασίαν.

6 Sic cum V. Anon. & SG. dari voluit Duf. deditque R. Vulgo ταῦτα μέν. Pro ὁπλοφορεῖν SG. ὅπλα φέρειν.

ἀναπληρωθῆναι δὲ τούτους ἔκ τε περιοίκων καὶ ξένων, ὅσοι τροφῆς μετεσχηκότες ἐλευθερίου, καὶ χαρίεντες [1] ἄλλως τοῖς σώμασι, καὶ καθ' ἡλικίαν ἀκμάζοντες εἶεν· σύνταξιν δὲ τούτων εἰς πεντεκαίδεκα γενέσθαι φιδίτια, κατὰ τετρακοσίους καὶ διακοσίους [2], καὶ δίαιταν, ἣν εἶχον οἱ πρόγονοι, διαιτᾶσθαι.

IX. Γραφείσης δὲ τῆς ῥήτρας, καὶ τῶν γερόντων εἰς ταὐτὸ ταῖς γνώμαις οὐ συμφερομένων, ἐκκλησίαν συναγαγὼν ὁ Λύσανδρος, αὐτός τε διελέχθη τοῖς πολίταις, καὶ Μανδροκλείδας καὶ Ἀγησίλαος ἐδέοντο, μὴ δι' ὀλίγους, ἐντρυφῶντας αὐτοῖς, περιιδεῖν ἐῤῥιμμένον τὸ ἀξίωμα τῆς Σπάρτης· ἀλλὰ τῶν τε [3] προτέρων χρησμῶν μνημονεῦσαι, τὴν φιλοχρημοσύνην, ὡς ὀλέθριον τῇ Σπάρτῃ, φυλάττεσθαι διακελευομένων, καὶ τῶν ἔναγχος ἐκ Πασιφάας [4]. ἱερὸν δὲ Πασιφάας καὶ μαντεῖον ἦν ἐν Θαλαμίαις τιμώμενον, ἥν τινὲς μὲν ἱστοροῦσι τῶν Ἀτλαντίδων μίαν οὖσαν ἐκ Διὸς [5] τὸν Ἄμμωνα τεκεῖν· τινὲς δὲ Κασάνδραν τὴν Πριάμου, τελευτήσασαν ἐνταῦθα· καὶ διὰ τὸ πᾶσι φαίνειν τὰ μαντεῖα, Πασιφάαν προσαγο-

1 Sic R. dedit cum Anon. Vulgo χάριτος. Br. haec habet ad h. v. — Rectius V. Anon. & Fl. Ed. χαρίεντες. At in Ind. var. haec lectio soli Anon. tribuitur, & in Fl. uti & in Ald. & Crat. extat χαρίεντος.

2 Vocabula haec κατὰ τετρ. καὶ διακ. tollenda censet Mos. Dus. scholii loco in margine posita, & tandem male in textum recepta. Ex Lycurgi instituto φιδίτια constabant XV. hominibus.

3 Partic. τε R. de suo addidit.

4 R. subaudiendum monet κομισθέντων, vel ἀνενεχθέντων. V. addit κεκομισμένον αὐτοῖς, quod in textum recipiendum censet Dacerius. SG. τὸν ἔναγχος ἐκ Πασ. κεκοσμημένον αὐτοῖς. Hoc templum autem & oraculum, non Pasiphaes, sed Παφίης, Pausaniae bis eadem pagina dici, observat Palmerius, & esse daemonem indigetem Thalamatibus. Pro Θαλαμίαις Xyl. scribi vult Θαλάμαις.

5 Vulgatae τῶν ἐκ Διός. R. artic. τῶν delevit. Mos. Dus. voluit τὸν ἐκ Δ. Ἄμμωνα.

αγορευθεῖσαν. ὁ δὲ Φύλαρχος Ἀμύκλα θυγατέρα, Δάφνην τοὔνομα, φησὶν ὑποφεύγουσαν Ἀπόλλωνα, βουλόμενον αὐτῇ μιγῆναι, καὶ μεταβάλλουσαν εἰς τὸ φυτὸν, ἐν τιμῇ τοῦ θεοῦ γενέσθαι, καὶ μαντικὴν λαβεῖν δύναμιν. ἔφασαν οὖν [1], καὶ τὰ παρὰ ταύτης μαντεῖα προστάττειν τοῖς Σπαρτιάταις, ἴσους γενέσθαι πάντας, καθ' ὃν ὁ Λυκοῦργος ἐξ ἀρχῆς ἔταξε νόμον. ἐπὶ πᾶσι δὲ βασιλεὺς Ἆγις, εἰς μέσον παρελθὼν, καὶ βραχέα διαλεχθεὶς, ἔφη συμβολὰς διδόναι τῇ πολιτείᾳ μεγίστας, ἣν καθίστησι· τὴν γὰρ αὐτοῦ πρῶτον οὐσίαν εἰς μέσον τιθέναι, πολλὴν μὲν οὖσαν ἐν τοῖς γεωργουμένοις καὶ νεμομένοις, ἄνευ δὲ τούτων, ἑξακόσια τάλαντα νομίσματος ἔχουσαν· τὸ δ' αὐτὸ καὶ τὰς μητέρας ποιεῖν, καὶ τοὺς φίλους, καὶ οἰκείους [2], πλουσιωτάτους ὄντας Σπαρτιατῶν.

X. Ὁ μὲν οὖν δῆμος ἐξεπλάγη τὴν μεγαλοψυχίαν τοῦ νεανίσκου, καὶ περιχαρὴς ἦν, ὡς δι' ἐτῶν ὁμοῦ τριακοσίων πεφηνότος ἀξίου τῆς Σπάρτης βασιλέως. ὁ δὲ Λεωνίδας τότε δὴ μάλιστα πρὸς τοὐναντίον ἐφιλονείκησε. λογιζόμενος γὰρ, ὅτι ταὐτὰ [3] μὲν ἀναγκασθήσεται ποιεῖν, οὐ τὴν αὐτὴν δὲ χάριν ἕξει παρὰ τοῖς πολίταις, ἀλλὰ πάντων ὁμοίως, ἃ κέκτηνται, κατατιθεμένων, μόνῳ τῷ ἀρξαμένῳ προσθήσουσι τὴν τιμὴν, ἠρώτα τὸν Ἆγιν, εἰ δίκαιον ἄνδρα καὶ σπουδαῖον ἡγεῖται γεγονέναι Λυκοῦργον. ὁμολογήσαντος δ' ἐκείνου· Ποῦ τοίνυν, ἔφη, Λυκοῦργος ἢ χρεῶν ἀποκοπὰς ἔδωκεν, ἢ ξένους κατέταξεν εἰς τὴν πολιτείαν, ὃς οὐδ' ὅλως ἐνόμιζεν ὑγιαίνειν τὴν πόλιν μὴ χρωμένην ξενηλασίαις; ὁ δ' Ἆγις ἀπεκρίνατο, μὴ θαυμάζειν τὸν Λεωνίδαν, εἰ τεθραμμένος ἐν ξένῃ, καὶ πεπαιδοποιημένος ἐκ γάμων σατραπικῶν, ἀγνοεῖ τὸν Λυκοῦργον, ὅτι τὸ μὲν ὀφείλειν καὶ δανείζειν ἅμα τῷ νομίσματι συνεξέβαλεν ἐκ τῆς πόλεως. τῶν δ' ἐν ταῖς

1 Lyſander, Mandroclides, Ageſilaus & Agis ipſe. R.
2 SG. καὶ οἰκείους καὶ τοὺς φίλους.
3 Sic R. de ſuo dedit. Vulgo ταῦτα.

ταῖς πόλεσι ξένων τοὺς τοῖς ἐπιτηδεύμασι καὶ ταῖς διαίταις ἀσυμφύλους μᾶλλον ἐδυσχέραινε. καὶ γὰρ ἐκείνους ἤλαυνεν, οὐ τοῖς σώμασι πολεμῶν, ἀλλὰ τοὺς βίους αὐτῶν καὶ τοὺς τρόπους δεδιὼς, μὴ συναναχρωννύμενοι [1] τοῖς πολίταις, τρυφῆς καὶ μαλακίας καὶ πλεονεξίας ἐντέκωσι ζῆλον· ἐπεὶ Τέρπανδρόν γε [2], καὶ Θάλητα, καὶ Φερεκύδην, ξένους ὄντας, ὅτι τὰ αὐτὰ τῷ Λυκούργῳ διετέλουν ᾄδοντες καὶ φιλοσοφοῦντες, ἐν Σπάρτῃ τιμηθῆναι διαφερόντως. Σὺ δ' Ἐκπρεπῆ μὲν ἐπαινεῖς, ἔφησεν, ὃς [3] ἐφορεύων Φρύνιδος τοῦ μουσικοῦ σκεπάρνῳ τὰς δύο τῶν ἐννέα χορδῶν ἐξέτεμε, καὶ τοὺς ἐπὶ Τιμοθέῳ πάλιν τὸ αὐτὸ τοῦτο πράξαντας· ἡμᾶς δὲ μέμφῃ, τρυφὴν καὶ πολυτέλειαν καὶ ἀλαζονείαν ἐκ τῆς Σπάρτης ἀναιροῦντας· ὥσπερ οὐχὶ κἀκείνων τὸ ἐν μουσικῇ σοβαρὸν καὶ περιττὸν, ὅπως ἐνταῦθα μὴ προσέλθῃ [4], φυλαττομένων, ὅπου γενομένων [5] βίων καὶ τρόπων ἀμετρία καὶ πλημμέλεια τὴν πόλιν ἀσύμφωνον καὶ ἀνάρμοσον ἑαυτῇ πεποίηκεν.

XI. Ἐκ τούτου τῷ μὲν Ἄγιδι τὸ πλῆθος ἐπηκολούθησεν· οἱ δὲ πλούσιοι τόν τε Λεωνίδαν παρεκάλουν μὴ σφᾶς προέσθαι [6], καὶ τοὺς γέροντας, οἷς τὸ κράτος ἦν ἐν τῷ προβουλεύειν, δεόμενοι καὶ πείθοντες ἴσχυσαν, ὅσον ἑνὶ πλείονας γενέσθαι τοὺς ἀποψηφισαμένους τὴν ῥήτραν. ὁ δὲ Λύσανδρος ἔτι τὴν ἀρχὴν ἔχων, ὥρμησε τὸν Λεωνίδαν διώκειν κατά δή τινα νόμον παλαιὸν, ὃς οὐκ ἐᾷ τὸν Ἡρακλείδην ἐκ γυναικὸς ἀλλοδαπῆς τεκνοῦσθαι, τὸν δ'

1 Moſ. Duſ. mavult συναναχωννύμενοι.
2 R. dedit γε de ſuo pro vulg. τε.
3 SG. μὲν, ἔφησεν, ἐπαινεῖς, ὅς.
4 R. ſic dedit pro vulg. προέλθῃ.
5 R. mavult ὅπου ἡ γενομένη τῶν βίων. Refertur ὅπου ad præmiſſum ἐκ τῆς Σπάρτης.
6 V. προΐεσθαι. In ſeq. vulgo datur οἷς τὸ κράτιστον ἦν. R. dedit τὸ κράτος cum V. Anon. qui habent ὧν τὸ κράτος, & SG.

δ' ἀπελθόντα τῆς Σπάρτης ἐπὶ μετοικισμῷ πρὸς ἑτέρους, ἀποθνήσκειν κελεύει. ταῦτα κατὰ τοῦ Λεωνίδου [1] λέγειν ἑτέρους διδάξας, αὐτὸς παρεφύλαττε μετὰ τῶν συναρχόντων τὸ σημεῖον. ἔστι δὲ τοιόνδε· δι' ἐτῶν ἐννέα λαβόντες οἱ Ἔφοροι νύκτα καθαρὰν καὶ ἀσέληνον, σιωπῇ καθέζονται πρὸς τὸν [2] οὐρανὸν ἀποβλέποντες. ἐὰν οὖν ἐκ μέρους τινὸς εἰς ἕτερον μέρος ἀστὴρ διάξῃ, κρίνουσι τοὺς βασιλεῖς, ὡς περὶ τὸ θεῖον ἐξαμαρτάνοντας, καὶ καταπαύουσι τῆς ἀρχῆς, μέχρις ἂν ἐκ Δελφῶν, ἢ Ὀλυμπίας [3], χρησμὸς ἔλθῃ τοῖς ἡλωκόσι τῶν βασιλέων βοηθῶν. τοῦτο δὴ τὸ σημεῖον αὐτῷ γεγονέναι λέγων ὁ Λύσανδρος, κρίσιν τῷ Λεωνίδᾳ προὔθηκε, καὶ μάρτυρας παρεῖχεν, ὡς ἐκ γυναικὸς Ἀσιανῆς, ἣν τῶν Σελεύκου τινὸς ὑπάρχων [4] αὐτῷ συνοικίσαντος ἔσχε, τεκνώσαιτο δύο παιδία· δυσχεραινόμενος δὲ καὶ μισούμενος ὑπὸ τῆς γυναικὸς, ἐπανέλθοι παρὰ γνώμην οἴκαδε, καὶ διαδοχῆς ἔρημον ἀνέλοιτο [5] βασίλειον. ἅμα δὲ τῇ δίκῃ Κλεόμβροτον ἔπειθε τῆς βασιλείας ἀντιποιεῖσθαι, γαμβρὸν ὄντα τοῦ Λεωνίδου, γένους δὲ τοῦ βασιλικοῦ. φοβηθεὶς οὖν ὁ Λεωνίδας, ἱκέτης γίνεται τῆς Χαλκιοίκου, καὶ συνικέτευεν ἡ θυγάτηρ τῷ πατρὶ, τὸν Κλεόμβροτον ἀπολιποῦσα. καλουμένου δὲ πρὸς τὴν δίκην αὐτοῦ, καὶ μὴ καταβαίνοντος ἐκείνου, ἀποψηφισάμενοι τὴν βασιλείαν τῷ Κλεομβρότῳ παρέδωκαν.

XII.

1 SG. Λεωνίδα. Sic & infra.

2 abest artic. τὸν a SG.

3 R. susp. Δωδώνης; Br. Ὀλυμπιάσι, quod & V. voluisse putat, qui dat Ὀλυμπιάς.

4 In SG. ἱππάρχων est emendatum, ab initio autem exaratum ὑπάρχων. Seq. συνοικίσαντος dari voluit Br. deditque R. pro vulg. συνοικήσ. — nec non τεκνώσαιτο cum V. Anon. & SG. pro vulg. τεκνῶσαι. V. τὰ δύο παιδ.

5 Sic cum SG. dedit R. pro vulg. ἀνέλοι τὸ βασ.

XII. Ἐν τούτῳ δὲ τῆς ἀρχῆς [1] ὁ Λύσανδρος ἀπηλλάγη, τοῦ χρόνου διελθόντος. οἱ δὲ [2] κατασταθέντες Ἔφοροι τὸν μὲν Λεωνίδαν ἀνέστησαν ἱκετεύοντα, τῷ δὲ Λυσάνδρῳ καὶ τῷ Μανδροκλείδᾳ δίκην ἐπῆγον, ὡς παρὰ τὸν νόμον χρεῶν ἀποκοπὰς καὶ γῆν ἀναδάσασθαι ψηφισαμένοις. κινδυνεύοντες οὖν ἐκεῖνοι, πείθουσι τοὺς βασιλεῖς ὁμοῦ γενομένους χαίρειν ἐᾷν τὰ τῶν Ἐφόρων βουλεύματα· τοῦτο γὰρ τὸ ἀρχεῖον ἰσχύειν ἐκ διαφορᾶς τῶν βασιλέων, τῷ τὰ βελτίονα [3] λέγοντι προστιθέμενον τὴν ψῆφον, ὅταν ἅτερος ἐρίζῃ πρὸς τὸ συμφέρον· ἀμφοῖν δὲ ταὐτὰ βουλευομένων, ἄλυτον εἶναι τὴν ἐξουσίαν, καὶ παρανόμως μαχεῖσθαι πρὸς τοὺς βασιλεῖς· ὧν μαχομένων, διαιτᾷν καὶ βραβεύειν αὐτοῖς εἶναι προσῆκον [4], οὐχὶ πολυπραγμονεῖν ὁμοφρονούντων. οὕτω δὴ πεισθέντες ἀμφότεροι, καὶ μετὰ τῶν φίλων εἰς ἀγορὰν καταβάντες, ἀνέστησαν μὲν τῶν δίφρων [5] τοὺς Ἐφόρους, ἄλλους δ' ἀντ' αὐτῶν ἀπέδειξαν, ὧν εἷς ἦν Ἀγησίλαος. ὁπλίσαντες δὲ τῶν νέων πολλοὺς, καὶ λύσαντες τοὺς δεδεμένους, ἐγένοντο φοβεροὶ τοῖς ὑπεναντίοις, ὡς πολλοὺς ἀποκτενοῦντες. ἀπέθανε δ' οὐδεὶς ὑπ' αὐτῶν, ἀλλὰ καὶ Λεωνίδαν εἰς Τεγέαν ὑπεξιόντα βουληθέντος διαφθεῖραι τοῦ Ἀγησιλάου, καὶ πέμψαντος ἐπ' αὐτὸν εἰς τὴν ὁδὸν ἄνδρας, πυθόμενος ὁ Ἆγις ἑτέρους ἀπέστειλε πιστοὺς, οἳ τὸν Λεωνίδαν περιέχοντες, ἀσφαλῶς εἰς Τεγέαν κατέστησαν.

XIII.

1 Sic cum V. Anon. & SG. dari voluit Duf. deditque R. pro vulg. δὲ ἀρχῆς.

2 Partic. δὲ ex consensu omnium Bryanea priorum edd. restitui. Haec sola dedit οἱ καὶ κατασ. — eamque sequitur R. Pro κατασταθ. Junt. καταθέντες.

3 honestiora, quae suadebat Agis. — In seq. ὅταν ἅτερος — designatur Leonidas. R. tamen non consiare videtur haec interpretatio cum rationibus universi loci. Quaerit, num pro βελτ. leg. χείρονα.

4 SG. προσῆκεν. Sic & Junt.

5 Vulgo ἐκ τῶν δ. R. delevit ἐκ, omissum a Junt. Ald. Crat.

XIII. Οὕτω δὲ τῆς πράξεως αὐτοῖς ὁδῷ βαδιζέσης, καὶ μηδενὸς ἐνισαμένε, μήτε διακωλύοντος, εἷς ἀνὴρ, Ἀγησίλαος, ἀνέτρεψε πάντα καὶ διελυμήνατο, κάλλιςον νόμον [1] καὶ Λακωνικώτατον αἰσχίςῳ νοσήματι, τῇ Φιλοπλετίᾳ, διαφθείρας. ἐπειδὴ γὰρ ἐκέκτητο μὲν ἐν τοῖς μάλιςα πολλὴν καὶ ἀγαθὴν χώραν, ὤφειλε δὲ πάμπολλα, μήτε διαλῦσαι δυνάμενος τὰ χρέα, μήτε τὴν χώραν προέσθαι βελόμενος, ἔπεισε τὸν Ἆγιν, ὡς, ἀμφοτέρων [2] μὲν ἅμα πραττομένων, μέγας ἔσοιτο περὶ τὴν πόλιν νεωτερισμός [3]. εἰ δὲ τῇ τῶν χρεῶν ἀφαιρέσει θεραπευθεῖεν οἱ κτηματικοὶ πρότερον, εὐκόλως ἂν αὐτῶν καὶ καθ' ἡσυχίαν ὕςερον ἐνδεξομένων τὸν ἀναδασμόν. ταῦτα δὲ καὶ τοῖς περὶ τὸν [4] Λύσανδρον ἐδόκει, συνεξαπατωμένοις ὑπὸ τε Ἀγησιλάε. καὶ τὰ παρὰ τῶν χρεωςῶν γραμματεῖα συνεισενέγκαντες [5] εἰς ἀγορὰν, ἃ κλάρια καλεσι, καὶ πάντα συνθέντες εἰς ἓν, ἐνέπρησαν. ἀρθείσης δὲ φλογὸς, οἱ μὲν πλέσιοι καὶ δανειςικοὶ περιπαθεντες ἀπῆλθον· ὁ δ' Ἀγησίλαος, ὥσπερ ἐφυβρίζων, ἐκ ἔφη λαμπρότερον ἑωρακέναι φῶς, ἐδὲ πῦρ ἐκείνε καθαρώτερον. ἀξιέντων δὲ τῶν πολλῶν καὶ τὴν γῆν εὐθὺς

1 Pro *νόμον* SG. *διανόημα*.

2 Significat & abolitionem debitorum, & divisionem agrorum inter omnes aequis portionibus.

3 SG. *ὁ νεωτερισμὸς*; Id. *ἀφέσει* pro *ἀφαιρέσει*, quod sequitur. R. hanc quidem vulgatam non culpat, magis tamen frequentari monet *ἀφέσει* — *si domini fundorum obaerati prius placentur remissione & abolitione debitorum*, h. e. si chartae, syngraphae, creditoribus quondam datae, debitoribus reddantur, aut publice crementur. — *Κτηματικοὶ* non sunt locupletes, sed hi, quibus fundi, villae, domus sunt, tametsi sint obaerati. — Hos fundorum dominos facile passuros, ut fundi sui sibi adimantur, & inter plures dividantur.

4 abest *τὸν* a SG.

5 V. & SG. *συνενέγκαντες*. SG. paulo post *συνέπρησαν* pro *ἐνέπρ*.

εὐθὺς νέμεσθαι, καὶ τῶν βασιλέων οὕτω ποιεῖν κελευόντων, ἀσχολίας τινὰς ἐμβαλὼν ὁ Ἀγησίλαος ἀεὶ, καὶ προφάσεις λέγων, παρήγαγε [1] τὸν χρόνον· ἄχρις οὗ στρατεία συνέβη τῷ Ἄγιδι, μεταπεμπομένων τῶν Ἀχαιῶν, συμμάχων ὄντων, βοήθειαν ἐκ Λακεδαίμονος. Αἰτωλοὶ γὰρ ἦσαν ἐπίδοξοι διὰ τῆς Μεγαρικῆς ἐμβαλοῦντες εἰς Πελοπόννησον· καὶ τοῦτο κωλύσων Ἄρατος, ὁ τῶν Ἀχαιῶν στρατηγὸς, ἤθροιζε [2] δύναμιν, καὶ τοῖς Ἐφόροις ἔγραφεν.

XIV. Οἱ δὲ τὸν Ἄγιν εὐθὺς ἐξέπεμπον, ἐπηρμένον [3] τῇ φιλοτιμίᾳ καὶ προθυμίᾳ τῶν συστρατευομένων. νέοι [4] γὰρ ὄντες οἱ πλεῖστοι καὶ πένητες, καὶ τὴν ἀπὸ [5] τῶν χρεῶν ἄδειαν ἔχοντες ἤδη, καὶ λελυμένοι, τοὺς δ' ἀγροὺς ἐλπίζοντες, ἂν ἐπανέλθωσιν ἐκ τῆς στρατείας, νεμηθήσεσθαι, θαυμαστοὺς τῷ Ἄγιδι παρεῖχον ἑαυτούς· καὶ θέαμα ταῖς πόλεσιν ἦσαν, ἀβλαβῶς καὶ πρᾴως καὶ μονονοὺκ [6] ἀψοφητὶ διαπορευόμενοι τὴν Πελοπόννησον. ὥστε θαυμάζειν καὶ διαλογίζεσθαι τοὺς Ἕλληνας, οἷος ἦν ἄρα κόσμος Λακωνικοῦ στρατεύματος, Ἀγησίλαον ἔχοντος, ἢ Λύσανδρον ἐκεῖνον, ἢ Λεωνίδαν τὸν παλαιὸν ἡγούμενον, ὅπου πρὸς μειράκιον ὀλίγου δεῖν νεώτατον ἁπάντων αἰδὼς τοσαύτη καὶ φόβος ἐστὶ τῶν στρατευομένων. καὶ μέντοι καὶ αὐτὸς ὁ νεανίσκος, εὐτελείᾳ καὶ φιλοπονίᾳ καὶ τῷ μηδὲν ἰδιώτου λαμπρότερον ἠμφιέσθαι καὶ ὡπλίσθαι σεμνυνόμενος, ἀξιοθέατος ἦν καὶ ζηλωτὸς ὑπὸ τῶν πολλῶν. ἐπεὶ τοῖς γε πλουσίοις οὐκ ἤρεσκεν ὁ νεωτερισ-

1 V. & SG. παρῆγε. SG. paulo post ἄχρι οὗ.

2 Sic est in omnibus edd. Bryanea excepta, quam R. sequitur, & sic restitui pro ἤθροισε, quod habent hae edd.

3 V. & SG. ἐπηρμένοι.

4 V. ξένοι, quod probat Mos. Dus.

5 V. & SG. καὶ τὴν μὲν ἀπὸ; quod probat Mos. Dus. ob insequens τοὺς δὲ ἀγρ.

6 Vulgo μονονοὺ καὶ ἀψοφ. R. cum SG. dedit μονονοὺκ absque interjecto καὶ. Br. legit μονονουχί.

ρισμὸς αὐτοῦ, δεδιόσι, μὴ κίνημα καὶ παράδειγμα τοῖς πανταχόσε δήμοις γένηται.

XV. Συμμίξας δὲ τῷ Ἀράτῳ περὶ Κόρινθον ὁ Ἆγις, ὅτι βουλευομένῳ περὶ μάχης καὶ παρατάξεως πρὸς τοὺς πολεμίους, ἐπεδείξατο καὶ προθυμίαν πολλὴν, καὶ τόλμαν οὐ μανικὴν, οὐδ' ἀλόγιστον [1]. ἔφη γὰρ, αὐτῷ μὲν δοκεῖν διαμάχεσθαι, καὶ μὴ παριέναι τὸν πόλεμον εἴσω τὰς πύλας τῆς Πελοποννήσου προεμένους· ποιήσειν δὲ τὸ δοκοῦν Ἀράτῳ· καὶ γὰρ πρεσβύτερόν τ' εἶναι, καὶ στρατηγεῖν Ἀχαιῶν, οἷς οὐχὶ προστάξων [2], οὐδ' ἡγησόμενος, ἀλλὰ συστρατευσόμενος ἥκοι καὶ βοηθήσων. ο δὲ Σινωπεὺς Βάτων αὐτὸν οὐκ ἐθέλειν μάχεσθαι φησὶ τὸν Ἆγιν, Ἀράτου κελεύοντος· οὐκ ἐντετυχηκὼς, οἷς Ἄρατος γέγραφε περὶ τούτων ἀπολογιζόμενος, ὅτι βέλτιον ἡγεῖτο, τοὺς καρποὺς σχεδὸν ἅπαντας συγκεκομισμένων [3] ἤδη τῶν γεωργῶν, παρελθεῖν τοὺς πολεμίους, ἢ μάχῃ διακινδυνεῦσαι περὶ τῶν ὅλων. ἐπεὶ δ' οὖν Ἄρατος ἀπέγνω μάχεσθαι, καὶ τοὺς συμμάχους ἐπαινέσας διαφῆκε, θαυμασθεὶς ὁ Ἆγις ἀνεζεύγνυεν, ἤδη τῶν ἔνδον ἐν Σπάρτῃ θόρυβον πολὺν ἐχόντων καὶ μεταβολήν.

XVI. Ὁ γὰρ Ἀγησίλαος ἐφορεύων, ἀπηλλαγμένος οἷς ταπεινὸς ἦν πρότερον, οὐδενὸς ἐφείδετο φέροντος ἀργύριον ἀδικήματος, ἀλλὰ μῆνα τρισκαιδέκατον, οὐκ ἀπαιτούσης τότε τῆς περιόδου, παρὰ τὴν νενομισμένην τάξιν τῶν χρόνων ἐνέβαλε τοῖς τέλεσι, καὶ παρέπραττε. δεδιὼς δὲ τοὺς ἀδικουμένους, καὶ μισούμενος ὑπὸ πάν-



1 R. susp. τόλμαν (subaudiendo a communi πολλὴν) οὐ μανικὴν δ', οὐδ' ἀσυλλόγιστον. Ad seq. διαμάχεσθαι Idem subaudiendum monet δεῖν, & ad παριέναι adnotat, si repetatur ab ἵημι, ut significet intromittere, aditum concedere, nil opus esse partic. προεμένους; sin autem ab εἶμι repetatur, ut significet introire, hoc partic. mutandum esse cum infin. προέσθαι. Mavult denique εἴσω πυλῶν pro εἴσω τὰς πύλας.

2 V. προσάξων.

3 pro συγκομισαμένων. R.

των, ἔτρεφε μαχαιροφόρους, καὶ φυλαττόμενος ὑπὸ τούτων κατέβαινεν εἰς τὸ ἀρχεῖον. καὶ τῶν βασιλέων, τοῦ μὲν ὅλως καταφρονεῖν, τὸν δ' Ἆγιν ἐβούλετο δοκεῖν διὰ τὴν συγγένειαν μᾶλλον, ἢ διὰ τὴν βασιλείαν, ἔν τινι τιμῇ τίθεσθαι. διέδωκε δὲ λόγον, ὡς καὶ αὖθις ἐφορεύσων. διὸ θᾶσσον [1] ἀποκινδυνεύσαντες οἱ ἐχθροὶ, καὶ συστάντες, ἐκ Τεγέας ἀναφανδὸν τὸν Λεωνίδαν ἐπὶ τὴν ἀρχὴν κατήγαγον, ἡδέως καὶ τῶν πολλῶν θεασαμένων. ὠργίζοντο γὰρ πεφενακισμένοι, τῆς χώρας μὴ νεμηθείσης. τὸν μὲν οὖν Ἀγησίλαον ὁ υἱὸς, Ἱππομέδων, δεόμενος τῶν πολιτῶν, καὶ πᾶσι προσφιλὴς ὢν δι' ἀνδραγαθίαν, ὑπεξήγαγε καὶ διέσωσε. τῶν δὲ βασιλέων ὁ μὲν Ἆγις ἐπὶ τὴν Χαλκίοικον κατέφυγεν· ὁ δὲ Κλεόμβροτος εἰς τὸ τοῦ Ποσειδῶνος ἱερὸν ἐλθὼν ἱκέτευε· καὶ γὰρ ἐδόκει τούτῳ μᾶλλον ὁ Λεωνίδας χαλεπὸς εἶναι, καὶ παρεὶς τὸν Ἆγιν, ἐπὶ τοῦτον ἀνέβη στρατιώτας ἔχων· καὶ κατηγόρει μετ' ὀργῆς, ὅτι γαμβρὸς ὢν ἐπεβούλευσεν αὐτῷ, καὶ τὴν βασιλείαν ἀφείλετο, καὶ συνεξέβαλε τῆς πατρίδος.

XVII. Ὁ μὲν οὖν Κλεόμβροτος οὐδὲν εἶχεν εἰπεῖν, ἀλλ' ἠπορημένος ἐκάθητο καὶ σιωπῶν· ἡ δὲ Χειλωνὶς, ἡ τοῦ Λεωνίδου θυγάτηρ, πρότερον μὲν ἀδικουμένῳ τῷ πατρὶ συνηδικεῖτο, καὶ τοῦ Κλεομβρότου τὴν βασιλείαν παραλαβόντος, ἀποστᾶσα τὴν τοῦ πατρὸς συμφορὰν ἐθεράπευε, καὶ παρόντι μὲν συνικέτευε, φεύγοντος δὲ, πενθοῦσα καὶ χαλεπῶς ἔχουσα πρὸς τὸν Κλεόμβροτον διετέλει. τότε δ' αὖ πάλιν ταῖς τύχαις συμμεταβάλλουσα, μετὰ τοῦ ἀνδρὸς ἱκέτις [2] ὤφθη καθεζομένη, περιβεβληκυῖα χεῖρας ἐκείνῳ, καὶ τῶν παιδίων τὸ μὲν ἔνθεν, τὸ δ' ἔνθεν ὑπ' αὐτὴν ἔχουσα. θαυμαζόντων δὲ πάντων, καὶ δακρυόντων ἐπὶ τῇ χρηστότητι καὶ φιλοστοργίᾳ τῆς γυναικὸς, ἁψαμένη τῶν πέπλων καὶ τῆς κό-

μης

1 SG. διὸ καὶ θᾶσσον.
2 SG. ἱκέτης; id. paulo post τὰς χεῖρας.

μης ἀτημελῶς ἐχόντων· Τȣτ᾽, εἶπεν, ὦ πάτερ, ἐμοὶ τὸ σχῆμα καὶ τὴν ὄψιν ȣχ ὁ Κλεομβρότȣ περιτέθεικεν ἔλεος, ἀλλ᾽ ἀπὸ τῶν σῶν κακῶν καὶ τῆς σῆς φυγῆς μεμένηκέ μοι σύντροφον καὶ σύνοικον τὸ πένθος. πότερον ȣν δεῖ με, σȣ βασιλεύοντος ἐν Σπάρτῃ καὶ νικῶντος ἐγκαταβιῶναι ταύταις ταῖς συμφοραῖς, ἢ λαβεῖν ἐσθῆτα λαμπρὰν καὶ βασιλικὴν, ἐπιδȣσαν ὑπὸ σȣ τὸν παρθένιον ἄνδρα φονευόμενον; ὃς εἰ μὴ παραιτεῖταί σε, μηδὲ πείθει τέκνων καὶ γυναικὸς δάκρυσι, χαλεπωτέραν, ἢ σὺ βȣλει, δίκην ὑφέξει τῆς κακοβȣλίας, ἐπιδὼν ἐμὲ τὴν φιλτάτην αὐτῷ προαποθανȣσαν. τίνι γαρ ἐμὲ δεῖ ζῆν παῤῥησίᾳ πρὸς τὰς ἄλλας γυναῖκας, ἣ μήτε παρ᾽ ἀνδρὸς δεομένη, μήτε παρὰ πατρὸς, ἔλεός ἐστιν; ἀλλὰ καὶ γυνὴ καὶ θυγάτηρ συνατυχεῖν καὶ συνατιμάζεσθαι τοῖς ἐμαυτῆς ἐγενόμην. τȣτῳ μὲν ȣν εἰ καί τις ἦν λόγος εὐπρεπὴς, ἐγὼ τȣτον ἀφειλόμην τότε σοι συνεξετασθεῖσα, καὶ καταμαρτυρήσασα τῶν ὑπὸ τȣτῳ γενομένων· σὺ δ᾽ αὐτῷ τὸ ἀδίκημα ποιεῖς εὐαπολόγητον, ȣτω μέγα καὶ περιμάχητον ἀποφαίνων τὸ βασιλεύειν, ὥστε δι᾽ αὐτὸ, καὶ γαμβρȣς φονεύειν, καὶ τέκνων ἀμελεῖν, εἶναι δίκαιον.

XVIII. Ἡ μὲν Χειλωνὶς τοιαῦτα ποτνιωμένη, τό τε πρόσωπον ἐπὶ τὴν κεφαλὴν ἐπέθηκε τȣ Κλεομβρότȣ, καὶ τὸ βλέμμα διεφθαρμένον καὶ συντετηκὸς ὑπὸ λύπης περιήνεγκεν εἰς τȣς παρόντας. ὁ δὲ Λεωνίδας διαλεχθεὶς τοῖς φίλοις, τὸν μὲν Κλεόμβροτον ἐκέλευσεν ἀναστάντα φεύγειν· τῆς δὲ παιδὸς μένειν ἐδεῖτο, καὶ μὴ καταλιπεῖν αὐτὸν [1] ȣτω φιλȣντα, καὶ δεδωκότα χάριν, τὴν τȣ ἀνδρὸς σωτηρίαν [2]. ȣ μὴν ἔπεισεν· ἀλλ᾽ ἀνισαμένῳ τῷ ἀνδρὶ θάτερον τῶν παιδίων ἐγχειρίσασα, θάτερον δ᾽ ἀναλαβȣσα, καὶ προσκυνήσασα τὸν



1 V. & SG. ἑαυτόν.
2 V. & SG. ἀνδρὸς αὐτῇ σωτηρίαν. Sic & legi testatur H. Steph.

τὸν βωμὸν τοῦ θεοῦ [1] συνεξῆλθεν· ὥστ', εἰ μὴ πάνυ διεφθαρμένος ἦν ὑπὸ κενῆς δόξης ὁ Κλεόμβροτος, εὐτύχημ' ἂν ἡγήσατο τὴν φυγὴν αὐτῷ τῆς βασιλείας μεῖζον εἶναι διὰ τὴν γυναῖκα. μεταστησάμενος δὲ τὸν Κλεόμβροτον ὁ Λεωνίδας, καὶ τοὺς πρώτους Ἐφόρους ἐκβαλὼν τῆς ἀρχῆς, ἑτέρους δὲ ποιησάμενος, εὐθὺς ἐπεβούλευε τῷ Ἄγιδι. καὶ πρῶτον μὲν ἔπειθεν αὐτὸν ἀναστῆναι καὶ συμβασιλεύειν, ὡς δεδωκότων συγγνώμην τῶν πολιτῶν· συνεξηπατῆσθαι γὰρ ὑπὸ τοῦ Ἀγησιλάου, νέον ὄντα καὶ φιλότιμον. ἐκείνου δ' ὑφορωμένου, καὶ κατὰ χώραν μένοντος, αὐτὸς μὲν ἐπαύσατο φενακίζων καὶ κατειρωνευόμενος· Ἀμφάρης δὲ, καὶ Δημοχάρης, καὶ Ἀρκεσίλαος, ἀναβαίνοντες εἰώθεσαν αὐτῷ διαλέγεσθαι· καί ποτε καὶ παραλαβόντες ἐπὶ τὸ [2] λουτρὸν ἀπὸ τοῦ ἱεροῦ κατήγαγον, καὶ λουσάμενον πάλιν εἰς τὸ ἱερὸν κατέστησαν. καὶ ἦσαν πάντες μὲν αὐτῷ συνήθεις. ὁ δ' Ἀμφάρης, καὶ κεχρημένος ἔναγχος ἱμάτια καὶ ποτήρια τῶν πολυτελῶν παρὰ τῆς Ἀγησιστράτας, ἐπεβούλευε διὰ ταῦτα [3] τῷ βασιλεῖ καὶ ταῖς γυναιξὶν, ὡς ἀποστερήσων. καὶ μάλιστά γ' αὐτὸς ὑπακοῦσαι [4] τῷ Λεωνίδᾳ λέγεται, καὶ παροξῦναι τοὺς Ἐφόρους, ὧν καὶ αὐτὸς εἷς ἦν.

XIX. Ἐπεὶ δ' ὁ Ἄγις τὸν μὲν ἄλλον ἐν τῷ ἱερῷ διέτριβε χρόνον, εἰώθει δὲ καταβαίνειν, ὅτε τύχοι, πρὸς τὸ λουτρὸν, ἐκεῖ συλλαβεῖν αὐτὸν ἔγνωσαν, ὅταν ἔξω τοῦ ἱεροῦ γένηται. καὶ παραφυλάξαντες λελουμένον, ἀπήντησαν καὶ ἠσπάσαντο, καὶ συμπροῆγον ἅμα διαλεγόμενοι, καὶ παίζοντες ὡς πρὸς συνήθη καὶ νέον. ἐκτροπὴν δέ τινα τῆς ὁδοῦ πλαγίαν πρὸς τὸ δεσμωτήριον

1 Sic dari voluit Br. deditque R. pro vulg. τῆς θεοῦ. — *Neptuni*.

2 abest τὸ a SG.

3 V. διὰ πάντα.

4 R. monente, idem est ac ὑπηρετῆσαι, *famulatus esse*. Mos. Dus. susp. ὑπεκκαῦσαι τὸν Λ.

ρίου ἐχούσης, ὡς ἐγένοντο κατ' αὐτὴν βαδίζοντες, ὁ μὲν Ἀμφάρης, διὰ τὸ ἄρχειν ἀψάμενος τοῦ Ἄγιδος· Ἄγω σε, εἶπεν, ἐπὶ τοὺς Ἐφόρους, ὦ Ἆγι, λόγον ὑφέξοντα τῶν πεπολιτευμένων· ὁ δὲ Δημοχάρης, εὔρωστος ὢν καὶ μέγας, τὸ ἱμάτιον περιβαλὼν περὶ τὸν τράχηλον, εἷλκεν. ἄλλων δ' ἐπωθούντων ὄπισθεν ἐκ παρασκευῆς, οὐδενὸς δὲ [1] βοηθοῦντος, ἀλλ' ἐρημίας οὔσης, ἐμβάλλουσιν αὐτὸν εἰς τὸ δεσμωτήριον. εὐθὺς δὲ παρῆν ὁ μὲν Λεωνίδας μισθοφόρους ἔχων πολλοὺς, καὶ τὸ οἴκημα περιέχεν ἔξωθεν· οἱ δ' Ἔφοροι πρὸς τὸν Ἆγιν εἰσῆλθον, καὶ τῶν γερόντων εἰς τὸ οἴκημα μεταπεμψάμενοι τοὺς ταὐτὰ βουλομένους, ὡς δὴ κρίσεως αὐτῷ γινομένης, ἐκέλευον ὑπὲρ τῶν πεπραγμένων ἀπολογεῖσθαι. γελάσαντος δὲ τοῦ νεανίσκου πρὸς τὴν εἰρωνείαν αὐτῶν, ὁ μὲν Ἀμφάρης οἰμωξόμενον ἐκάλει, καὶ δίκην ὑφέξοντα τῆς ἰταμότητος· ἄλλως δὲ τῶν Ἐφόρων, οἷον ἐνδιδοὺς τῷ Ἄγιδι, καὶ δεικνύων ἀποφυγὴν τῆς αἰτίας, ἠρώτησεν, εἰ ταῦτ' ἔπραξεν ὑπὸ Λυσάνδρου καὶ Ἀγησιλάου βιασθείς. ἀποκριναμένου δὲ τοῦ Ἄγιδος, ὡς βιασθεὶς μὲν ὑπ' οὐδενὸς, ζηλῶν δὲ καὶ μιμούμενος τὸν Λυκοῦργον ἐπὶ τὴν αὐτὴν ἔλθοι πολιτείαν, πάλιν ὁ αὐτὸς ἠρώτησεν, εἰ μετανοεῖ τοῖς πεπραγμένοις. φήσαντος δὲ τοῦ νεανίσκου, μὴ μετανοεῖν ἐπὶ τοῖς κάλλιστα βεβουλευμένοις, κἂν τὰ ἔσχατα πεισόμενον αὐτὸν ἴδῃ, θάνατον αὐτοῦ κατεψηφίσαντο, καὶ τοὺς ὑπηρέτας ἐκέλευον ἀπάγειν εἰς τὴν καλουμένην Δεκάδα [2]. τοῦτο δ' ἐστὶν οἴκημα τῆς εἱρκτῆς, ἐν ᾧ θανατοῦσι τοὺς καταδίκους ἀποπνίγοντες. ὁρῶν δὲ τοὺς ὑπηρέτας ὁ Δαμοχάρης οὐ τολμῶντας ἅψασθαι τοῦ Ἄγιδος,



1 abest δὲ a SG.

2 Cruf. *Cajadam* vult legi, quem lexica Graeca carcerem regium fuisse tradant, & Thucydides commemoret. Xyl. τὸν καλούμενον Καϊάδαν legendum minime dubitat, quandoquidem Δεκάδα hanc a nemine adhuc auctore alio nominari invenerit. Br. & Mos. Duf. tuentur δεκάδα, ut Carceris partem a *Cajada* diversam. Anon. καλουμένην Καϊάδα ex Thuc.

δος, ὁμοίως δὲ καὶ τῶν μισθοφόρων τοὺς παρεστῶτας ἀποστρεφομένους καὶ φεύγοντας τὸ ἔργον, ὡς οὐ θεμιτὸν, οὐδὲ νενομισμένον, βασιλέως σώματι τὰς χεῖρας προσφέρειν, διαπειλησάμενος αὐτοῖς, καὶ λοιδορηθεὶς, εἷλκεν αὐτὸς εἰς τὸ οἴκημα τὸν Ἆγιν. ἤδη γὰρ ᾔσθηντο [1] πολλοὶ τὴν σύλληψιν, καὶ θόρυβος ἦν ἐπὶ ταῖς θύραις, καὶ φῶτα πολλὰ, καὶ παρῆσαν ἥ τε μήτηρ ἡ [2] τοῦ Ἄγιδος καὶ ἡ μάμμη, βοῶσαι, καὶ δεόμεναι, τὸν βασιλέα τῶν Σπαρτιατῶν λόγου καὶ κρίσεως τυχεῖν ἐν τοῖς πολίταις. διὸ καὶ μάλιστα κατήπειξαν τὴν ἀναίρεσιν, ὡς ἐξαρπαγησομένου νυκτὸς, ἂν πλείονες ἐπέλθωσιν.

XX. Ὁ μὲν οὖν Ἆγις ἐπὶ τὴν στραγγάλην πορευόμενος, ὡς εἶδέ τινα τῶν ὑπηρετῶν δακρύοντα καὶ περιπαθοῦντα· Παῦσαί με, εἶπεν, ὦ ἄνθρωπε, κλαίων· καὶ γὰρ οὕτως παρανόμως καὶ ἀδίκως ἀπολλύμενος, κρείττων εἰμὶ τῶν ἀναιρούντων· καὶ ταῦτ' εἰπὼν, παρέδωκε τῷ βρόχῳ τὸν τράχηλον ἑκουσίως. ὁ δ' Ἀμφάρης, προελθὼν [3] ἐπὶ τὰς θύρας, καὶ τὴν Ἀγησιστράταν προσπεσοῦσαν αὐτῷ διὰ συνήθειαν καὶ φιλίαν, ἀναστήσας, οὐδὲν ἔφη περὶ τὸν Ἆγιν ἔσεσθαι βίαιον, οὐδ' ἀνήκεστον· ἐκέλευε δὲ κἀκείνην, εἰ βούλοιτο [4], πρὸς τὸν υἱὸν εἰσελθεῖν. ἐκείνης δὲ καὶ τὴν μητέρα μετ' αὐτῆς παρεῖναι δεομένης, οὐδὲν ἔφη κωλύειν ὁ Ἀμφάρης· καὶ δεξάμενος ἀμφοτέρας, καὶ πάλιν κλεῖσαι τὰς θύρας τοῦ δεσμωτηρίου κελεύσας, προτέραν μὲν τὴν Ἀρχιδάμειαν παρέδωκεν, ἤδη σφόδρα πρεσβῦτιν οὖσαν, καὶ καταγεγηρακυῖαν ἐν ἀξιώματι μεγίστῳ τῶν πολιτίδων [5]. ἀποθανούσης δ' ἐκείνης, ἐκέλευσε τὴν Ἀγησιστράταν ἔσω βαδίζειν. ὡς δ' εἰσελθοῦσα τόν τε υἱὸν ἐθεάσατο χαμαὶ κείμε-

1 V. ᾔσθοντο, quod probat Duf.

2 abeſt ἡ a SG.

3 SG. προσελθών.

4 SG. βούλοι.

5 Sic cum SG. & Anon. ſcribi voluit Br. deditque R. pro vulg. πολιτικῶν.

κείμενον, καὶ τὴν μητέρα νεκρὰν ἐκ τοῦ βρόχου κρεμαμένην, ἐκείνην μὲν αὐτὴ τοῖς ὑπηρέταις συγκαθεῖλε, καὶ παρεκλείνασα τῷ Ἄγιδι τὸ σῶμα, περιέστειλε καὶ κατεκάλυψε· τῷ δ' υἱῷ προσπεσοῦσα, καὶ φιλήσασα τὸ πρόσωπον· Ἡ πολλή σε, εἶπεν, ὦ παῖ, εὐλάβεια καὶ τὸ πρᾶον καὶ φιλάνθρωπον ἀπώλεσε μεθ' ἡμῶν. ὁ δ' Ἀμφάρης ἀπὸ τῆς θύρας ὁρῶν τὰ γιγνόμενα, καὶ τὰς φωνὰς ἀκούων, ἐπεισῆλθε. καὶ πρὸς τὴν Ἀγησιςράταν μετ' ὀργῆς ἔφη· Εἰ τοίνυν ταυτὰ [1] ἐδοκίμαζες τῷ υἱῷ, ταυτὰ καὶ πείσῃ. καὶ ἡ Ἀγησιςράτα, πρὸς τὸν βρόχον ἀνιςαμένη· Μόνον, ἔφη, συνενέγκαι ταῦτα τῇ Σπάρτῃ [2].

XXI. Τοῦ δὲ πάθους εἰς τὴν πόλιν ἐξαγγελθέντος, καὶ τῶν τριῶν σωμάτων ἐκκομιζομένων, οὐκ ἦν ὁ φόβος οὕτω μέγας, ὥςε μὴ καταφανεῖς εἶναι τοὺς πολίτας ἀλγοῦντας [3] μὲν ἐπὶ τοῖς γεγονόσι, μισοῦντας δὲ τὸν Λεωνίδαν καὶ τὸν Ἀμφάρη· μηδὲν δὲ [4] δεινότερον, μηδ' ἀνοσιώτερον, ἐξ οὗ Δωριεῖς Πελοπόννησον οἰκοῦσιν, οἰομένους ἐν Σπάρτῃ πεπρᾶχθαι. βασιλεῖ γὰρ, ὡς ἔοικε, Λακεδαιμονίων οὐδ' οἱ πολέμιοι ῥᾳδίως ἐν ταῖς μάχαις ἀπαντῶντες προσέφερον τὰς χεῖρας, ἀλλ' ἀπετρέποντο, δεδιότες καὶ σεβόμενοι τὸ ἀξίωμα. διὸ καὶ πολλῶν γεγονότων Λακεδαιμονίοις [5] ἀγώνων πρὸς Ἕλληνας, εἷς μόνος ἀνῃρέθη πρὸ τῶν Φιλιππικῶν δόρατι πληγεὶς περὶ Λεῦκτρα, Κλεόμβροτος. Μεσηνίων δὲ καὶ



1 V. & SG. μετ' ὀργῆς εἶπεν· Εἰ τοίνυν, ἔφη, ταῦτα. Junt. Ald. Crat. ταῦτα.

2 Tudert. vertit: *in hoc duntaxat utilis fui Spartae.* Xyl. cum adnotatione, hujus versionis absurditatem declarante, vertit: *modo Spartae hoc prosit.*

3 V. ἀλλ' ἀλγοῦντας.

4 Sic R. cum V. dedit. Vulgo abest δέ. SG. Ἀμφάρην pro Ἀμφάρη. De Doriensibus cf. Pausan. in Argol. & init. Lacon. & Diodor. L. IV.

5 deest haec vox Junt. Ald. Crat.

καὶ Θεόπομπον ὑπ' Ἀριςομένους πεσεῖν λεγόντων, οὔ φασι Λακεδαιμόνιοι, πληγῆναι δὲ μόνον. ἀλλὰ ταῦτα μὲν ἔχει τινὰς ἀμφιβολίας [1]. ἐν δὲ Λακεδαίμονι πρῶτος Ἆγις βασιλεύων ὑπ' Ἐφόρων ἀπέθανε, καλὰ μὲν ἔργα καὶ πρέποντα τῇ Σπάρτῃ προελόμενος, ἡλικίᾳ δὲ γεγονὼς, ἐν ᾗ ἁμαρτάνοντες ἄνθρωποι συγγνώμης τυγχάνουσι· μεμφθεὶς δ' ὑπὸ τῶν φίλων δικαιότερον, ἢ τῶν ἐχθρῶν, ὅτι καὶ Λεωνίδαν περιέσωσε, καὶ τοῖς ἄλλοις ἐπίςευσεν, ἡμερώτατος καὶ πρᾳότατος γενόμενος.

## ΚΛΕΟΜΕΝΗΣ.

Ἀποθανόντος δ' αὐτοῦ, τὸν μὲν ἀδελφὸν, Ἀρχίδαμον, οὐκ ἔφθη συλλαβεῖν ὁ Λεωνίδας, εὐθὺς ἐκφυγόντα· τὴν δὲ γυναῖκα, παιδίον ἔχουσαν νεογνὸν, ἐκ τῆς οἰκίας ἀπαγαγὼν, βίᾳ Κλεομένει τῷ υἱῷ συνῴκισεν, οὐ πάνυ γάμων ὥραν ἔχοντι, τὴν δ' ἄνθρωπον ἄλλῳ δοθῆναι μὴ βουλόμενος. ἦν γὰρ οὐσίας τε μεγάλης ἐπίκληρος ἡ Ἀγιάτις, Γυλίππου τοῦ πατρὸς [2], ὥρᾳ τε καὶ κάλλει πολὺ τῶν Ἑλληνίδων διαφέρουσα, καὶ τὸν τρόπον ἐπιεικής. διὸ πολλὰ μὲν ἐποίησεν, ὥς φασι, μὴ βιασθῆναι δεομένη· συνελθοῦσα δ' εἰς ταυτὸ τῷ Κλεομένει, τὸν μὲν Λεωνίδαν ἐμίσει, περὶ δ' αὐτὸν τὸν νεανίσκον ἦν ἀγαθὴ γυνὴ καὶ φιλόςοργος, ἐρωτικῶς ἅμα τῷ λαβεῖν πρὸς αὐτὴν διατεθέντα, καί τινα τρόπον συμπαθοῦντα [3] τῇ πρὸς τὸν Ἆγιν εὐνοίᾳ καὶ μνήμῃ τῆς γυναικός· ὥςε καὶ πυνθάνεσθαι πολλάκις περὶ τῶν γεγονό-

1 V. & SG. ἀμφιλογίας. In seq. Iunt. Ald. Crat. πρῶτον pro πρῶτος.

2 R. subaudiendum monet γεγενημένης, *quae substantia Gylippo quondam fuerat, illius foeminae patri.*

3 ita etiam SG. a manu prima, sed ab altera correctum συντεθέντα.

γονότων, καὶ προσέχειν ἐπιμελῶς διηγουμένης ἐκείνης, ἣν ὁ Ἆγις ἔσχε διάνοιαν καὶ προαίρεσιν. ἦν δὲ καὶ φιλότιμος μὲν καὶ μεγαλόφρων ὁ Κλεομένης, καὶ πρὸς ἐγκράτειαν καὶ ἀφέλειαν οὐχ ἧττον τοῦ Ἄγιδος εὖ πεφυκώς. τὸ δ' εὐλαβὲς ἄγαν ἐκείνου [1] καὶ πρᾶον οὐκ εἶχεν, ἀλλὰ κέντρον τι θυμοῦ τῇ φύσει προσέκειτο, καὶ μετα σφοδρότητος ὁρμὴ πρὸς τὸ φαινόμενον ἀεὶ καλόν. ἐφαίνετο δὲ κάλλιστον μὲν αὐτῷ κρατεῖν ἑκόντων, καλὸν δὲ καὶ μὴ πειθομένων περιεῖναι, πρὸς τὸ βέλτιον ἐκβιαζόμενον.

II. Οὐκ ἤρεσκε μὲν οὖν αὐτῷ τὰ κατὰ τὴν πόλιν, ἀπραγμοσύνῃ καὶ ἡδονῇ κατακεκηλημένων τῶν πολιτῶν, καὶ τοῦ βασιλέως πάντα τὰ πράγματα χαίρειν ἐῶντος, εἰ μηδεὶς αὐτὸν ἐνοχλοίη σχολάζειν ἐν ἀφθόνοις καὶ τρυφᾶν βουλόμενον. ἀμελουμένων δὲ τῶν κοινῶν, κατ' οἰκίαν ἑκάστου [2] πρὸς αὐτὸν ἕλκοντος τὸ κερδαλέον· ἀσκήσεως δὲ καὶ σωφροσύνης νέων καὶ καρτερίας καὶ ἰσότητος, οὐδ' ἀσφαλὲς ἦν τούτῳ [3], τῶν περὶ Ἆγιν ἀπολωλότων,

1 SG. ἐκεῖνο.

2 H. Steph. maluit καὶ κατ' ἰδίαν ἑκάστου. R. cum non dici soleat — *homines trahunt ad se lucrum*, sed *lucrum trahit homines ad se*, legi mavult aut ἑκάστους πρὸς αὐτὸ ἕλκοντος τοῦ κερδαλέου, aut ἑκάστου πρὸς αὐτὸ (*ad solum*) νεύοντος τὸ κερδαλέον.

3 Τούτῳ mendosum esse, Xyl. monuit, ac, nisi quid desit, τοῦτο reponendum censuit. V. habet τοῦτο. Anon. τούτων τοὺς περὶ τὸν Ἆ. Mos. Duf. neutrum probat, & legit οὔτω τῶν περὶ τ. Ἆ. ἀ. R. geminam proponit correctionem, alteram, ut pro τούτῳ legatur φόβῳ, & sit sententia: *Exercitationis juvenum in armis & temperantiae & malorum patientiae & civilitatis atque aequitatis ne mentionem quidem facere licebat metu eorum, quae Agidi cum necessariis evenerant*; — alteram, ἀσκήσεως τε (pro δὲ, ut subaudiatur ἀμελουμένης) & quia porro contemnebatur juvenum in armis exercitatio cum reliquis virtutibus, οὐκ ἀσφαλὲς ἦν του (enclitice) τῶν περὶ Ἄγ. ἀπολ. μνημονεύειν, *tutum non erat, eorum, qui cum Agide perissent*

των, μνημονεύειν. λέγεται δὲ καὶ λόγων Φιλοσόφων τὸν Κλεομένην μεταχεῖν ἔτι μειράκιον ὄντα, Σφαίρȣ τȣ̃ Βορυσθενίτȣ παραβαλόντος [1] εἰς τὴν Λακεδαίμονα, καὶ περὶ τȣ̀ς νέȣς καὶ τȣ̀ς ἐφήβȣς ȣ̓κ ἀμελῶς διατρίβοντος. ὁ δὲ Σφαῖρος ἐν τοῖς πρώτοις ἐγεγόνει τῶν Ζήνωνος τȣ̃ Κιτιέως μαθητῶν, καὶ τȣ̃ Κλεομένȣς ἔοικε τῆς Φύσεως τὸ ἀνδρῶδες ἀγαπῆσαί τε, καὶ προσεκκαῦσαι τὴν Φιλοτιμίαν. Λεωνίδαν μὲν γὰρ τὸν παλαιὸν λέγȣσιν ἐπερωτηθένἰα, ποῖός τις αὐτῷ [2] Φαίνεται ποιητὴς γεγονέναι Τυρταῖος, εἰπεῖν· Ἀγαθὸς νέων ψυχὰς αἰκάλλειν [3]. ἐμπιπλάμενοι γὰρ ὑπὸ τῶν ποιημάτων ἐνθȣσιασμȣ̃, παρὰ τὰς μάχας ἠφείδȣν ἑαυτῶν. ὁ δὲ Στωϊκὸς λόγος ἔχει τι πρὸς τὰς μεγάλας Φύσεις καὶ ὀξείας ἐπισφαλὲς καὶ παράβολον· βαθεῖ δὲ καὶ πρᾴῳ κεραννύμενος ἤθει, μάλιστα εἰς τὸ οἰκεῖον ἀγαθὸν ἐπιδίδωσιν.

III. Ἐπεὶ δὲ, τελευτήσανἰος τȣ̃ Λεωνίδȣ, τὴν βασιλείαν παρέλαβε, καὶ τȣ̀ς πολίτας τότε δὴ παντάπασιν

*sent, nominatim commemorare.* Equidem sic distinguo, &, ut sensus existat planior, manca suppleo: ȣ̓δ. ἀσφαλὲς ἦν, διὰ τὴν τȣ́των ἐπιμέλειαν τῶν περὶ τ. Ἄ. ἀπολ. periculosum erat, Agide propter harum rerum curam interfecto.

1 Sic R. dedit de suo pro vulg. παραβάλλοντος.

2 V. αὐτός.

3 Junt. Ald. Crat. uno λ, αἰκάλειν, quod Xyl. aliquo modo defendit, minime tamen, ut Br. ex ejus verbis colligit, unice scribendum putat. Sensum autem verbi αἰκάλλειν, *blandiri*, & *deliuire*, ex Aristophane illustrat. Alibi Plut. de eadem hac re loquens (in Apophth. Lacon.) utitur κακανεῖν. Hinc e V. affertur κακἰανεῖν, e SG. κακκανῆν. R. haec habet: „Verbum hoc (αἰκάλλειν) inveniens extra connexum, in deliciis sim habiturus. Jam, praemisso προσεκκαῦσαι, insequente γὰρ, parum absum, quin suspicer, h. l. legendum esse ἐκκαίειν: praesertim cum in Junt. cernatur αἰκάλειν (uno λ) & in alio Plutarchi loco legatur κακανεῖν — unde efficiendum κακκανεῖν, i. e. κατακανεῖν, efficere mentem alicujus κανὴν, ita quasi siccam & aridam, veluti lignum aliquod κανὸν, ut facile ignem suscipiat atque exardescat, h. e. reddere patientem disciplinae avidamque ejus, ut praecepta celeriter corripiat."

σιν ἐκλελυμένους ἑώρα, τῶν μὲν πλουσίων καθ' ἡδονὰς ἰδίας καὶ πλεονεξίας παρορώντων τὰ κοινὰ, τῶν δὲ πολλῶν, διὰ τὸ πράττειν κακῶς περὶ τὰ οἰκεῖα, καὶ πρὸς τὸν πόλεμον ἀπροθύμων καὶ πρὸς τὴν ἀγωγὴν ἀφιλοτίμων γεγονότων· αὐτοῦ δ' ὄνομα βασιλεύοντος ἦν μόνον, ἡ δ' ἀρχὴ πᾶσα τῶν Ἐφόρων· εὐθὺς μὲν εἰς νοῦν ἔθετο τὰ παρόντα μεθιστάναι καὶ κινεῖν. ὄντος δ' αὐτῷ φίλου Ξενάρους, ἐραστοῦ γεγονότος· (τοῦτο δ' ἐμπνεῖσθαι [1] Λακεδαιμόνιοι καλοῦσιν·) ἀπεπειρᾶτο τούτου, διαπυνθανόμενος τὸν Ἆγιν, ὁποῖος γένοιτο βασιλεὺς, καὶ τίνι τρόπῳ καὶ μετὰ τίνων ἐπὶ ταύτην ἔλθοι τὴν ὁδόν. ὁ δὲ Ξενάρης τὸ μὲν πρῶτον οὐκ ἀηδῶς ἐμέμνητο τῶν πραγμάτων ἐκείνων, ὡς ἐπράχθη καθ' ἕκαστα μυθολογῶν καὶ διηγούμενος· ὡς δ' ἦν καταφανὴς αὐτῷ ὁ Κλεομένης ἐμπαθέστερον προσέχων, καὶ κινούμενος ὑπερφυῶς πρὸς τὴν καινοτομίαν τοῦ Ἄγιδος, καὶ ταὐτὰ πολλάκις ἀκούειν βουλόμενος, ἐπέπληξεν αὐτῷ πρὸς ὀργὴν ὁ Ξενάρης, ὡς οὐχ ὑγιαίνοντι· καὶ τέλος ἀπέστη τοῦ διαλέγεσθαι καὶ φοιτᾷν πρὸς αὐτόν. οὐδενὶ μέντοι τὴν αἰτίαν ἔφρασε τῆς διαφορᾶς, ἀλλ' αὐτὸν ἔφη γινώσκειν ἐκεῖνον. οὕτω δὲ τοῦ Ξενάρους ἀντικρούσαντος, ὁ Κλεομένης, καὶ τοὺς ἄλλους ὁμοίως ἔχειν ἡγούμενος, αὐτὸς ἐν ἑαυτῷ συνετίθει τὴν πρᾶξιν. οἰόμενος δ' ἂν ἐν πολέμῳ μᾶλλον, ἢ κατ' εἰρήνην, μεταστῆσαι τὰ παρόντα, συνέκρουσε πρὸς τοὺς Ἀχαιοὺς τὴν πόλιν, αὐτοὺς διδόντας ἐγκλημάτων προφάσεις. ὁ γὰρ Ἄρατος, ἰσχύων μέγιστον ἐν τοῖς Ἀχαιοῖς, ἐβούλετο μὲν ἐξ ἀρχῆς εἰς μίαν σύνταξιν [2] ἀγαγεῖν Πελοποννησίους· καὶ τοῦτο τῶν πολλῶν στρατηγιῶν αὐτῷ καὶ τῆς μακρᾶς πολιτείας ἦν τέλος, ἡγουμένῳ μόνως ἂν οὕτως ἀνεπιχειρήτους ἔσεσθαι τοῖς ἐκτὸς πολεμίοις. ἐπεὶ δὲ, τῶν ἄλλων σχεδὸν ἁπάντων αὐτῷ προσγεγονότων, ἀπελείποντο Λακεδαι-

κεδαι-

1 Xyl. monente, idem etiam *εἰσπνεῖσθαι* dicebatur.

2 Xyl. vertit: *in unam civitatem atque foedus.* Tudert. contra loci sensum: *in unam conferendi tributi societatem.*

κεδαιμόνιοι καὶ Ἠλεῖοι, καὶ ὅσοι Λακεδαιμονίοις Ἀρκάδων προσεῖχον, ἅμα τῷ τὸν Λεωνίδαν ἀποθανεῖν παρηνώχλει τοῖς Ἀρκάσι, καὶ περιέκοπτεν αὐτῶν μάλιϛα τȣς τοῖς Ἀχαιοῖς ὁμορȣ͂ντας· ἀποπειρώμενος τῶν Λακεδαιμονίων, καὶ τȣ͂ Κλεομένȣς, ὡς νέȣ καὶ ἀπείρȣ, καταφρονῶν.

IV. Ἐκ τȣ́τȣ Κλεομένην [1] πρῶτον οἱ Ἔφοροι πέμπȣσι καταληψόμενον τὸ περὶ τὴν Βελβίναν Ἀθήναιον. ἐμβολὴ δὲ τῆς Λακωνικῆς τὸ χωρίον ἐϛὶ, καὶ τότε πρὸς τȣ̀ς Μεγαλοπολίτας ἦν ἐπίδικον. καταλαβόντος δὲ τȣ͂το καὶ τειχίσαντος τȣ͂ Κλεομένȣς, ὁ Ἄρατος ȣ̓δὲν ἐγκαλέσας, ἀλλὰ νυκτὸς ἐκϛρατεύσας, ἐπεχείρησε Τεγεάταις καὶ Ὀρχομενίοις· τῶν δὲ προδοτῶν ἀποδειλιασάντων, ὁ μὲν Ἄρατος ἀνεχώρησε, λεληθέναι νομίζων· ὁ δὲ Κλεομένης εἰρωνείᾳ χρώμενος ἔγραψε πρὸς αὐτὸν, ὡς δὴ παρὰ φίλȣ πυνθανόμενος; πȣ͂ τῆς νυκτὸς ἐξέλθοι. τȣ͂ δ' ἀντιγράψαντος, ὡς ἐκεῖνον Βελβίναν [2] μέλλειν τειχίζειν ἀκȣ́σας, καταβαίη τȣ͂το κωλύσων· πάλιν ὁ Κλεομένης ἀποϛείλας, τȣ͂το μὲν ȣ̔́τως ἔχειν ἔφη πεπεῖσθαι· τȣ̀ς δὲ φανȣ̀ς καὶ τὰς κλίμακας, εἶπεν, εἰ μή τί σοι διαφέρει, γράψον ἡμῖν, ἐπὶ τί σοι παρηκολȣ́θȣν; τȣ͂ δ' Ἀράτȣ πρὸς τὸ σκῶμμα γελάσαντος, καὶ πυνθανομένȣ, ποῖός τις ὁ νεανίσκος εἴη, Δημοκράτης [3], ὁ Λακεδαιμόνιος φυγάς· Εἴ τι πράττεις, ἔφη, πρὸς Λακεδαιμονίȣς, ὥρα σοι ταχύνειν [4] πρὸ τȣ͂ κέντρα φῦσαι τȣ͂τον τὸν νεοσσόν. ἐκ τȣ́τȣ Κλεομένει μεθ' ἱππέων ὀλίγων καὶ πεζῶν τριακοσίων ἐν Ἀρκαδίᾳ ϛρατοπεδευομένῳ προσέταξαν ἀναχωρεῖν οἱ Ἔφοροι, φοβȣ́μενοι τὸν πόλε-

1 SG. Κλεομένη. Sic & infra. Ad Βελβίναν lin. seq. Xyl. adnotat, esse Laconicae oppidum, Ptolemaeo Βλεμμίνα, Pausaniae Βελεμίνα, Suidae Βελυβίνα.

2 V. Ἀθήναιον τὸν Βελβίναν.

3 SG. Δαμοκράτης. Pro Παλάντ. Id. infra Παλλάντιον.

4 V. τυγχάνει.

πόλεμον. ἐπεὶ δ', ἀναχωρήσαντος αὐτοῦ, Καφύας ἔλαβεν ὁ Ἄρατος, αὖθις ἐξέπεμπον τὸν Κλεομένην. λαβόντος δ' αὐτοῦ Μεθύδριον, καὶ τὴν Ἀργολικὴν καταδραμόντος, ἐξεστράτευσαν οἱ Ἀχαιοὶ δισμυρίοις πεζοῖς καὶ χιλίοις ἱππεῦσιν, Ἀριστομάχου στρατηγοῦντος. ἀπαντήσαντος δὲ περὶ Παλάντιον Κλεομένους, καὶ βουλομένου μάχεσθαι, φοβηθεὶς τὴν τόλμαν ὁ Ἄρατος, οὐκ εἴασε διακινδυνεῦσαι τὸν στρατηγὸν, ἀλλ' ἀπῆλθε, λοιδορούμενος μὲν ὑπὸ τῶν Ἀχαιῶν, χλευαζόμενος δὲ καὶ καταφρονούμενος ὑπὸ τῶν Λακεδαιμονίων, οὐδὲ πεντακισχιλίων τὸ πλῆθος ὄντων. μέγας οὖν τῷ φρονήματι γεγονὼς ὁ Κλεομένης, ἐθρασύνετο πρὸς τοὺς πολίτας· καὶ τῶν παλαιῶν τινος αὐτοὺς ἀνεμίμνησκε βασιλέων, εἰπόντος, ὅτι μάτην [1] Λακεδαιμόνιοι πυνθάνονται περὶ τῶν πολεμίων, οὐ πόσοι εἰσὶν, ἀλλὰ ποῦ εἰσιν.

V. Ἐπεὶ δὲ, τοῖς Ἠλείοις πολεμουμένοις ὑπὸ τῶν Ἀχαιῶν βοηθήσας, καὶ περὶ τὸ Λύκαιον [2] ἀπιοῦσιν ἤδη τοῖς Ἀχαιοῖς ἐπιβαλὼν, ἅπαν μὲν ἐτρέψατο καὶ διεπτόησεν αὐτῶν τὸ στράτευμα, συχνοὺς δ' ἀνεῖλε καὶ ζῶντας ἔλαβεν, ὥστε καὶ περὶ Ἀράτου φήμην ἐκπεσεῖν εἰς τοὺς Ἕλληνας ὡς τεθνηκότος· ὁ μὲν οὖν [3] Ἄρατος, ἄριστα τῷ καιρῷ χρησάμενος, ἐκ τῆς τροπῆς ἐκείνης εὐθὺς ἐπὶ Μαντίνειαν ἦλθε, καὶ μηδενὸς ἂν προσδοκήσαντος, εἷλε τὴν πόλιν καὶ κατέσχε. τῶν δὲ Λακεδαιμονίων παντάπασι ταῖς γνώμαις ἀναπεσόντων, καὶ τῷ Κλεο-

1 Hoc vocabulum in alio Plutarchi loco, quo hoc dictum Agidi prisco tribuitur, non occurrit. H. Steph. mavult οὐ μάτην εἰπόντος, ὅτι — Eum sequuntur Kind & Schirach. Dacer. susp. ὅτι οὐκ ἂν δῆ. R. nil causae se videre fatetur, cur μάτην sollicitetur. Si quid mutandum sit, mavult μάχην συναψόμενοι Λακεδ. Adnotat porro H. Steph. in edd. praeced. exstitisse ὁπόσοι, pro quo reposuerit οὐ πόσοι. Est ea lectio in Ald. & Crat. — in Junt. autem datur οὐ πόσοι.

2 V. Λύκειον. Id. paulo post διεπτοίησεν pro διεπτόησεν.

3 abest οὖν a SG.

Κλεομένει πρὸς τὰς ϛρατείας ἐνιϛαμένων, ὥρμησε μεταπέμπεϑαι τὸν Ἄγιδος ἀδελφὸν, Ἀρχίδαμον, ἐκ Μεσήνης, ῷ βασιλεύειν ἀπὸ τῆς ἑτέρας οἰκίας ἦν προσῆκον, οἰόμενος, ἀμβλυτέραν τὴν τῶν Ἐφόρων ἀρχὴν ἔσεϑαι, τῆς βασιλείας ἰσοῤῥόπȣ καὶ ὁλοκλήρȣ γενομένης. οἱ δ' ἀνῃρηκότες πρότερον τὸν Ἄγιν, αἰϑόμενοι τȣ̃το, καὶ φοβηϑέντες, μὴ δίκην δῶσι, τȣ̃ Ἀρχιδάμȣ κατελϑόντος, ἐδέξαντο μὲν αὐτὸν εἰς τὴν πόλιν παραγενόμενον κρύφα, καὶ συγκατῆγον, εὐϑὺς δ' ἀπέκτειναν· εἴτ' ἄκοντος τȣ̃ Κλεομένȣς, ὡς οἴεται Φύλαρχος, εἴτε πειϑέντος ὑπὸ τῶν φίλων καὶ προεμένȣ τὸν ἄνϑρωπον αὐτοῖς. τῆς γὰρ αἰτίας τὸ πλεῖϛον ἐπ' ἐκείνȣς ἦλϑε, βεβιάϑαι τὸν Κλεομένην δοκȣ̃ντας.

VI. Οὐ μὴν ἀλλὰ κινεῖν εὐϑὺς ἐγνωκὼς τὰ κατὰ τὴν πόλιν, ἔπεισε τȣ̀ς Ἐφόρȣς χρήμασιν, ὅπως αὐτῷ ψηφίσωνται ϛρατείαν. ἐϑεράπευσε δὲ καὶ τῶν ἄλλων συχνȣ̀ς διὰ τῆς μητρὸς, Κρατησικλείας, ἀφειδῶς συγχορηγȣ́σης καὶ συμφιλοτιμȣμένης [1]. ἥ γε καὶ γάμȣ μὴ δεομένη, λέγεται διὰ τὸν υἱὸν ἄνδρα λαβεῖν πρωτεύοντα δόξῃ καὶ δυνάμει τῶν πολιτῶν. ἐξαγαγὼν δὲ τὴν ϛρατιὰν [2], καταλαμβάνει τῆς Μεγαλοπολίτιδος χωρίον, Λεῦκτρα [3]. καὶ γενομένης πρὸς αὐτὸν ὀξείας τῶν Ἀχαιῶν βοηϑείας, Ἀράτȣ ϛρατηγȣ̃ντος, ὑπὸ τὴν πόλιν αὐτὴν [4] παραταξάμενος ἡττήϑη μέρει τινὶ τȣ̃ ϛρατεύματος. ἐπεὶ δὲ χαράδραν τινὰ βαϑεῖαν ȣ̓κ εἴασε διαβῆναι τȣ̀ς Ἀχαιȣ̀ς ὁ Ἄρατος, ἀλλ' ἐπέϛησε τὴν δίωξιν, ἀγανακτȣ́ντων

1 V. φιλοτιμȣμένης.

2 Sic R. de ſuo dedit pro vulg. ϛρατείαν. Seq. καταλαμβάνει ex Junt. ſe revocaſſe monet R. pro vulg. λαμβάνει. Haec lectio ſola eſt in Br. vitioſe data. Omnes rel. edd. καταλαμβ.

3 Xyl. & Dacer. monet, locum hunc a Polyb. L. II. vocari Λαοδίκια.

4 Xyl. monente, hoc de Megalopoli videtur intelligendum.

νκήτων δὲ Λυδιάδας [1] ὁ Μεγαλοπολίτης συνεξώρμησε τοὺς περὶ αὐτὸν ἱππεῖς, καὶ διώκων, εἰς χωρίον ἀμπέλων καὶ τάφρων καὶ τοίχων μεστὸν ἐνσείσας, καὶ διασπασθεὶς περὶ ταῦτα, κακῶς ἀπήλλαττε· κατιδὼν ὁ Κλεομένης ἀνῆκε τοὺς Ταραντίνους καὶ τοὺς Κρῆτας ἐπ' αὐτὸν, ὑφ' ὧν ὁ Λυδιάδας ἀμυνόμενος εὐρώστως ἔπεσε. πρὸς τοῦτο θαῤῥήσαντες οἱ Λακεδαιμόνιοι, μετὰ βοῆς ἐνέβαλον τοῖς Ἀχαιοῖς, καὶ τροπὴν ὅλου τοῦ στρατεύματος ἐποίησαν. ἀποθανόντων δὲ συχνῶν, τοὺς μὲν ἄλλους ὑποσπόνδους ὁ Κλεομένης ἀπέδωκε, τὸν δὲ Λυδιάδου νεκρὸν ἀχθῆναι πρὸς αὐτὸν κελεύσας, κοσμήσας πορφυρίδι, καὶ στέφανον ἐπιθεὶς, πρὸς τὰς πύλας τῶν Μεγαλοπολιτῶν ἀπέστειλεν. οὗτος ἦν Λυδιάδας, ὁ καταθέμενος [2] τὴν τυραννίδα, καὶ τοῖς πολίταις ἀποδοὺς τὴν ἐλευθερίαν, καὶ τὴν πόλιν προσκομίσας [3] Ἀχαιοῖς.

VII. Ἐκ τούτου Κλεομένης μέγα φρονῶν ἤδη, καὶ πεπεισμένος, ἂν, ὡς βούλεται, τοῖς πράγμασι χρώμενος πολεμῇ πρὸς τοὺς Ἀχαιοὺς, ῥᾳδίως ἐπικρατήσειν, ἐδίδασκε τὸν τῆς μητρὸς ἄνδρα, Μεγιστόνουν, ὡς χρὴ τῶν Ἐφόρων ἀπαλλαγέντας εἰς μέσον θεῖναι τὰ κτήματα τοῖς πολίταις, καὶ τὴν Σπάρτην ἴσην γενομένην ἐγείρειν καὶ προάγειν ἐπὶ τὴν τῆς Ἑλλάδος ἡγεμονίαν. πει-

1 Anon. hic & infra Λυσιάδας, pro Λυσιάδας, quae vera est scriptura. Sic Cic. & Polyb. vocant, Xyl. & Dacer. scribi volunt, & Plut. in Arato, semel tantum usurpato nomine Λυδιάδας, semper habet. Collector. Var. lect. haec adnotat: „Hic codex (Anon. puta) passim loco Λ initialis habet A. Verisimillimum autem est, Anon. illum, quisquis fuerit, literam Λ putasse literam A esse, quod ex eo vel solo apparet, quod vocali Υ spiritum lenem nusquam superposuerit. Ergo hic pro Αὐσιάδας & Αὐσιάδου Λυσιάδας & Λυσιάδου legendum est." Infra pro Λυδιάδου SG. Λυδιάδην.

2 Sic Br. dedit cum SG. pro vulg. καθέμενος.

3 R. mavult προσκολλήσας, non tamen improbans vulgatam.

πειθένλας δ' ἐκείνȣ, δύο τῶν ἄλλων Φίλων [1], ἢ τρεῖς, προσέλαβε. συνέβη δὲ περὶ τὰς ἡμέρας ἐκείνας, καὶ τῶν Ἐφόρων ἕνα κοιμώμενον ἐν Πασιφάας [2] ὄναρ ἰδεῖν θαυμαςόν. ἐδόκει γὰρ ἐν ᾧ τόπῳ τοῖς Ἐφόροις ἐςὶ [3] καθεζομένοις χρηματίζειν, ἕνα δίφρον κεῖσθαι, τȣς δὲ τέτλαρας ἀνῃρῆσθαι· καὶ θαυμάζονλος αὐτȣ, φωνὴν ἐκ τȣ̃ ἱερȣ̃ γενέσθαι, φράζȣσαν, ὡς τȣ̃το τῇ Σπάρτῃ λῷόν ἐςι. ταύτην τὴν ὄψιν διηγȣμένȣ τȣ̃ Ἐφόρȣ πρὸς τὸν Κλεομένην, τὸ μὲν πρῶτον διεταράχθη, καθ' ὑποψίαν τινὰ, πειράζεσθαι δοκῶν· ὡς δ' ἐπείσθη, μὴ ψεύδεσθαι τὸν διηγȣ́μενον, ἐθάῤῥησε, καὶ λαβὼν, ὅσȣς ὑπώπλευσε [4] μάλιςα τῶν πολιτῶν ἐναντιώσεσθαι πρὸς τὴν πρᾶξιν, Ἡραίαν καὶ Ἀλσαίαν [5], τὰς πόλεις, ταττομένας ὑπὸ τοῖς Ἀχαιοῖς, εἷλε· καὶ σῖτον εἰσήγαγεν Ὀρχομενίοις, καὶ Μαντινείᾳ παρεςρατοπέδευσε· καὶ ὅλως ἄνω καὶ κάτω μακραῖς πορείαις ἀποτρύσας τȣς Λακεδαιμονίȣς, ἀπέλιπεν αὐτῶν δεηθέντων τȣς πολλȣς ἐν Ἀρκαδίᾳ, τȣς δὲ μισθοφόρȣς ἔχων αὐτὸς ἐπὶ τὴν Σπάρτην ἐχώρει. καὶ καθ' ὁδὸν οἷς ἐπίςευε μάλιςα καλῶς [6] πρὸς αὐτὸν ἔχειν, ἀνεκοινȣ̃το τὴν γνώμην, καὶ προῄει σχέδην [7], ὡς περὶ τὸ δεῖπνον ȣ̃σι τοῖς Ἐφόροις ἐπιπέσοι.

VIII. Γενόμενος δὲ τῆς πόλεως ἐγγὺς, Εὐρυκλείδαν μὲν εἰς τὸ τῶν Ἐφόρων συσσίτιον ἀπέςειλεν, ὥς τινα παρ' αὐτȣ̃ λόγον ἀπὸ ςρατείας [8] κομίζονλα· Θηρικίων

1 V. Φίλȣ.

2 SG. Πασιφάᾳ.

3 R. susp. ἔθος ἐςὶ.

4 SG. ὑπώπλευε.

5 Xyl. susp. Ἀλέαν, vel Ἀλαίαν, cum vocab. Ἀλσαίαν nusquam repererit, Aleae autem in Arcadia plures meminerint.

6 R. mavult μάλις' ἀκάκως, inprimis simpliciter, nulla mala fraude.

7 V. & SG. σχεδὸν.

8 SG. ςρατιᾶς. Pro seq. Θηρικ. Br. scribi voluit Θηρυκίων.

ρικίων δὲ καὶ Φοῖβις, καὶ δύο τῶν συντρόφων τȣ̃ Κλεομένȣς, ȣ̔ς Σαμοθρᾳ̃κας [1] καλȣ̃σιν, ἐπηκολȣ́θȣν ϛρατιώτας ὀλίγȣς ἔχοντες. ἔτι δὲ τȣ̃ Εὐρυκλείδα διαλεγομένȣ τοῖς Ἐφόροις, ἐπιδραμόντες ἐσπασμέναις ταῖς μαχαίραις ἔπαιον αὐτȣ́ς. ὁ μὲν ȣ̓̃ν πρῶτος Ἀγησίλαος [2], ὡς ἐπλήγη, πεσὼν, καὶ τεθνάναι δόξας, ἀτρέμα συναγαγὼν καὶ παρέλκων ἑαυτὸν ἐκ τȣ̃ οἰκήματος, ἔλαθεν εἰς τὶ [3] δωμάτιον εἰσερπύσας μικρὸν, ὃ Φόβȣ μὲν ἦν ἱερὸν, ἄλλως δὲ κεκλεισμένον ἀεὶ, τότε δ' ἐκ τύχης ἀνεῳγμένον ἐτύγχανεν. εἰς τȣ̃το συνενεγκὼν [4] ἑαυτὸν ἀπέκλεισε τὸ θύριον. οἱ δὲ τέσσαρες ἀνῃρέθησαν, καὶ τῶν ἐπιβοηθȣ́ντων αὐτοῖς πλείονες, ἢ δέκα. τȣ̀ς γὰρ ἡσυχίαν ἄγοντας ȣ̓κ ἔκτεινον [5], ȣ̓δὲ τȣ̀ς ἀπιόντας ἐκ τῆς πόλεως ἐκώλυον. ἐφείσαντο δὲ καὶ τȣ̃ Ἀγησιλάȣ μεθ' ἡμέραν ἐκ τȣ̃ ἱερȣ̃ προελθόντος.

IX. Ἔϛι δὲ [6] Λακεδαιμονίοις ȣ̓ Φόβȣ μόνον, ἀλλὰ καὶ Θανάτȣ καὶ Γέλωτος καὶ τοιȣ́των ἄλλων παθημάτων ἱερά. τιμῶσι δὲ τὸν Φόβον, ȣ̓χ, ὥσπερ ȣ̔̀ς ἀποτρέπονται δαίμονας, ἡγȣ́μενοι βλαβερὸν, ἀλλὰ τὴν πολιτείαν μάλιϛα συνέχεσθαι φόβῳ [7] νομίζοντες. διὸ καὶ προεκήρυττον οἱ Ἔφοροι τοῖς πολίταις εἰς τὴν ἀρχὴν εἰσιόντες, ὡς Ἀριϛοτέλης φησὶ, κείρεσθαι τὸν μύϛακα, καὶ προσέχειν τοῖς νόμοις, ἵνα μὴ χαλεποὶ ὦσιν αὐτοῖς·



1 Palmerio, iidem, esse videntur, quos vocat Herod. L. VI. Πυθέȣς. Br. & Mos. Dus. cum Dacer. aliud quid fuisse suspicantur, & quaerunt, num Σαμάντορας Plut. scripserit? — Paulo post SG. Εὐρυκλείδȣ pro Εὐρυκλείδα.

2 SG. Ἀγύλαιος, & fin. huj. cap. Ἀγυλαίȣ. Sic quoque habet Junt. Ald. Crat. E Steph. prodiit vulgata.

3 Junt. Ald. Crat. εἰς τὸ. Steph. εἰς τί.

4 SG. συνεισενεγκών.

5 V. ἔκτεινον.

6 Vulgo sec. Steph. additur καὶ, quod abest a Junt. Ald. Crat. & SG. & R. delevit.

7 Sic R. cum V. Anon. Steph. & SG. consentientibus Intt. reposuit pro vulg. νόμῳ.

τὸ τῦ μύσακος, οἶμαι προτείνοντες, ὅπως καὶ περὶ τα μικρότατα τὰς νέους πειθαρχεῖν ἐθίζωσι. καὶ τὴν ἀνδρείαν δέ μοι δοκῦσιν, ὀκ ἀφοβίαν, ἀλλὰ φόβον ψόγου καὶ δέος [1] ἀδοξίας οἱ παλαιοὶ νομίζειν. οἱ γὰρ δειλότατοι πρὸς τὰς νόμους θαῤῥαλεώτατοι πρὸς τὰς πολεμίους εἰσί· καὶ τὸ παθεῖν ἥκιστα δεδίασιν οἱ μάλιστα φοβόμενοι τὸ κακῶς ἀκῦσαι. διὸ καὶ καλῶς ὁ εἰπών·

—— ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς.

καὶ Ὅμηρος [2].

Αἰδοῖός τέ μοι ἐσσὶ, φίλε ἑκυρὲ, δεινός τε.

καὶ·

Σιγῇ δειδιότες σημάντορας.

το γὰρ αἰσχύνεσθαι μάλιστα συμβαίνει πρὸς ὃς καὶ τὸ δεδοικέναι τοῖς πολλοῖς. διὸ καὶ παρὰ τὸ τῶν Ἐφόρων συσσίτιον ἱδρύσαντο τὸν Φόβον ἐν Λακεδαίμονι [3], μοναρχίας ἐγγυτάτω κατασκευασάμενοι τὸ ἀρχεῖον.

X. Ὁ δ᾽ ὖν Κλεομένης, ἡμέρας γενομένης, προέγραψεν ὀγδοήκοντα τῶν πολιτῶν, ὃς ἔδει μεταςῆναι, καὶ τὰς δίφρους ἀνεῖλε τῶν Ἐφόρων, πλὴν ἑνὸς, ἐν ᾧ καθήμενος ἔμελλεν αὐτὸς χρηματίζειν. ἐκκλησίαν δὲ ποιήσας, ἀπελογεῖτο περὶ τῶν πεπραγμένων. ἔφη γὰρ, ὑπὸ τῦ Λυκέργου τοῖς βασιλεῦσι συμμιχθῆναι τὰς γέροντας, καὶ πολὺν χρόνον ὅτω διοικεῖσθαι τὴν πόλιν, ὀδὲν ἑτέρας ἀρχῆς δεομένην [4], ὕςερον δὲ τῦ πρὸς Μεσσηνίους πολέμου μακρῦ γενομένου, τὰς βασιλεῖς, διὰ τὰς ςρατείας ἀσχόλους ὄντας αὐτὰς πρὸς τὸ κρίνειν, αἱρεῖσθαι τινὰς ἐκ τῶν φίλων καὶ ἀπολείπειν τοῖς πολίταις ἀνθ᾽ ἑαυτῶν, Ἐφόρους προσαγορευθέντας, καὶ διατελεῖν τε [5] τύτους

1 SG. δέος. Id. paulo post θαῤῥαλεώτεροι pro θαῤῥαλεώτατοι.

2 Iliad. 3, 172. & 4, 431. SG. δεδιότες pro δειδιότες.

3 SG. Τὸν Φόβον ἵδρυνται Λακεδαιμόνιοι.

4 Sic cum V. Anon. SG. & Steph. dari voluit Br. deditque R. pro vulg. δεομένης, ut referatur ad πόλιν.

5 R. mavult aut γε, aut μέν.

τέτες τὸ πρῶτον ὑπηρέτας τῶν βασιλέων ὄντας, εἶτα κατὰ μικρὸν εἰς ἑαυτὲς τὴν ἐξεσίαν ἐπιςρέφοντας, καὶ ἕτως λαθεῖν ἴδιον ἀρχεῖον κατεσκευασμένες [1]. σημεῖον δὲ τέτε, τὸ μέχρι νῦν, μεταπεμπομένων τον βασιλέα τῶν Ἐφόρων, τὸ πρῶτον ἀντιλέγειν καὶ τὸ δεύτερον· τὸ δὲ τρίτον καλέντων, ἀναςάντα βαδίζειν πρὸς αὐτές· καὶ τὸν πρῶτον ἐπισφοδρύναντα [2] τὴν ἀρχὴν καὶ ἀνατεινάμενον, Ἀςερωπὸν, ἡλικίαις ὕςερον πολλαῖς Ἔφορον γενέσθαι. μετριάζοντας μὲν ἒν αὐτὲς, ἔφη [3], κρεῖττον ἦν ὑπομένειν, ἐξεσίᾳ δ' ἐπιθέτῳ τὴν πάτριον καταλύοντας ἀρχὴν, ὥςε τῶν βασιλέων τὲς μὲν ἐξελαύνειν, τὲς δ' ἀποκτιννύναι ἀκρίτως, ἀπειλεῖν δὲ τοῖς ποθἒσιν αὖθις ἐπιδεῖν τὴν καλλίςην καὶ θειοτάτην ἐν Σπάρτῃ κατάςασιν, ἐκ ἀνεκτέον [4]. εἰ μὲν ἒν δυνατὸν ἦν, ἄνευ σφαγῆς ἀπαλλάξαι τὰς ἐπεισάκτες τῆς Λακεδαίμονος κῆρας, τρυφὰς καὶ πολυτελείας, καὶ χρέα καὶ δανεισμὲς, καὶ πρεσβύτερα [5] τέτων κακὰ, πενίαν καὶ πλἒτον, εὐτυχέςατον ἂν ἡγεῖσθαι πάντων βασιλέων ἑαυτὸν, ὥσπερ ἰατρὸν ἀνωδύνως ἰασάμενον τὴν πατρίδα· νῦν δὲ τῆς ἀνάγκης ἔχειν συγγνώμονα τὸν Λυκἒργον, ὃς ἔτε βασιλεὺς ὢν, ἔτ' ἄρχων, ἰδιώτης δὲ βασιλεύειν ἐπιχειρῶν ἐν τοῖς ὅπλοις προῆλθεν εἰς ἀγοράν· ὥςε δείσαντα τὸν βασιλέα, Χαρίλαον [6], ἐπὶ βωμὸν καταφυγεῖν· ἀλλ' ἐκεῖνον μὲν, ὄντα χρηςὸν καὶ φιλόπατριν, ταχὺ τῷ Λυκέργῳ τῶν πραττομένων μεταχεῖν, καὶ τὴν μεταβολὴν δέξασθαι τῆς πολιτείας. ἔργῳ δὲ μαρτυρῆσαι τὸν Λυκἒργον, ὅτι πολιτείαν μεταβαλεῖν ἄνευ

 βίας

1 SG. κατασκευασαμένες.

2 Sic H. Steph. reposuit pro ἐπιφαιδρύνοντα, quod est in Junt. Ald. Crat. — auctoritate cod. vet. — SG. ἐπισφοδρύνοντα in praef.

3 Sic cum V. SG. & Junt. dedit R. Vulgo abest ἔφη.

4 Sic R. de suo dedit pro vulg. ἀνεκτόν.

5 Anon. & SG. τὰ πρεσβύτερα, quod probat Duf.

6 SG. Χάριλλον.

βίας καὶ Φόνε [1] χαλεπόν ἐϛιν, οἷς αὐτὸν ἔφη μετριώτατα κεχρῆσθαι, τὲς ἐνιϛαμένες τῇ σωτηρίᾳ τῆς Λακεδαίμονος ἐκποδὼν ποιησάμενον [2]. τοῖς δ' ἄλλοις ἔφη πᾶσι τήν τε γῆν ἅπασαν εἰς μέσον τιθέναι, καὶ χρεῶν τὲς ὀφείλοντας ἀπαλλάττειν, καὶ τῶν ξένων κρίσιν ποιεῖν καὶ δοκιμασίαν· ὅπως οἱ κράτιϛοι γενόμενοι Σπαρτιᾶται σώζωσι τὴν πόλιν τοῖς ὅπλοις, καὶ παυσώμεθα [3] τὴν Λακωνικὴν Αἰτωλῶν καὶ Ἰλλυριῶν λείαν ἔσαν ἐρημίᾳ τῶν ἀμυνόντων ἐφορῶντες.

XI. Ἐκ τέτε πρῶτον μὲν αὐτὸς εἰς μέσον τὴν ἐσίαν ἔθηκε, καὶ Μεγιϛόνες, ὁ πατρῷος αὐτῆ, καὶ τῶν ἄλλων φίλων ἕκαϛος, ἔπειτα καὶ οἱ λοιποὶ πολῖται πάντες, ἡ δὲ χώρα διενεμήθη. κλῆρον δὲ καὶ τῶν ὑπ' αὐτῆ γεγονότων φυγάδων ἀπένειμεν ἑκάϛῳ, καὶ κατάξειν [4] ἅπαντας ὡμολόγησε, τῶν πραγμάτων ἐν ἡσυχίᾳ γενομένων. ἀναπληρώσας δὲ τὸ πολίτευμα τοῖς χαριεϛάτοις τῶν περιοίκων, ὁπλίτας τετρακιχιλίες ἐποίησε, καὶ διδάξας αὐτὲς ἀντὶ δόρατος χρῆσθαι σαρίσσῃ δι' ἀμφοτέρων, καὶ τὴν ἀσπίδα φορεῖν δι' ὀχάνης, μὴ διὰ πόρπακος [5], ἐπὶ τὴν παιδείαν τῶν νέων ἐτράπη, καὶ τὴν

1 Sic R. de ſuo dedit pro vulg. *φόβε.*

2 Vulgo paulo ante extitit *αὐτόν.* Hinc Moſ. Duſ. obſervat, fere omnibus Interpp. has duas voces *αὐτόν* & *ποιησάμενον* fraudi fuiſſe; jam non Lycurgo, ſed de Cleomene eſſe ſermonem, adeoque ſcribendum *αὐτόν* — *ποιησάμενος.* Prius dedit. R.

3 Sic R. de ſuo dedit pro vulg. *παύσωμεν* — *Laconicam tandem aliquando deſinamus ſpectare, Aetolorum & Illyriorum devaſtationibus laceratam.* Retento *παύσωμεν*, delendum eſſe monet *ἐφορῶντες*, quod paulo poſt ſequitur, & pro quo V. in ind. Frſt. *ἀφυρῶντες*, in ind. Br. & nota R. *ἀφορῶντες.*

4 SG. *κατὰ τάξιν.*

5 Xyl. monente, *πόρπαξ* dicitur lorum, quod fibulis ſcuto annexum ab humero ſiniſtro & collo dependebat, eoque ſcutum regebatur antiquitus; *ὀχάνην*, quae & *ὄχανον* dicitur, intelligit idem anſam, ſ. armillam in tergo ſcuti, cui brachium ſiniſtrum inſereretur, atque ſcutum geſtaretur & regeretur.

τὴν λεγομένην ἀγωγὴν, ἧς τὰ πλεῖστα παρὼν ὁ Σφαῖρος αὐτῷ συγκαθίστη, ταχὺ τὸν προσήκοντα τῶν τε γυμνασίων καὶ τῶν συσσιτίων κόσμον ἀναλαμβανόντων [1], καὶ συστελλομένων ὀλίγων μὲν ὑπ' ἀνάγκης, ἑκουσίως δὲ τῶν πλείστων, εἰς τὴν εὐγενῆ καὶ Λακωνικὴν ἐκείνην δίαιταν. ὅμως δὲ τὸ τῆς μοναρχίας ὄνομα παραμυθούμενος, ἀπέδειξε μεθ' ἑαυτοῦ βασιλέα τὸν ἀδελφὸν, Εὐκλείδαν. καὶ τότε μόνον [2] Σπαρτιάταις ἐκ μιᾶς οἰκίας συνέβη δύο σχεῖν βασιλέας.

XII. Αἰσθόμενος δὲ τοὺς Ἀχαιοὺς καὶ τὸν Ἄρατον, ὡς ἐπισφαλῶς αὐτῷ τῶν πραγμάτων ἐχόντων διὰ τὸν νεωτερισμὸν, οὐκ ἂν οἰομένους προελθεῖν ἔξω τῆς Λακεδαίμονος, οὔτ' ἀπολιπεῖν μετέωρον ἐν κινήματι τηλικούτῳ τὴν πόλιν, οὐκ ἀγεννὲς, οὐδ' ἄχρηστον ἡγήσατο τὴν ἐπιθυμίαν καὶ προθυμίαν τοῦ στρατεύματος [3] ἐπιδεῖξαι τοῖς πολεμίοις. ἐμβαλὼν οὖν εἰς τὴν Μεγαλοπολιτικὴν, ὠφελείας τε μεγάλας ἤθροισε, καὶ φθορὰν πολλὴν ἀπειργάσατο τῆς χώρας. τέλος δὲ, τοὺς περὶ τὸν Διόνυσον τεχνίτας ἐκ Μεσσήνης διαπορευομένους λαβὼν, καὶ πηξάμενος θέατρον ἐν τῇ πολεμίᾳ, καὶ προθεὶς ἀπὸ τετταράκοντα μνῶν ἀγῶνα, μίαν ἡμέραν ἐθεᾶτο καθήμενος· οὐ δεόμενος θέας, ἀλλ' οἷον ἐντρυφῶν τοῖς πολεμίοις, καὶ περιουσίαν τινὰ τοῦ κρατεῖν πολὺ τῷ καταφρονεῖν ἐπιδεικνύμενος. ἐπεὶ ἄλλως γε τῶν Ἑλληνικῶν καὶ βασιλικῶν στρατευμάτων ἐκεῖνο μόνον [4] οὐ μίμους παρακολουθοῦντας εἶχεν, οὐ θαυματοποιοὺς, οὐκ ὀρχηστρίδας, οὐ



1 Sic cum Anon. & SG. dedit R. pro vulg. ἀναλαμβανομένων. V. ἀντιλαμβανόντων.

2 R. susp. καὶ τότε πρῶτον, καὶ μόνον.

3 Sic R. cum Junt. Ald. Crat. dedit. Vulgo secundum Steph. absunt voces καὶ προθυμίαν. Br. tamen pro ἐπιθυμ. mavult εὐθυμίαν, aut εὔνοιαν καὶ προθυμίαν; R. autem ὁμοθυμίαν, vel εὐρυθμίαν.

4 R. monente, idem est ac si dixisset ἐκεῖνο μόνον οὐκ εἶχεν, ἔχων (potius ἔχον) πάντα τὰ λοιπὰ, δηλονότι μίμους.

ȣ ψαλτρίας, ἀλλὰ πάσης ἀκολασίας καὶ βωμολοχίας καὶ πανηγυρισμȣ̃ καθαρὸν ἦν· τὰ μὲν πολλὰ μελετώντων τῶν νέων, καὶ τῶν πρεσβυτέρων διδασκόντων, τὰς δὲ [1] παιδιὰς, ὁπότε σχολάζοιεν, ταῖς συνήθεσιν εὐτραπελίαις, καὶ τῷ [2] λέγειν τι χάριεν καὶ Λακωνικὸν πρὸς ἀλλήλȣς διατιθεμένων. ἣν δ' ἔχει τὸ τοιȣ̃τον τῆς παιδιᾶς εἶδος ὠφέλειαν, ἐν τῷ Λυκȣ́ργȣ βίῳ γέγραπται.

XIII. Πάντων δ' αὐτὸς ἐγίγνετο διδάσκαλος, εὐτελῆ καὶ ἀφελῆ, καὶ φορτικὸν ȣ̓δὲν, ȣ̓δὲ ὑπὲρ τȣ̀ς πολλȣ̀ς ἔχοντα τὸν ἑαυτȣ̃ βίον, ὥσπερ παράδειγμα σωφροσύνης, ἐν μέσῳ θέμενος. ὃ καὶ πρὸς τὰς Ἑλληνικὰς πράξεις ῥοπήν τινα παρέχεν αὐτῷ. τοῖς μὲν γὰρ ἄλλοις ἐντυγχάνοντες οἱ ἄνθρωποι βασιλεῦσιν, ȣ̓χ ȣ̔́τω κατεπλήττοντο τȣ̀ς πλȣ́τȣς καὶ τὰς πολυτελείας, ὡς ἐβδελύττοντο τὴν ὑπεροψίαν αὐτῶν καὶ τὸν ὄγκον, ἐπαχθῶς καὶ τραχέως προσφερομένων τοῖς ἐντυγχάνȣσι· πρὸς δὲ Κλεομένη [3] βαδίζοντες, ὄντα τε δὴ βασιλέα καὶ καλȣ́μενον, εἶτα ὁρῶντες ȣ̓ πορφύρας τινὰς, ȣ̓δὲ χλαίνας [4] περὶ αὐτὸν, ȣ̓δὲ κλινιδίων καὶ φορείων κατασκευὰς, ȣ̓δ' ὑπ' ἀγγέλων ὄχλȣ καὶ θυρωρῶν [5], ἢ διὰ γραμματίων χρηματίζοντα χαλεπῶς καὶ μόλις, ἀλλ' αὐτὸν ἐν ἱματίῳ τῷ [6] τυχόντι πρὸς τὰς δεξιώσεις ἀπαντῶντα, καὶ διαλεγόμενον καὶ σχολάζοντα τοῖς χρῄζȣσιν ἱλα-

1 Sic R. de ſuo dedit pro vulg. ταῖς τε. In ſeq. Junt. Ald. Crat. σχολάζοι, ἐν ταῖς σ.

2 Sic dari voluit Br. cum H. Steph. V. & Anon. & dedit R. Vulgo καὶ τό.

3 SG. Κλεομένην. Id. omittit δὴ, poſt ὄντα δὲ ſequens.

4 SG. ȣ̓ χλαίνας.

5 Poſt h. v. deeſſe cenſet R. περιφραγνύμενον, *ſeptum*, vel tale quid. Pro ſeq. γραμματίων Dacer. voluit γραμματέων, i. e. per eos, quos hodie *Secretarios* vocamus. Ms. SG. eodem Dacer. teſte γραμματειῶν, in collectione autem var. lect. ej. cod. extat γραμματείων.

6 abeſt τῷ a Junt. Ald. Crat. — meo ſenſu, commode.

ἱλαρῶς καὶ φιλανθρώπως, ἐκηλοῦντο καὶ κατεδημαγωγοῦντο, καὶ μόνον ἀφ' Ἡρακλέους ἐκεῖνον ἔφασαν γεγονέναι. τῶν δὲ δείπνων αὐτοῦ τὸ μὲν καθημερινὸν ἦν ἐν τρικλίνῳ, σφόδρα συνεσταλμένον καὶ Λακωνικόν· εἰ δὲ πρέσβεις, ἢ ξένους, δέχοιτο, δύο μὲν ἄλλαι προσπαρεβάλλοντο κλῖναι, μικρῷ δὲ μᾶλλον οἱ ὑπηρέται τὴν τράπεζαν ἐπελάμπρυνον, οὐ καρυκείαις τισὶν, οὐδὲ πέμμασιν, ἀλλ' ὥστ' ἀφθονωτέρας εἶναι τὰς παραθέσεις, καὶ φιλανθρωπότερον τὸν οἶνον [1]. καὶ γὰρ ἐπετίμησέ τινι τῶν φίλων, ἀκούσας, ὅτι ξένους ἑστιῶν, ζωμὸν αὐτοῖς μέλανα καὶ μάζαν, ὥσπερ ἔθος ἦν ἐν τοῖς φιδιτίοις, παρέθηκεν. οὐ γὰρ ἔφη δεῖν ἐν τούτοις, οὐδὲ πρὸς τοὺς ξένους, λίαν ἀκριβῶς λακωνίζειν. ἐπαρθείσης δὲ τῆς τραπέζης, εἰσεκομίζετο τρίπους, κρατῆρα χαλκοῦν ἔχων οἴνου μεστὸν, καὶ φιάλας ἀργυρᾶς δικοτύλους δύο, καὶ ποτήρια τῶν ἀργυρῶν ὀλίγα παντάπασιν, ἐξ ὧν ἔπινεν ὁ βουλόμενος, ἄκοντι δ' οὐδεὶς ποτήριον προσέφερεν. ἀκρόαμα δ' οὔτ' ἦν, οὔτ' ἐπεζητεῖτο· ἐπαιδαγώγει γὰρ αὐτὸς ὁμιλίᾳ τὸν πότον [2], τὰ μὲν ἐρωτῶν, τὰ δὲ διηγούμενος, οὔτε τὴν σπουδὴν ἀηδῆ τῶν λόγων, τήν τε παιδιὰν ἐπίχαριν καὶ ἀσόλοικον ἐχόντων. ἃς μὲν γὰρ οἱ λοιποὶ τῶν βασιλέων ἐπὶ τοὺς ἀνθρώπους θήρας ἐποιοῦντο, χρήμασι καὶ δωρεαῖς δελεάζοντες αὐτοὺς καὶ διαφθείροντες, ἀτέχνους καὶ ἀδίκους ἐνόμιζεν εἶναι· τὸ δ' ὁμιλίᾳ καὶ λόγῳ χάριν ἔχοντι καὶ πίστιν οἰκειοῦσθαι καὶ προσάγεσθαι τοὺς ἐντυγχάνοντας, ἐφαίνετο κάλλιστον αὐτῷ καὶ βασιλικώτατον· ὡς οὐδενὶ φίλου διαφέροντα μισθωτον, ἢ τῷ τὸν μὲν ἤθει καὶ λόγῳ, τὸν δ' ὑπὸ χρημάτων ἁλίσκεσθαι.



1 Anon. τὸν πότον, quod Mosi Duf. placet. R. tamen judice, haec annotatio ex Anon. perperam huc est allita, & ex suo loco, infra obvio, male iterata. cf. seq. not.

2 Sic cum Anon & SG. dedit R. pro vulg. τὸ ποτόν.

XIV. Πρῶτον μὲν οὖν οἱ Μαντινεῖς αὐτὸν ἐπηγάγοντο· καὶ νύκτωρ εἰς τὴν πόλιν παρεισπεσόντος [1], τὴν Φρουρὰν τὴν Ἀχαιῶν συνεκβαλόντες ἐνεχείρισαν αὐτοὺς. ὁ δὲ καὶ τοὺς νόμους καὶ τὴν πολιτείαν αὐτοῖς [2] ἀποδοὺς, αὐθημερὸν ἀπῆλθεν εἰς Τεγέαν. ὀλίγῳ δ' ὕστερον ἐκπεριελθὼν δι' Ἀρκαδίας [3], κατέβαινεν ἐπὶ τὰς Ἀχαϊκὰς Φερὰς, βουλόμενος ἢ μάχην θέσθαι πρὸς τοὺς Ἀχαιοὺς, ἢ διαβάλλειν τὸν Ἄρατον, ὡς ἀποδιδράσκοντα καὶ προϊέμενον αὐτῷ τὴν χώραν. ἐστρατήγει μὲν γὰρ Ὑπερβατᾶς τότε, τοῦ δ' Ἀράτου τὸ πᾶν ἦν κράτος ἐν τοῖς Ἀχαιοῖς. ἐξελθόντων δὲ πανδημεὶ τῶν Ἀχαιῶν, καὶ στρατοπεδευσαμένων ἐν Δυμαίᾳ [4] περὶ τὸ Ἑκατόμβαιον, ἐπελθὼν ὁ Κλεομένης, ἔδοξε μὲν οὐ καλῶς ἐν μέσῳ τῆς τε Δυμαίων πόλεως, πολεμίας οὔσης, καὶ τοῦ στρατεύματος τῶν Ἀχαιῶν αὐλίσασθαι· τολμηρῶς δὲ προκαλούμενος [5] τοὺς Ἀχαιοὺς ἠνάγκασε συμβαλεῖν, καὶ νικήσας κατὰ κράτος καὶ τρεψάμενος τὴν Φάλαγγα, πολλοὺς μὲν ἐν τῇ μάχῃ διέφθειρεν αὐτῶν, πολλῶν δὲ καὶ ζώντων ἐκυρίευσεν. ἐπελθὼν δὲ καὶ [6] Λάγγωνι, καὶ τῶν Ἀχαιῶν τοὺς Φρουροὺς ἐξελάσας, ἀπέδωκεν Ἠλείοις τὴν πόλιν.

XV. Οὕτω δὲ συντετριμμένοις τοῖς Ἀχαιοῖς ὁ μὲν Ἄρατος, εἰωθὼς παρ' ἐνιαυτὸν ἀεὶ στρατηγεῖν, ἀπείπατο τὴν ἀρχὴν καὶ παρῃτήσατο, καλούντων καὶ δεομένων· οὐ καλῶς, οἷον ἐν χειμῶνι πραγμάτων μείζονι, μεθεὶς

1 Sic R. de suo dedit — *Cleomene noctu clam in urbem illapso* — pro vulg. παρεισπεσόντες. Mos. Dus. cum V. & Anon. dari voluit παρεισπεσόντι.

2 Hanc vocem αὐτοῖς SG. collocat post νόμους.

3 SG. διὰ καρδίας.

4 Sic R. Polybium, credo, secutus, dedit. Vulgo Δυμαίαις. V. & SG. Δύμαις.

5 SG. προσκαλούμενος. Sic & Junt. Ald. Crat.

6 Sic R. dedit, partic. καὶ ex Junt. adjuncta, cui deest δὲ, quod vulgo sec. Ald. datur.

μεθεὶς ἑτέρῳ τὸν οἴακα καὶ προέμενος τὴν ἐξεσίαν. ὁ δὲ Κλεομένης πρῶτον μὲν μέτρια τοῖς Ἀχαιοῖς [1] ἐδόκει πρέσβεσιν ἐπιτάττειν, ἑτέρες δὲ πέμπων ἐκέλευεν αὐτῷ παραδιδόναι τὴν ἡγεμονίαν, ὡς τἄλλα μὴ διοισόμενος πρὸς αὐτὲς, ἀλλὰ καὶ τὲς αἰχμαλώτες εὐθὺς ἀποδώσων καὶ τὰ χωρία. βελομένων δὲ τῶν Ἀχαιῶν ἐπὶ τέτοις δέχεσθαι τὰς διαλύσεις, καὶ τὸν Κλεομένην [2] καλέντων εἰς Λέρναν, ὅπε τὴν ἐκκλησίαν ἔμελλον ἔχειν, ἔτυχε τὸν Κλεομένην συντόνως ὁδεύσαντα, καὶ χρησάμενον παρὰ καιρὸν ὑδροποσίᾳ [3], αἵματος πλῆθος ἀνενεγκεῖν, καὶ τὴν φωνὴν ἀποκοπῆναι. διὸ τῶν μὲν αἰχμαλώτων ἀπέπεμψε τοῖς Ἀχαιοῖς τὲς ἐπιφανεστάτες, τὸν δὲ σύλλογον ὑπερθέμενος, ἀνεχώρησεν εἰς Λακεδαίμονα.

XVI. Τἔτο διελυμήνατο τὰ πράγματα τῆς Ἑλλάδος, ἄλλως γέ [4] πως ἐκ τῶν παρόντων ἀναλαβεῖν αὐτὴν ἔτι, καὶ διαφυγεῖν τὴν Μακεδόνων ὕβριν καὶ πλεονεξίαν δυναμένην. ὁ γὰρ Ἄρατος, εἴτ' ἀπιστίᾳ καὶ φόβῳ τἔ Κλεομένες, εἴτε φθονῶν εὐτυχἔντι παρ' ἐλπίδα, καὶ νομίζων, ἔτη τρία καὶ τριάκοντα πρωτεύοντος αὐτἔ, δεινὸν εἶναι τὴν δόξαν ἅμα καὶ τὴν δύναμιν ἐπιφύντα νέον ἄνδρα καθελεῖν, καὶ παραλαβεῖν πραγμάτων ηὐξημένων ὑπ' αὐτἔ καὶ κεκρατημένων χρόνον τοσἔτον [5] ἀρχὴν, πρῶτον μὲν ἐπειρᾶτο τὲς Ἀχαιὲς παραβιάζεσθαι καὶ διακωλύειν· ὡς δ' ἐ προσεῖχον αὐτῷ, τἔ Κλεομένες ἐκπεπληγμένοι τὸ θράσος, ἀλλὰ καὶ [6] δικαίαν ἐποιἔντο τὴν ἀξίω-

1 R. mavult Ἀχαιῶν.

2 SG. Κλεομένη. Sic ſemper in ſeqq. hic cod. pro Κλεομένην.

3 V. ψυχροποσίᾳ.

4 Sic ex H. Steph. conjectura & cum SG. dedit R. Vulgo ἄλλως τέ πως.

5 Sic in SG. quoque ſcriptum eſt a manu prima, ſed ab altera correctum χρόνων τοσέτων.

6 R. ſuſp. τὸ θράσος ἅμα, καὶ δικαίαν ποιέμενοι (i. e. ἡγέμενοι) τὴν ἀξ.

ἀξίωσιν τῶν Λακεδαιμονίων εἰς τὸ πάτριον σχῆμα κοσμέντων τὴν Πελοπόννησον, τρέπεται πρὸς ἔργον, ἐδενὶ μὲν τῶν Ἑλλήνων προσῆκον, αἴχισον δ᾽ ἐκείνῳ, καὶ τῶν πεπραγμένων ὑπ᾽ αὐτῦ καὶ πεπολιτευμένων ἀναξιώτατον· Ἀντίγονον ἐπὶ τὴν Ἑλλάδα [1] καλεῖν, καὶ Μακεδόνων ἐμπιπλάναι τὴν Πελοπόννησον, ὓς αὐτὸς ἐκ Πελοποννήσε μειράκιον ὢν ἐξήλασεν, ἐλευθερώσας τὸν Ἀκροκόρινθον. καὶ πᾶσι μὲν τοῖς βασιλεῦσιν [2] ὕποπτος καὶ διάφορος γενόμενος, τετονὶ δ᾽ αὐτὸν Ἀντίγονον εἰρηκὼς κακὰ μυρία, δι᾽ ὧν ἀπολέλοιπεν ὑπομνημάτων. καίτοι πολλὰ παθεῖν καὶ παραβαλέσθαι φησὶν αὐτὸς ὑπὲρ Ἀθηναίων, ὅπως ἡ πόλις ἀπαλλαγείη φρερᾶς καὶ Μακεδόνων· εἶτα τέτες ἐπὶ τὴν πατρίδα καὶ τὴν ἑςίαν τὴν ἑαυτῦ μεθ᾽ ὅπλων εἰσήγαγεν, ἄχρι τῆς γυναικωνίτιδος· τὸν δ᾽ ἀφ᾽ Ἡρακλέες γεγονότα, καὶ βασιλεύοντα Σπαρτιατῶν, καὶ τὴν πάτριον πολιτείαν, ὥσπερ ἁρμονίαν ἐκλελυμένην, ἀνακρεόμενον αὖθις ἐπὶ τὸν σώφρονα καὶ Δώριον [3] ἐκεῖνον τῦ Λυκέργε νόμον καὶ βίον, ἐκ ἠξίε Σικυωνίων ἡγεμόνα καὶ Τρικκαίων [4] γράφεσθαι. φεύγων δὲ τὴν μάζαν καὶ τὸν τρίβωνα, καὶ τὸ δεινότατον, ὧν κατηγόρει Κλεομένες, ἀναίρεσιν πλέτε, καὶ πενίας ἐπανόρθωσιν, διαδήματι καὶ πορφύρᾳ καὶ Μακεδονικοῖς καὶ σατραπικοῖς προστάγμασιν ὑπέρριψε μετὰ τῆς Ἀχαΐας αὐτὸν, ἵνα μὴ Κλεομένει ποιεῖν δοκῇ τὸ προστατ]όμενον, Ἀντιγόνεια θύων, καὶ παιᾶνας ᾄδων αὐτὸς ἐςεφανωμένος εἰς ἄνθρωπον ὑπὸ φθόης κατασηπόμενον· ἀλλὰ ταῦτα μὲν ἐκ Ἀράτε κατηγορεῖν βελόμενοι [5] γράφομεν,

1 R. deesse videtur post h. v. τολμῶν.

2 qui tum in Macedonia, Syria, Aegypto erant. R.

3 In Frst. extat Δέριον. Hinc e V. enotatur Δώριον.

4 Suspectam Br habet hanc vocem, cum *Triccae*, urbi Thessaliae, nihil esse potuerit rei cum Achaia foederata. Hinc Mos. Dus. Τριταιέων leg. censet, ab urbe *Triteae*, Τριταιαὶ, inter Phocidem & Locros Ozolas sita, & parte hujus foederis.

5 SG. inverso ordine βελόμενοι κατηγορεῖν.

φομεν, (ἐν πολλοῖς γὰρ ὁ ἀνὴρ ἔτος Ἑλληνικὸς γέγονε καὶ μέγας) οἰκτείροντες δὲ τῆς ἀνθρωπίνης φύσεως τὴν ἀσθένειαν, εἰ μηδ᾽ ἐν ἤθεσιν ὅτως ἀξιολόγοις καὶ διαφόροις πρὸς ἀρετὴν ἐκφέρειν δύναται τὸ καλὸν ἀνεμέσητον.

XVII. Ἐλθόντων δ᾽ Ἀχαιῶν εἰς Ἄργος αὖθις ἐπὶ τὸν σύλλογον, καὶ τȣ̃ Κλεομένȣς ἐκ Τεγέας καταβεβηκότος [1], ἐλπὶς ἦν πολλὴ τῶν ἀνθρώπων ἔσεσθαι τὴν διάλυσιν. ὁ δ᾽ Ἄρατος, ἤδη διωμολογημένων αὐτῷ πρὸς τὸν Ἀντίγονον τῶν μεγίςων, φοβȣ́μενος τὸν Κλεομένην, μὴ πάντα διαπράξηται, καθομιλήσας [2] τὸ πλῆθος, ἢ καὶ βιασάμενος, ἠξίȣ λαβόντα τριακοσίȣς ὁμήρȣς μόνον εἰσιέναι πρὸς αὐτȣ̀ς, ἢ κατὰ γυμνάσιον ἔξωθεν τὸ Κυλλαράβιον [3] προσελθόντα μετὰ τῆς δυνάμεως διαλέγεσθαι. ταῦτ᾽ ἀκȣ́σας ὁ Κλεομένης ἄδικα πάσχειν ἔφασκε· δεῖν γὰρ εὐθὺς αὐτῷ τότε [4] προειπεῖν, ȣ̓ νῦν, ἥκοντος ἐπὶ τὰς θύρας τὰς ἐκείνων, ἀπιςεῖν καὶ ἀπελαύνειν. καὶ [5] γράψας δὲ περὶ τȣ́των ἐπιςολὴν πρὸς τȣ̀ς Ἀχαιȣ̀ς, ἧς ἦν το πλεῖςον κατηγορία Ἀράτȣ [6], πολλὰ δὲ καὶ τȣ̃ Ἀράτȣ λοιδορήσαντος αὐτὸν προς τὸ πλῆθος, ἀνέζευξε διὰ ταχέων· καὶ κήρυκα πόλεμον προερȣ̃ντα [7] τοῖς Ἀχαιοῖς ἔπεμψεν, ȣ̓κ εἰς Ἄργος, ἀλλ᾽ εἰς Αἴγιον, ὥς φησιν Ἄρατος, ὅπως φθάσῃ τὴν παρασκευὴν αὐτῶν. ἐγεγόνει δὲ κίνημα τῶν Ἀχαιῶν, καὶ

1 V. καταλεληθότος. Voluit forſan κατεληλυθότος.

2 In vet. cod. H. Steph. legit καθομολογήσας. Br. mavult καθομαλίσας.

3 Ter ap. Plut. hujus Gymnaſii fit mentio, nomine ter varie ſcripto. In Pyrrh. T. II. p. 56. Κυλλάραβις, hoc loco τὸ Κυλλαράβιον, & infra cap. 26. Κυλλάβαριν. Primam ſcripturam genuinam cenſet Duſ. cum H. Steph. & Xyl. In Heſych. datur Κυλλαραβὶς.

4 Br. ſuſp. τȣ̃το.

5 abeſt καὶ a SG.

6 SG. inverſo ordine Ἀράτȣ κατηγορία.

7 Junt. Ald. Crat. προαιρȣ̃ντα.

καὶ πρὸς ἀπόςασιν ὥρμησαν αἱ πόλεις, τῶν μὲν δήμων νομὴν τῆς χώρας [1] καὶ χρεῶν ἀποκοπὰς ἐλπισάντων, τῶν δὲ πρώτων πο ἀχϑ βαρυνομένων τὸν Ἄρατον, ἐνίων δὲ [2] καὶ δι' ὀργῆς ἐχόντων, ὡς ἐπάγοντα τῇ Πελοποννήσῳ Μακεδόνας. διὸ τȣ̃τοις ἐπαρθεὶς ὁ Κλεομένης, εἰς Ἀχαΐαν ἐνέβαλε· καὶ πρῶτον μὲν εἷλε Πελλήνην ἐξαπίνης ἐπιπεσὼν, καὶ τȣ̀ς φρȣρȣ̃ντας ἐξέβαλε [3] μετὰ τῶν Ἀχαιῶν· μετὰ δὲ ταῦτα Φενεὸν [4] προσηγάγετο καὶ Πεντέλειον. ἐπεὶ δὲ φοβηθέντες οἱ Ἀχαιοὶ προδοσίαν τινὰ πραττομένην ἐν Κορίνθῳ καὶ Σικυῶνι, τȣ̀ς ἱππεῖς καὶ τȣ̀ς ξένȣς ἀπέςειλαν ἐξ Ἄργȣς ἐκεῖ παραφυλάξοντας, αὐτοὶ δὲ τὰ Νέμεια καταβάντες εἰς Ἄργος ἦγον, ἐλπίσας, ὅπερ ἦν, ὁ Κλεομένης, ὄχλȣ πανηγυρικȣ̃ καὶ θεατῶν τὴν πόλιν γέμȣσαν ἀπροσδοκήτως ἐπελθὼν μᾶλλον ταράξειν, νυκτὸς ἦγε πρὸς τὰ τείχη τὸ ςράτευμα, καὶ τὸν περὶ τὴν Ἀσπίδα τόπον καταλαβὼν, ὑπὲρ τȣ̃ θεάτρȣ χαλεπὸν ὄντα καὶ δυσπρόσοδον, ȣ̔́τω τȣ̀ς ἀνθρώπȣς ἐξέπληξεν, ὥςε μηδένα τραπέσθαι πρὸς ἀλκὴν, ἀλλὰ καὶ φρȣρὰν λαβεῖν, καὶ δȣ̃ναι τῶν πολιτῶν ὁμήρȣς εἴκοσι, καὶ γενέσθαι συμμάχȣς Λακεδαιμονίων, ἔχοντος ἐκείνȣ τὴν ἡγεμονίαν.

XVIII. Οὐ μικρὸν ȣ̃ν τȣ̃το καὶ πρὸς δόξαν αὐτῷ καὶ δύναμιν ὑπῆρχεν. ȣ̃τε γὰρ οἱ πάλαι βασιλεῖς Λακεδαιμονίων πολλὰ πραγματευσάμενοι προσαγαγέσθαι τὸ Ἄργος βεβαίως ἠδυνήθησαν· ὅ τε δεινότατος τῶν ςρατηγῶν, Πύῤῥος, εἰσελθὼν καὶ βιασάμενος, ȣ̓ κατέσχε τὴν πόλιν, ἀλλ' ἀπέθανε, καὶ πολὺ συνδιεφθάρη μέρος αὐτῷ τῆς δυνάμεως. ὅθεν ἐθαύμαζον τὴν ὀξύτητα καὶ διάνοιαν τȣ̃ Κλεομένȣς [5]. καὶ πρότερον αὐτȣ̃, τὸν Σόλωνα

1 SG. νομὴν τῆς χώρας.

2 Pro ἐνίων δὲ teste H. Steph. quoque legitur νῦν δὲ.

3 Sic Steph. correxit. Iunt. Ald. Crat. ἐξέβαλλε.

4 SG. Φονεὸν, & paulo post Πεντέλλιον.

5 V. ὅθεν θαυμάζοντες τὴν ὀξύτητα καὶ βίαν τȣ̃ Κλ. In mar-

λωνα καὶ τὸν Λυκȣ̃ργον ἀπομιμήσασθαι φάσκοντος ἐν τῇ τῶν χρεῶν ἀφέσει καὶ τῇ τῶν χρημάτων ἐξισώσει, καταγελῶντες, τότε παντελῶς ἐπείθοντο [1] τȣ̃τον αἴτιον εἶναι τῆς περὶ τῶν Σπαρτιατῶν [2] μεταβολῆς. ȣ̓́τω γὰρ ἔπραττον τοπρὶν [3] ταπεινὰ, καὶ βοηθεῖν αὑτοῖς ἀδυνάτως εἶχον, ὥςε πέντε μυριάδας ἀνδραπόδων ἐμβαλόντας εἰς τὴν Λακωνικὴν Αἰτωλȣ̀ς ἀπαγαγεῖν. ὅτε φασὶν εἰπεῖν τινα τῶν πρεσβυτέρων Σπαρτιατῶν, ὡς ὤνησαν οἱ πολέμιοι τὴν Λακωνικὴν ἀποκȣφίσαντες. ὀλίγȣ δὲ χρόνȣ διελθόντος, ἀψάμενοι μόνον [4] τῶν πατρίων ἐθῶν, καὶ καταςάντες εἰς ἴχνος ἐκείνης τῆς ἀγωγῆς, ὥσπερ παρόντι καὶ συμπολιτευομένῳ τῷ Λυκȣ́ργῳ πολλὴν ἐπίδειξιν ἀνδρείας ἐποιȣ̃ντο καὶ πειθαρχίαν, τὴν τῆς Ἑλλάδος ἀναλαμβάνοντες ἡγεμονίαν τῇ Λακεδαίμονι [5], καὶ ἀνακτώμενοι τὴν Πελοπόννησον.

XIX. Ἑαλωκότος δ' Ἄργȣς, καὶ κατόπιν εὐθὺς προσθεμένων τῷ Κλεομένει Κλεωνῶν καὶ Φλιȣ̃ντος, ἐτύγχανε μὲν ὁ Ἄρατος ἐν Κορίνθῳ ποιȣ́μενος τινὰ τῶν λεγομένων λακωνίζειν ἐξέτασιν [6]. ἀγγελίας δὲ περὶ τȣ́των προσπεσȣ́σης, διαταραχθεὶς, καὶ τὴν πόλιν ἀπο-

margine quoque SG. manu paulo recentiore ſcriptum eſt γρ. καὶ βίαν. Idem cod. inter ſeq. καὶ & πρότερον ponit οἱ; & pro φάσκοντος habet φάσκοντες, & κτημάτων pro χρημάτων.

1 V. ὑπείδοντο. Pro τȣ̃τον Junt. Ald. Crat. τȣ̃.

2 V. & Anon. τȣ̀ς Σπαρτιάτας, quod Br. probat. Idem habet SG. qui & pro εἶναι dat γεγονέναι, Dacer. teſte. R. περὶ τȣ̀ς Σπαρτιάτας probari poſſe cenſet, ſed quoque legi περὶ τὴν Σπάρτην, item περὶ plane tolli.

3 Sic R. de ſuo dedit pro vulg. ἔπραττόν τε πρὶν.

4 Sic Br. legendum cenſuit, deditque R. pro vulg. μόνων — *quam primum modo patrios ritus attingere coepiſſent, paulo poſt* —

5 Sic V. Anon. & SG. & ſic ſcribi voluit Br. deditque R. pro vulg. τὴν Λακεδαίμονα.

6 V. ἐπίτασιν, ἐπίςασιν. Poſterius etiam in marg. SG. legitur, non ab ea manu, quae textum ſcripſit, ſed ab alia exaratum.

ἀποκλίνοντα αἰσθόμενος πρὸς τὸν Κλεομένην, καὶ τῶν Ἀχαιῶν ἀπαλλαγῆναι βουλομένην [1], ἐκάλει μὲν εἰς τὸ βουλευτήριον τοὺς πολίτας, ἔλαθε δὲ διολισθήσας [2] ἄχρι τῆς πύλης. ἐκεῖ δὲ, τοῦ ἵππου προσαχθέντος, ἀναβὰς, ἔφυγεν εἰς Σικυῶνα. τῶν δὲ Κορινθίων ἁμιλλωμένων εἰς Ἄργος πρὸς [3] τὸν Κλεομένην, φησὶν ὁ Ἄρατος τοὺς ἵππους πάντας ῥαγῆναι· τὸν δὲ Κλεομένην μέμφεσθαι τοὺς Κορινθίους μὴ συλλαβόντας αὐτὸν [4], ἀλλ' ἐάσαντας διαφυγεῖν· οὐ μὴν ἀλλὰ καὶ πρὸς αὐτὸν ἐλθεῖν Μεγιστόνουν παρ' αὐτοῦ Κλεομένους, δεομένου παραλαβεῖν [5] τον Ἀκροκόρινθον, (εἶχε γὰρ φρουρὰν Ἀχαιῶν) καὶ πολλὰ χρήματα διδόντος· ἀποκρίνασθαι δ' αὐτὸν, ὡς οὐκ ἔχει [6] τὰ πράγματα, μᾶλλον δ' ὑπὸ τῶν πραγμάτων αὐτὸς ἔχεται. ταῦτα μὲν ὁ Ἄρατος γέγραφεν. ὁ δὲ Κλεομένης, ἐκ τοῦ Ἄργους ἐπελθὼν, καὶ προσαγαγόμενος Τροιζηνίους, Ἐπιδαυρίους, Ἑρμιονέας, ἧκεν εἰς Κόρινθον· καὶ τὴν μὲν ἄκραν περιεχαράκωσε, τῶν Ἀχαιῶν οὐ βουλομένων ἐκλιπεῖν. τοῦ δ' Ἀράτου τοὺς φίλους καὶ τοὺς ἐπιτρόπους μεταπεμψάμενος, ἐκέλευσε τὴν οἰκίαν καὶ τὰ χρήματα λαβόντας φυλάττειν καὶ διοικεῖν. Τριτύμαλλον [7] δὲ πάλιν, τὸν Μεσσήνιον, ἀπέστειλε πρὸς αὐτὸν, ἀξιῶν ὑπὸ τῶν Ἀχαιῶν καὶ τῶν Λακεδαιμονίων ὁμοῦ φυλάττεσθαι τὸν Ἀκροκόρινθον, ἰδίᾳ δὲ τῷ Ἀράτῳ διπλῆν ἐπαγγελλόμενος τὴν σύνταξιν, ἣς ἐλάμβανε παρὰ Πτολεμαίου τοῦ βασιλέως. ἐπεὶ δ' ὁ Ἄρατος οὐχ ὑπήκουσεν, ἀλλὰ τόν

τε

1 Sic cum Anon. & SG. ſcribendum cenſuit Br. deditque R. pro vulg. βουλομένων. V. in ſeq. πρὸς inſerit ante τοὺς πολ.

2 V. & SG. διολισθών.

3 deeſt haec praepoſ. Junt. Ald. Crat.

4 Aratum puta, ad quem eundem idem pronomen in ſeq. redit. R.

5 ſcil. τὸν Κλεομένην παρ' Ἀράτου. R.

6 ſcil. αὐτὸς — *ſe*, Aratum, *in poteſtate res non habere.*

7 In Arato hic dicitur *Tripylus.* Hinc Br. & Moſ. Duſ. ſuſp. legendum: Τρίπυλον δὲ καὶ πάλιν Μεγιστόνουν.

τε υἱὸν ἔπεμψε πρὸς τὸν Ἀντίγονον μετὰ τῶν ἄλλων ὁμήρων, καὶ ψηφίσαϑαι τὸς Ἀχαιὸς ἔπεισεν Ἀντιγόνῳ παραδιδόναι τὸν Ἀκροκόρινϑον· ὅτως ὁ Κλεομένης τήν τε Σικυωνίαν ἐμβαλὼν ἐπόρϑησε, καὶ τὰ χρήματα τῦ Ἀράτε, τῶν Κορινϑίων αὐτῷ ψηφισαμένων, δωρεὰν ἔλαβε.

XX. Τῦ δ' Ἀντιγόνε μετὰ πολλῆς δυνάμεως τὴν Γερανίαν [1] ὑπερβάλλοντος, ὀκ ᾤετο δεῖν τὸν Ἰσϑμὸν, ἀλλὰ τὰ Ὤνια χαρακώσας καὶ τειχίσας φυλάττειν, καὶ τοπομαχῶν ἀποτρίβεϑαι τὸς Μακεδόνας μᾶλλον, ἢ συμπλέκεϑαι πρὸς φάλαγγα συνησκημένην. καὶ τότοις χρώμενος τοῖς λογισμοῖς, εἰς απορίαν καϑίςη τὸν Ἀντίγονον. ὅτε γὰρ σῖτον εἶχεν ἐκ παρασκευῆς ἱκανὸν, ὅτε βιάσαϑαι τὴν πάροδον, καϑημένε [2] τῦ Κλεομένες, ἦν ῥᾴδιον. ἐπιχειρήσας δὲ παραδύεϑαι διὰ τῦ Λεχαίε νυκτὸς, ἐξέπεσε, καί τινας ἀπέβαλε τῶν ςρατιωτῶν. ὥςε παντάπασι ϑαῤῥῆσαι τὸν Κλεομένην, καὶ τὸς περὶ αὐτὸν ἐπηρμένες τῇ νίκῃ τραπέϑαι πρὸς τὸ δεῖπνον· ἀϑυμεῖν δὲ τὸν Ἀντίγονον εἰς ὀκ εὐπόρες καταλειόμενον ὑπὸ τῆς ἀνάγκης λογισμὸς. ἐβελεύετο [3] γὰρ ἐπὶ τὴν ἄκραν ἀναζευγνύναι τὸ Ἡραῖον, κἀκεῖϑεν εἰς Σικυῶνα πλοίοις περαιῶσαι τὴν δύναμιν. ὃ καὶ χρόνε πολ-

1 SG. Γερανείαν. Mons fuit inter Megaram & Corinthum. cf. Pausan. in Attic. & Plin. l. IV. c. 7. Pro Ὤνια, quod seq. lin. extat, Xyl. & Dacer. legi volunt Ὤνεια, ut montes Onii intelligantur, qui a Scironiis petris, ea parte, qua ad Atticam est via, usque ad Boeotiam & Cithaeronem pertinent. Anon. Ὤνεια exhibet.

2 R. mavult προσκαϑημένε. Seq. ἦν e Junt. addidisse se monet idem. Abest autem sola a Bry. Omnes reliquae exhibent.

3 Sic cum V. & Anon. scribi voluit Mos. Dus. deditque R. pro vulg. ἐβέλετο, quae lectio ex Ald. in reliquas transiit, orta ex prava accentus collocatione, ut R. conjicit, in Juntina, ubi legitur ἐβελεύετο.

πολλȣ̃ καὶ παρασκευῆς ἦν ȣ̓ τῆς τυχȣ́σης. ἤδη δὲ πρὸς ἑσπέραν ἧκον ἐξ Ἄργȣς κατὰ θάλατ]αν ἄνδρες Ἀράτȣ φίλοι, καλȣ̃ν]ες αὐτὸν, ὡς ἀφισαμένων τῶν Ἀργείων τȣ̃ Κλεομένȣς. ὁ δὲ πράτ]ων ἦν [1] τὴν ἀπόςασιν Ἀριςοτέλης· καὶ τὸ πλῆθος ȣ̓ χαλεπῶς ἔπεισεν, ἀγανακ]ȣ̃ν, ὅτι χρεῶν ἀποκοπὰς ȣ̓κ ἐποίησεν αὐτοῖς ὁ Κλεομένης ἐλπίσασι. λαβὼν ȣ̃ν ὁ Ἄρατος παρ' Ἀντιγόνȣ ςρατιώτας χιλίȣς καὶ πεντακοσίȣς, παρέπλευσεν εἰς Ἐπίδαυρον. ὁ δ' Ἀριςοτέλης ἐκεῖνον ȣ̓ περιέμεινεν [2], ἀλλὰ τȣ̀ς πολίτας παραλαβὼν, προσεμάχετο τοῖς Φρȣρȣ̃σι τὴν ἀκρόπολιν· καὶ παρῆν αὐτῷ Τιμόξενος μετὰ τῶν Ἀχαιῶν ἐκ Σικυῶνος βοηθῶν.

XXI. Ταῦτα περὶ δευτέραν φυλακὴν τῆς νυκ]ὸς ἀκȣ́σας ὁ Κλεομένης, μετεπέμψατο Μεγιςόνȣν, καὶ πρὸς ὀργὴν ἐκέλευσεν εὐθὺς εἰς Ἄργος βοηθεῖν. ὁ γὰρ ὑπὲρ τῶν Ἀργείων μάλιςα καταπιςωσάμενος πρὸς αὐτὸν ἐκεῖνος ἦν, καὶ διεκώλυσεν ἐκβαλεῖν τȣ̀ς ὑπόπ]ȣς. ἀπολύσας ȣ̃ν τὸν Μεγιςόνȣν μετὰ διχιλίων ςρατιωτῶν, αὐτὸς προσεῖχε τῷ Ἀντιγόνῳ, καὶ τȣ̀ς Κορινθίȣς παρεθάῤῥυνεν, ὡς ȣ̓δενὸς μεγάλȣ περὶ τὸ Ἄργος, ἀλλὰ ταραχῆς τινος ἀπ' ἀνθρώπων ὀλίγων γεγενημένης. ἐπεὶ δ' ὁ Μεγιςόνȣς τε παρεισπεσὼν εἰς τὸ Ἄργος ἀνῃρέθη μαχόμενος, καὶ μόγις ἀντεῖχον οἱ φρȣροὶ, καὶ διεπέμπον]ο συχνȣ̀ς πρὸς τὸν Κλεομένην· φοβηθεὶς, μὴ τȣ̃ Ἄργȣς οἱ πολέμιοι κρατήσαντες, καὶ τὰς παρόδȣς ἀποκλείσαντες, αὐτοὶ πορθῶσιν ἀδεῶς τὴν Λακωνικὴν, καὶ πολιορκῶσι τὴν Σπάρτην, ἔρημον ȣ̃σαν, ἀπῆγεν ἐκ Κορίνθȣ τὸ ςράτευμα. καὶ ταύτης μὲν εὐθὺς ἐςέρητο τῆς πόλεως, εἰσελθόν]ος Ἀντιγόνȣ, καὶ φρȣρὰν καταςήσαν]ος· ἐπιβαλὼν δὲ τῷ Ἄργει κατὰ τὸ τεῖχος, ἐπεχείρησε μὲν [3] εἰσάλλεσθαι, καὶ συνέςρεψεν ἐκ τῆς πορείας

1 SG. & V. πράτ]ων μὲν ἦν.

2 SG. περιέμενεν.

3 Addidit hanc partic. quae vulgo abeſt, R. e Junt. Eſt & in Ald. Crat. & SG. Pro εἰσάλλ. V. & SG. εἰσαλέσθαι.

πορείας τὴν δύναμιν. ἐκκόψας δὲ τὰς ὑπὸ τὴν Ἀσπίδα ψαλίδας, ἀνέβη καὶ συνέμιξε τοῖς ἔνδον, ἔτι πρὸς τὰς Ἀχαιὰς ἀντέχεσι. καὶ τῶν ἐντὸς ἔνια κλίμακας προσθεὶς κατέλαβε, καὶ τὰς ςενωπὰς ἐρήμας πολεμίων ἐποίησε, τοῖς βέλεσι χρήσαθαι προστάξας τὰς Κρῆτας. ὡς δὲ κατεῖδε τὸν Ἀντίγονον ἀπὸ τῶν ἄκρων εἰς τὸ πεδίον καταβαίνοντα μετὰ τῆς Φάλαγγος, τὰς δ' ἱππεῖς ἤδη ῥύδην ἐλαύνοντας εἰς τὴν πόλιν, ἀπέγνω κρατήσειν· καὶ συναγαγὼν ἅπαντας πρὸς αὐτὸν, ἀσφαλῶς κατέβη, καὶ παρὰ τὸ τεῖχος ἀπηλλάττετο, μεγίςων μὲν ἐν ἐλαχίςῳ χρόνῳ πραγμάτων ἐπικρατήσας, καὶ μετὰ μικρὸν [1] ὅλης ὁμᾶ τι μιᾷ περιόδῳ Πελοποννήσα κύριος γενέθαι δεήσας, ταχὺ δ' αὖθις ἐκπεσὼν ἁπάντων. οἱ μὲν γὰρ εὐθὺς ἀπεχώρησαν αὐτᾶ τῶν ςρατευομένων [2], οἱ δ' ὀλίγον ὕςερον τῷ Ἀντιγόνῳ τὰς πόλεις παρέδωκαν.

XXII. Οὕτω δ' αὐτῷ πεπραχότι κατὰ τὴν ςρατείαν, καὶ ἀπαγαγόντι τὴν δύναμιν, ἑσπέρας ἤδη περὶ Τεγέαν ἀφίκοντό τινες ἐκ Λακεδαίμονος, ἐκ ἐλάττονα τῆς ἐν χερσὶ δυςυχίας [3] ἀπαγγέλλοντες, τεθνάναι τὴν γυναῖκα· δι' ἣν ἐδὲ ταῖς πάνυ κατορθεμέναις ἐκεῖνος ἐνεκαρτέρει ςρατείαις, ἀλλὰ συνεχῶς κατέβαινεν εἰς Σπάρτην, ἐρῶν τῆς Ἀγιάτιδος [4], καὶ περὶ πλείςα ποιέμενος ἐκείνην. ἐπλήγη μὲν ἂν καὶ ἤλγησεν, ὡς εἰκὸς ἦν νέον ἄνδρα καλλίςης καὶ σωφρονεςάτης ἀφῃρημένον γυναικός. ἐ μὴν κατῄσχυνεν, ἐδὲ προήκατο τῷ πάθει τὸ φρόνημα καὶ τὸ μέγεθος τῆς ψυχῆς· ἀλλὰ καὶ φωνὴν, καὶ σχῆμα, καὶ μορφὴν, ἐν ᾧ πρότερον εἶχεν ἤθει διαφυλάττων, τά τε προστάγματα [5] τοῖς ἡγεμόσιν ἐδίδε,



1 Praepof. μετὰ omittit V. Eadem Mofi Duf. importuna videtur. Mavult παρὰ μικρ. aut fine praep. μικρᾶ. Pro τι post ὁμᾶ SG. τῇ.

2 Br. fufp. τῶν συςρατευομένων.

3 SG. δυςυχίαν.

4 SG. Ἄγιδος. Sic & Junt. Ald. Crat.

5 V. τά τε πράγματα. Sic & margo SG. cum γρ.

δε, καὶ περὶ τῆς ἀσφαλείας τῶν Τεγεατῶν ἐφρόντιζεν. ἅμα δ' ἡμέρᾳ κατέβαινεν εἰς Λακεδαίμονα, καὶ μετὰ τῆς μητρὸς οἴκοι καὶ μετὰ [1] τῶν παίδων ἀπαλγήσας τὸ πένθος, εὐθὺς ἦν ἐν τοῖς περὶ τῶν ὅλων λογισμοῖς. ἐπεὶ δὲ Πτολεμαῖος, ὁ τῆς Αἰγύπτȣ βασιλεὺς, ἐπαγγελλόμενος αὐτῷ βοήθειαν, ἠξίȣ λαβεῖν ὅμηρα τȣ̀ς παῖδας καὶ τὴν μητέρα, χρόνον μέν τινα [2] συχνὸν ᾐσχύνετο φράσαι τῇ μητρὶ, καὶ πολλάκις εἰσελθὼν [3], καὶ πρὸς αὐτῷ γενόμενος τῷ λόγῳ, κατεσιώπησεν· ὥϛε κἀκείνην ὑπονοεῖν, καὶ παρὰ τῶν φίλων αὐτȣ̃ διαπυνθάνεσθαι, μή τι κατοκνεῖ [4] βȣλόμενος ἐντυχεῖν αὐτῇ. τέλος δὲ τȣ̃ Κλεομένȣς ἀποτολμήσαντος εἰπεῖν, ἐξεγέλασέ τε μέγα, καί· Τȣ̃τ' ἦν, εἶπεν, ὃ πολλάκις ὁρμήσας λέγειν ἀπεδειλίασας; ȣ̓ θᾶττον ἡμᾶς ἐνθέμενος εἰς πλοῖον ἀποϛελεῖς, ὅπȣ ποτὲ τῇ Σπάρτῃ νομίζεις τȣ̃το τὸ σῶμα [5] χρησιμώτατον ἔσεσθαι, πρὶν ὑπὸ γήρως αὐτȣ̃ καθήμενον διαλυθῆναι; πάντων ȣ̓̃ν ἑτοίμων γενομένων, ἀφίκοντο μὲν εἰς Ταίναρον πεζῇ, καὶ προὔπεμπεν [6] ἡ δύναμις αὐτȣ̀ς σὺν τοῖς ὅπλοις· μέλλȣσα δὲ τῆς νεὼς ἐπιβαίνειν ἡ Κρατησίκλεια, τὸν Κλεομένην μόνον εἰς τὸν νεὼν τȣ̃ Ποσειδῶνος ἀπήγαγε, καὶ περιβαλȣ̃σα καὶ κατασπασαμένη διαλγȣ̃ντα καὶ συντεταραγμένον· Ἄγε, εἶπεν, ὦ βασιλεῦ Λακεδαιμονίων, ὅπως, ἐπὰν ἔξω γενώμεθα, μηδεὶς ἴδῃ δακρύοντας ἡμᾶς, μηδ' ἀνάξιόν τι τῆς Σπάρτης ποιȣ̃ντας. τȣ̃το γὰρ ἐφ' ἡμῖν μόνον· αἱ τύχαι δ', ὅπως ἂν ὁ δαίμων διδῷ, πάρεισι.

Ταῦτα

1 abest *μετὰ* a SG.

2 abest *τινὰ* a SG.

3 Subaud. *πρὸς τὴν μητέρα*. R. monente, seq. dictio *πρὸς αὐτῷ γενόμενος τῷ λόγῳ* idem valet ac *ἤδη μέλλων αὐτῇ λέγειν τὰ διανοȣ́μενα*, *jam in ipso versans momento matri dicendi ea, quae dicenda haberet.* Mos. Dus. scribi voluit *πρὸς αὐτῷ*.

4 SG. *κατοκνῇ*.

5 SG. inverso ordine *τὸ σῶμα τȣ̃το*.

6 SG. *προὔπεμψεν*.

Ταῦτα δ' εἰπȣ̃σα, καὶ καταςήσασα τὸ πρόσωπον, ἐπὶ τὴν ναῦν ἐχώρει τὸ παιδίον ἔχȣσα· καὶ διὰ τάχȣς ἐκέλευσεν ἀπαίρειν τὸν κυβερνήτην. ἐπεὶ δ' εἰς Αἴγυπτον ἀφίκετο, καὶ τὸν Πτολεμαῖον ἐπύθετο λόγȣς παρ' Ἀντιγόνȣ καὶ πρεσβείας δεχόμενον, περὶ δὲ τȣ̃ Κλεομένȣς ἤκȣσεν [1], ὅτι, τῶν Ἀχαιῶν προκαλȣμένων αὐτὸν εἰς διαλύσεις, φοβοῖτο δι' ἐκείνην ἄνευ Πτολεμαίȣ καταθέσθαι τὸν πόλεμον, ἐπέςειλεν αὐτῷ τὰ τῇ Σπάρτῃ πρέποντα καὶ συμφέροντα πράττειν, καὶ μὴ διὰ μίαν γραῦν καὶ παιδάριον [2] ἀεὶ δεδιέναι Πτολεμαῖον. αὕτη μὲν ȣ̃ν παρὰ τὰς τύχας τοιαύτη λέγεται γεγενῆσθαι.

XXIII. Τȣ̃ δ' Ἀντιγόνȣ Τεγέαν μὲν παραλαβόντος, Ὀρχομενὸν δὲ καὶ Μαντίνειαν διαρπάσαντος, εἰς αὐτὴν τὴν Λακωνικὴν συνεςαλμένος ὁ Κλεομένης, τῶν μὲν εἱλώτων τȣ̀ς πέντε μνᾶς Ἀττικὰς καταβαλόντας ἐλευθέρȣς ἐποίει· καὶ τάλαντα πεντακόσια συνέλεξε. δισχιλίȣς δὲ προσκαθοπλίσας Μακεδονικῶς, ἀντίταγμα τοῖς παρ' Ἀντιγόνȣ λευκάσπισιν, ἔργον ἐπὶ νȣ̃ν βάλλεται μέγα, καὶ πᾶσιν ἀπροσδόκητον. ἡ Μεγάλη πόλις ἦν μὲν τότε καὶ καθ' ἑαυτὴν ȣ̓δέν τι μείων, ȣ̓δ' ἀσθενεςέρα τῆς Λακεδαίμονος· εἶχε δὲ καὶ [3] τὴν ἀπὸ τῶν Ἀχαιῶν καὶ τȣ̃ Ἀντιγόνȣ βοήθειαν, ἐν πλευραῖς καθεζομένȣ, καὶ δοκȣ̃ντος ὑπὸ τῶν Ἀχαιῶν ἐπικεκλῆσθαι, μάλιςα τῶν Μεγαλοπολιτῶν σπȣδασάντων. ταύτην [4] διαρπάσαι διανοηθεὶς ὁ Κλεομένης, (ȣ̓ γάρ ἐςιν, ᾧ μᾶλλον ἔοικε τὸ ταχὺ καὶ ἀπροσδόκητον ἐκείνης τῆς πράξεως) ἡμερῶν πέντε σιτία λαβεῖν κελεύσας, ἐξῆγε τὴν δύναμιν ἐπὶ τὴν Σελλασίαν [5], ὡς τὴν Ἀργολικὴν κακȣρ-



1 V. ἤκȣεν. Junt vitiose ἤκȣσα.

2 R. mavult παιδάρια, quia supra dixerat τȣ̀ς παῖδας, & infra iterum c. 38. τὰ παιδία. Attamen vix praecessit τὸ παιδίον?

3 abest καὶ a SG.

4 Sic cum V. Anon. & SG. dari voluit Br. deditque R. pro vulg. ταῦτα.

5 SG. Σελασίαν. Sic & Junt. Ald. Crat.

κακεργήσων· ἐκεῖθεν δὲ [1] καταβὰς ἐπὶ τὴν Μεγαλοπολιτικὴν, καὶ δειπνοποιησάμενος [2] περὶ τὸ Ῥοίτιον, εὐθὺς ἐπορεύετο τὴν δι᾽ Ἑλικοῦντος [3] ἐπὶ τὴν πόλιν. ἀποσχὼν δ᾽ οὐ πολὺ, Παντέα [4] μὲν, ἔχοντα δύο τάγματα τῶν Λακεδαιμονίων, ἀπέστειλε καταλαβέσθαι κελεύσας μεσοπύργιον, ὃ τῶν τειχῶν ἐρημότατον εἶναι τοῖς Μεγαλοπολίταις ἐπυνθάνετο, τῇ δ᾽ ἄλλῃ δυνάμει σχολαίως ἐπηκολούθει. τοῦ δὲ Παντέως οὐ μόνον ἐκεῖνον τὸν τόπον, ἀλλὰ καὶ πολὺ μέρος ἐκείνου [5] τοῦ τείχους, ἀφύλακτον εὑρόντος, καὶ τὰ μὲν καθαιροῦντος εὐθὺς, τὰ δὲ διασκάπτοντος, τῶν δὲ φρουρῶν, οἷς ἐνέτυχε, πάντας ἀποκτείναντος, ἔφθασε προσμίξας ὁ Κλεομένης, καὶ πρὶν αἰσθέσθαι τοὺς Μεγαλοπολίτας, ἔνδον ἦν μετὰ τῆς δυνάμεως.

XXIV. Φανεροῦ δὲ μόλις τοῦ κακοῦ γενομένου τοῖς κατὰ τὴν πόλιν, οἱ μὲν εὐθὺς ἐξέπιπτον, ὅσα τυγχάνοι τῶν χρημάτων λαμβάνοντες. οἱ δὲ συνεστρέφοντο μετὰ τῶν ὅπλων, καὶ τοῖς πολεμίοις ἐνιστάμενοι καὶ προσβαλόντες [6], ἐκείνους μὲν οὐκ ἴσχυσαν ἐκκροῦσαι, τοῖς δὲ φεύγουσι τῶν πολιτῶν ἀσφαλῶς ἀπελθεῖν παρέσχον· ὥστε μὴ πλείονα τῶν χιλίων ἐγκαταληφθῆναι [7] σωματα, τοὺς δ᾽ ἄλλους ἅπαντας ὁμοῦ μετὰ τέκνων καὶ γυναικῶν φθά-

1 SG. ἐκεῖθεν γε.

2 Sic H. Steph. maluit, & in vet. cod. legit. Sic quoque cum Anon. V. & SG. dedit R. pro vulg. δεῖπνα ποιησάμενος. Pro seq. Ῥοίτιον SG. Ῥοίτειον (falso in not. R. tribuitur Anon.) Mos. Dus. susp. *Zoetium* ex auctoritate Cellarii.

3 Br. judice, certa est Lubini emendatio legentis Ἑλίσσοντος.

4 SG. h. l. & infra Παντέαν. Sic & Junt. Ald. & Crat. Pro seq. τάγματα V. & SG. ταγμάτων.

5 abest ἐκείνου a SG.

6 Sic in SG. ab initio scriptum, sed deinde emendatum προσβάλλοντες.

7 Sic R. de suo dedit. Vulgo ἐγκαταλειφθῆναι. SG. καταληφθῆναι.

φθάσαι διαφυγόντας εἰς Μεσσήνην. ἐσώθη [1] δὲ καὶ τῶν προσβοηθέντων καὶ μαχομένων τὸ πλῆθος· ὀλίγοι δὲ παντάπασιν ἥλωσαν, ὧν ἦν Λυσανδρίδας [2] καὶ Θεαρίδας, ἄνδρες ἔνδοξοι καὶ δυνατοὶ μάλιστα τῶν Μεγαλοπολιτῶν. διὸ καὶ λαβόντες αὐτοὺς εὐθὺς [3] οἱ στρατιῶται τῷ Κλεομένει προσῆγον. ὁ δὲ Λυσανδρίδας ὡς εἶδε τὸν Κλεομένην πόῤῥωθεν, ἀναβοήσας· Ἔξεστί σοι νῦν, εἶπεν, ὦ βασιλεῦ Λακεδαιμονίων, ἔργον ἐπιδειξαμένῳ [4] τοῦ πεπραγμένου κάλλιον καὶ βασιλικώτατον [5], ἐνδοξοτάτῳ γενέσθαι. ὁ δὲ [6] Κλεομένης ὑποπτεύσας αὐτοῦ τὴν ἔντευξιν· Τί δ', εἶπεν, ὦ Λυσανδρίδα, λέγεις; οὐ γὰρ δή που με τὴν πόλιν ὑμῖν ἀποδοῦναι κελεύσεις [7]; καὶ ὁ Λυσανδρίδας· Αὐτὸ μὲν, ἔφη, λέγω, καὶ συμβουλεύω, μὴ διαφθεῖραι πόλιν τηλικαύτην, ἀλλ' ἐμπλῆσαι φίλων καὶ συμμάχων πιστῶν καὶ βεβαίων, ἀποδόντα Μεγαλοπολίταις τὴν πατρίδα, καὶ σωτῆρα δήμου τοσούτου γενόμενον. μικρὸν οὖν ὁ Κλεομένης διασιωπήσας· Χαλεπὸν μὲν [8], ἔφη, ταῦτά τῳ πιστεῦσαι, νικάτω δὲ τὸ πρὸς δόξαν ἀεὶ μᾶλλον, ἢ τὸ λυσιτελὲς, παρ' ἡμῖν. καὶ ταῦτ' εἰπὼν ἀπέστελλε [9] τοὺς ἄνδρας



1 V. ἐσώθησαν. Id. in seq. τῶν βοηθέντων καὶ προσμαχομένων τὸ πλῆθος. E SG. enotatum est τῶν μαχομένων πλ. Incertum, an προσβοηθ. καὶ desint, an vero articulus τῶν ante μαχομ. iteratus sit.

2 SG. post h. v. inserit τε.

3 E Junt. hanc vocem se addidisse monet R. Sola ex Br. exciderat.

4 SG. ἀποδειξαμένῳ.

5 Rectius, H. Steph. judice, βασιλικώτερον. Sic & Anon.

6 SG. δὲ exhibet post Κλεομ. Idem est in Junt. In seq. haec eadem ὑποτοπύσας; Omnes rell. ὑποτοπήσας, excepta Br. quae habet ὑποπτεύσας.

7 SG. κελεύεις. Idem post sequens μὲν addit οὖν. R. mavult: αὐτὸ μὲν, ἔφη, τοῦτο λέγω.

8 abest μὲν a SG. Sequens τῳ Br. dari voluit, deditque R. pro vulg. τῷ. V. & Anon. τὸ habent. SG. πιστεῦσαι ταῦτα.

9 V. & SG. ἀπέστειλε.

εἰς Μεσσήνην, καὶ κήρυκα παρ᾽ ἑαυτȣ͂, τοῖς Μεγαλοπολίταις ἀποδȣ̀ς [1] τὴν πόλιν ἐπὶ τῷ συμμάχȣς εἶναι καὶ φίλȣς, ἀποσάντας Ἀχαιῶν. ȣ῞τω δὲ τȣ͂ Κλεομένȣς εὐγνώμονα καὶ φιλάνθρωπα προτείναντος, ȣ̓κ εἴασε τȣ̀ς Μεγαλοπολίτας ὁ Φιλοποίμην ἐγκαταλιπεῖν [2] τὴν πρὸς τȣ̀ς Ἀχαιȣ̀ς πίστιν, ἀλλὰ κατηγορῶν τȣ͂ Κλεομένȣς, ὡς ȣ̓ ζητȣ͂ντος ἀποδȣ͂ναι τὴν πόλιν, ἀλλὰ προσλαβεῖν τȣ̀ς πολίτας, ἐξέβαλε τὸν Θεαρίδαν καὶ τὸν Λυσανδρίδαν ἐκ τῆς Μεσσήνης. ȣ῏τος ἦν Φιλοποίμην [3], ὁ πρωτεύσας ὕστερον Ἀχαιῶν, καὶ μεγίστην κτησάμενος ἐν τοῖς Ἕλλησι δόξαν, ὡς ἰδίᾳ περὶ αὐτȣ͂ γέγραπται.

XXV. Τȣ́των δὲ ἀπαγγελθέντων τῷ Κλεομένει, τετηρηκὼς τὴν πόλιν ἄθικτον καὶ ἀκέραιον, ὥστε μηδένα λαθεῖν μηδὲ τȣ̓λάχιστον λαβόντα, τότε παντάπασι τραχυνθεὶς καὶ ἀγανακτήσας, τὰ μὲν χρήματα διήρπασεν, ἀνδριάντας δὲ καὶ γραφὰς ἀπέστειλεν εἰς Σπάρτην· τῆς δὲ πόλεως τὰ πλεῖστα καὶ μέγιστα μέρη κατασκάψας [4] καὶ διαφθείρας, ἀνέζευξεν ἐπ᾽ οἴκȣ, φοβȣ́μενος τὸν Ἀντίγονον καὶ τȣ̀ς Ἀχαιȣ́ς. ἐπράχθη δ᾽ ȣ̓δὲν ἀπ᾽ αὐτῶν. ἐτύγχανον μὲν γὰρ ἐν Αἰγίῳ βȣλὴν ἔχοντες. ἐπεὶ δ᾽ Ἄρατος ἀναβὰς ἐπὶ τὸ βῆμα, πολὺν μὲν χρόνον ἔκλαιε, τὴν χλαμύδα θέμενος πρὸ τȣ͂ προσώπȣ· θαυμαζόντων δὲ καὶ λέγειν κελευόντων, εἶπεν, ὅτι Μεγάλη πόλις ἀπόλωλεν ὑπὸ Κλεομένȣς· ἡ μὲν ȣ͂ν [5] σύνοδος εὐθὺς διελύθη, τῶν Ἀχαιῶν καταπλαγέντων τὴν ὀξύτητα καὶ τὸ μέγεθος τȣ͂ πάθȣς. ὁ δ᾽ Ἀντίγονος ἐπιχειρήσας βοηθεῖν, εἶτα βραδέως αὐτῷ τῆς δυνάμεως ἐκ τῶν χειμαδίων ἀνισαμένης [6], ταύτην μὲν αὖθις ἐκέλευσε

1 SG. ἀποδιδȣ̀ς.

2 In texto cod. ab hoc verbo usque ad ἐκ τῆς omnia absunt, ab alia autem manu adnotata ad infimam paginae oram.

3 SG. ὁ Φιλοπ.

4 V. κατακόψας.

5 abest ȣ͂ν a SG.

6 V. ἀνισάμενος.

λευσε κατὰ χώραν μένειν· αὐτὸς δὲ παρῆλθεν εἰς Ἄργος, οὐ πολλοὺς ἔχων [1] στρατιώτας μεθ' ἑαυτοῦ. διὸ καὶ τὸ δεύτερον ἐγχείρημα τοῦ Κλεομένους ἔδοξε μὲν τετολμῆσθαι παραβόλως καὶ μανικῶς, ἐπράχθη δὲ μετὰ πολλῆς προνοίας, ὥς φησι Πολύβιος. εἰδὼς γὰρ εἰς τὰ χειμάδια διεσπαρμένους κατὰ πόλιν [2], ὥς φησι, τοὺς Μακεδόνας, καὶ τὸν Ἀντίγονον οὐ πολλοὺς ἔχοντα μισθοφόρους ἐν Ἄργει διαχειμάζοντα μετὰ τῶν φίλων, ἐνέβαλεν εἰς τὴν Ἀργείαν, λογιζόμενος, ἢ δι' αἰσχύνην τοῦ Ἀντιγόνου παροξυνθέντος ἐπικρατήσειν [3], ἢ μὴ τολμήσαντα μάχεσθαι διαβαλεῖν πρὸς τοὺς Ἀργείους. ὃ καὶ συνέβη. διαφθειρομένης γὰρ τῆς χώρας ὑπ' αὐτοῦ, καὶ πάντων ἀγομένων καὶ φερομένων, οἱ μὲν Ἀργεῖοι δυσαναχετοῦντες ἐπὶ τὰς θύρας συνεστρέφοντο [4] τοῦ βασιλέως, καὶ κατεβόων, μάχεσθαι κελεύοντες, ἢ τοῖς κρείττοσιν ἐξίστασθαι τῆς ἡγεμονίας· ὁ δ' Ἀντίγονος, ὡς ἔδει στρατηγὸν ἔμφρονα, τὸ κινδυνεῦσαι παραλόγως, καὶ προέσθαι τὴν ἀσφάλειαν, αἰσχρὸν, οὐ τὸ κακῶς ἀκοῦσαι παρὰ τοῖς ἐκτὸς, ἡγούμενος, οὐ προῆλθεν, ἀλλ' ἐνέμεινεν ἐν τοῖς [5] αὐτοῦ λογισμοῖς. ὁ δὲ Κλεομένης, ἄχρι τῶν τειχῶν τῷ στρατῷ προσελθὼν, καὶ καθυβρίσας, καὶ διαλυμηνάμενος ἀδεῶς, ἀνεχώρησεν.

XXVI. Ὀλίγῳ δ' ὕστερον αὖθις εἰς Τεγέαν ἀκούσας προϊέναι τὸν Ἀντίγονον, ὡς ἐκεῖθεν εἰς τὴν Λακωνικὴν



1 Sic Xyl. & Tudertin. legerunt, & est in Anon. deditque R. Vulgo πολλοὺς ἔχων absque οὐ. Sequitur in his Plutarchus Polybium, L. II. versus finem haec eadem referentem. Paulo post Junt. διὸ καὶ δὲ δεύτερον pro τὸ δεύτ.

2 Anon. κατὰ πόλεις, quod probat Mos. Dus. Vulgatam tuetur R. & subaudiri vult ἑκάστην.

3 R. videtur ante aut post h. v. deesse μαχόμενος, *fore ut aut vincat*, (Cleomenes,) *si Antigonus pudore motus in pugnae periculum descendat*. Seq. διαβαλεῖν Idem cum SG. dedit ob praemissum ἐπικρατήσειν pro vulg. διαβάλλειν.

4 Sic cum cod. Steph. & SG. R. dedit. Vulgo ἀνεστρέφοντο.

5 SG. ἐνέμενεν τοῖς.

νικὴν ἐμβαλοῦντα, ταχὺ τοὺς στρατιώτας ἀναλαβὼν, καὶ καθ' ἑτέρας ὁδοὺς παραλλάξας, ἅμ' ἡμέρᾳ πρὸς τῇ πόλει τῶν Ἀργείων ἀνεφάνη πορθῶν τὸ πεδίον, καὶ τὸν σῖτον οὐ κείρων, ὥσπερ οἱ λοιποὶ, δρεπάναις καὶ μαχαίραις, ἀλλὰ κόπτων ξύλοις μεγάλοις εἰς σχῆμα ῥομφαίας ἀπειργασμένοις, ὡς [1] ἐπὶ παιδιᾷ χρωμένους ἐν τῷ πορεύεσθαι σὺν μηδενὶ πόνῳ πάντα συγκατατρίψαι καὶ διαφθεῖραι τὸν καρπόν. ὡς μέντοι κατὰ τὴν Κυλλάβαριν [2] γενόμενοι, τὸ γυμνάσιον, ἐπεχείρουν προσφέρειν πῦρ, ἐκώλυσεν, ὡς καὶ τῶν περὶ Μεγάλην πόλιν ὑπ' ὀργῆς μᾶλλον, ἢ καλῶς [3], αὐτῷ πεπραγμένων. τοῦ δ' Ἀντιγόνου πρῶτον μὲν εὐθὺς εἰς Ἄργος ἀναχωρήσαντος, ἔπειτα τὰ ὄρη καὶ τὰς ὑπερβολὰς πάσας φυλακαῖς καταλαβόντος, ἀμελεῖν καὶ καταφρονεῖν προσποιούμενος, ἔπεμψε κήρυκας, τὰς κλεῖς ἀξιῶν τοῦ Ἡραίου λαβεῖν, ὅπως ἀπαλλάττοιτο τῇ θεῷ θύσας. οὕτω δὲ παίξας καὶ κατειρωνευσάμενος, καὶ τῇ θεῷ θύσας ὑπὸ τὸν νεὼν [4] κεκλεισμένον, ἀπήγαγεν εἰς Φλιοῦντα τὸν στρατόν· ἐκεῖθεν δὲ τοὺς φρουροῦντας τὸ Ὀλόγουντον [5] ἐξελάσας, κατέβη παρὰ τὸν Ὀρχομενόν· οὐ μόνον τοῖς πολίταις φρόνημα καὶ θάρσος ἐμπεποιηκὼς, ἀλλὰ καὶ τοῖς πολεμίοις ἀνὴρ ἡγεμονικὸς δοκῶν εἶναι, καὶ πραγμάτων μεγάλων ἄξιος. τὸ γὰρ ἐκ μιᾶς πόλεως ὁρμώμενον, ὁμοῦ τῇ Μακεδόνων δυνάμει, καὶ Πελοποννησίοις ἅπασι καὶ χορηγίᾳ βασιλικῇ πολεμεῖν, καὶ μὴ μόνον ἄθικτον διαφυλάτ-

1 Anon. οἷς. Duſ. mavult ὥστε. Ald. & Junt. ἐπὶ πεδιᾷ ſcribunt; Crat. ἐπὶ παιδιᾷ. Pro συγκατατρίψαι, quod ſequitur, SG. συγκαταῤῥίψαι, quod praefert Dacer. — In Junt. Ald. Crat. συγκαταρίψαι. Voces καὶ διαφθ. ſola omiſit Br. Eas reſtituit R.

2 De hoc nomine vid. ſupra p. 173. not. 3.

3 V. κακῶς.

4 Junt. Ald. Crat. νεώ. Eaedem omittunt δὲ, quod paulo poſt ſecundum Steph. pone ἐκεῖθεν datur.

5 V. τὸ Ὀλόγουτον; SG. τὸν Ὀνόγυρτον.

λάττοντα τὴν Λακωνικὴν, ἀλλὰ καὶ χώραν κακῶς ποιῦντα τὴν ἐκείνων, καὶ πόλεις αἱρῦντα τηλικαύτας, ὃ τῆς τυχέσης ἐδόκει δεινότητος εἶναι καὶ μεγαλοφροσύνης.

XXVII. Ἀλλ' ὁ πρῶτος τὰ χρήματα νεῦρα τῶν πραγμάτων προσειπὼν, εἰς τὰ τῦ πολέμυ τὰ μάλιςα [1] βλέψας τῦτ' εἰπεῖν ἔοικε. καὶ Δημάδης, τὰς τριήρεις μὲν καθέλκειν καὶ πληρῦν ποτε τῶν Ἀθηναίων κελευόντων, χρήματα δ' ὐκ ἐχόντων· Πρότερόν ἐςιν, ἔφη, τῦ πρῶρα τὸ φυράσαι [2]. λέγεται δὲ καὶ Ἀρχίδαμος ὁ παλαιὸς, ὑπὸ τὴν ἀρχὴν τῦ Πελοποννησιακῦ πολέμυ, κελευόντων εἰσφορὰς τάξαι τῶν συμμάχων αὐτὸν, εἰπεῖν, ὡς ὁ πόλεμος ὐ τεταγμένα σιτεῖται. καθάπερ γὰρ οἱ [3] σεσωμασκηκότες ἀθληταὶ τῷ χρόνῳ καταβαρῦσι καὶ καταγωνίζονται τὺς εὐρύθμυς καὶ τεχνίτας, ὕτως καὶ [4] ὁ Ἀντίγονος ἐκ πολλῆς ἀναφέρων δυνάμεως πρὸς

1 H. Steph. in quibusdam legi teſtatur εἰς τὰ τῦ πολέμυ πράγματα μάλιςα. Sic quoque eſt in SG.

2 Mendoſum eſſe hunc locum, teſtantur Xyl. & Cruſer. Suſpicantur ineſſe nauticum proverbium, quo innuatur, pecuniam prius & commeatum comparandum, quam naves conſcendant, ſive oportere, priusquam prorae & clavo praeficiantur rectores, & claſſis inſtruatur, de commeatu & ſumtibus conſtare. H. Steph. in vet. cod. legit πρωράτυ pro πρῶρα, & in alio φωράσαι pro φυράσαι. Prius admittit, poſterius reprobat, eundemque ſenſum textui ſubjicit, navem pane & reliquo commeatu prius inſtruendam eſſe, quam remigio. SG. pro πρῶρα habet πρωρατεῦσαι, quod arripit Dacer. In V. τῆς πρώρας legitur; Anon. ὀπτᾷν, quod Moſ. Duſ. legendo τῦ ὀπτᾷν melius eſſe judicat, quam quod ſit in reliquis. Idem ſequitur Kind, vertendo: Man muſs erſt knäten, ehe man backen will.

3 V. καὶ καθάπερ οἱ.

4 R. καὶ addidit e V. & SG. Vulgo abeſt. Idem monet, ἀναφέρων h. l. idem ut ſignificet neceſſe eſſe, atque ὁρμώμενος, nec non mori loquendi Plutarcheo tribuendum eſſe ἐκπονεῖν pro καταπονεῖν, aſſiduitate laborum & moleſtiarum, diuturnitate taediorum aliquem conficere, fatigare.

πρὸς τὸν πόλεμον, ἐξεπόνει καὶ κατήθλει τὸν Κλεομένην, γλίσχρως καὶ μόλις πορίζοντα τοῖς ξένοις μισθὸν, καὶ τροφὴν τοῖς πολίταις. ἐπεὶ τἄλλα γε πρὸς τȣ̃ Κλεομένȣς ὁ χρόνος ἦν, τῶν οἴκοι πραγμάτων ἀνισάντων [1] τὸν Ἀντίγονον. βάρβαροι γὰρ περιέκοπτον ἀπόντος καὶ κατέτρεχον τὴν Μακεδονίαν. καὶ τότε δὴ πολὺς ἄνωθεν [2] Ἰλλυριῶν ἐμβεβλήκει στρατὸς, ὑφ' ȣ̃ πορθȣ́μενοι μετεπέμποντο τὸν Ἀντίγονον οἱ Μακεδόνες. καὶ παρ' ὀλίγον, εἰ [3] πρὸ τῆς μάχης συνέτυχε ταῦτα τὰ γράμματα κομισθῆναι πρὸς αὐτὸν, [ὧν κομισθέντων [4],] εὐθὺς ἂν ἀπῆλθε, μακρὰ χαίρειν φράσας Ἀχαιοῖς. ἀλλ' ἡ τὰ μέγιστα τῶν πραγμάτων κρίνȣσα τῷ [5] παρὰ μικρὸν τύχη τηλικαύτην ἀπεδείξατο ῥοπὴν καιρȣ̃ καὶ δύναμιν, ὥστε, τῆς μάχης ἐν Σελλασίᾳ γενομένης, καὶ τȣ̃ Κλεομένȣς ἀποβεβληκότος τὴν δύναμιν καὶ τὴν πόλιν, εὐθὺς παραγεγόνασιν οἱ καλȣ̃ντες [6] τὸν Ἀντίγονον. ὃ καὶ μάλιστα τὴν δυστυχίαν τȣ̃ Κλεομένȣς οἰκτροτέραν ἐποίησεν. εἰ γὰρ ἡμέρας δύο μόνας ἐπέσχε καὶ παρήγαγε φυγομαχῶν, ȣ̉κ ἂν ἐδέησεν αὐτῷ μάχης, ἀλλ', ἐφ' οἷς ἠβȣ́λετο, διηλλάγη πρὸς τȣ̀ς Ἀχαιȣ̀ς, ἀπελθόντων τῶν Μακεδόνων· νῦν δ', ὥσπερ εἴρηται, διὰ τὴν ἀχρηματίαν ἐν τοῖς ὅπλοις τὸ πᾶν θέμενος, ἠναγκάσθη δισμυρίοις [7], ὡς Πολύβιός φησι, πρὸς τρισμυρίȣς ἀντιπαρατάξασθαι.

XXVIII.

1 Sic R. cum SG. dedit pro vulg. ἀντιστάντων — *jubentibus* vel *cogentibus surgere*, e Peloponneso discedere, domumque versus in Macedoniam properare. Mos. Dus. ἀντισπώντων leg. susp.

2 e remotissima seu Pannonia, seu Dacia, vel Moesia. R.

3 abest εἰ a SG. — πρὸ τῆς μάχης, i. e. quae paulo post evenit Cleomeni fatalis apud Sellasiam, & mox enarrabitur. R.

4 Delenda censuit haec Mos. Dus. nisi quid excidisse putandum sit, quae R. uncis inclusit.

5 SG. τό.

6 SG. παρεῖναι τȣ̀ς καλȣ̃ντας.

7 SG. δισμυρίων.

XXVIII. Καὶ θαυμαστὸν μὲν ἐν τῷ κινδύνῳ παρασχὼν ἑαυτὸν στρατηγὸν, ἐνθύμοις δὲ χρησάμενος τοῖς πολίταις, ἐ μὴν ἐδὲ τῶν ξένων μεμπτῶς ἀγωνισαμένων, τῷ τρόπῳ τῆς ὁπλίσεως καὶ τῷ βάρει τῆς ὁπλιτικῆς φάλαγγος ἐξεθλίβη [1]. Φύλαρχος δὲ καὶ προδοσίαν γενέσθαι φησὶ τὴν μάλιστα τῷ Κλεομένει τὰ πράγματα διεργασαμένην. τῦ γὰρ Ἀντιγόνυ τὺς Ἰλλυριὺς καὶ τὺς Ἀκαρνᾶνας ἐκπεριελθεῖν κρύφα κελεύσαντος, καὶ κυκλώσασθαι θάτερον κέρας, ἐφ' ὗ τεταγμένος ἦν Εὐκλείδας, ὁ τῦ Κλεομένυς ἀδελφὸς, εἶτα τὴν ἄλλην ἐπὶ μάχῃ δύναμιν ἐκτάττοντος· ἀπὸ σκοπῆς θεωρῶν ὁ Κλεομένης, ὡς ὐδαμῦ τὰ ὅπλα τῶν Ἰλλυριῶν καὶ τῶν Ἀκαρνάνων κατεῖδεν, ἐφοβήθη, μὴ πρός τι τοιῦτον αὐτοῖς ὁ Ἀντίγονος κέχρηται. καλέσας δὲ Δαμοτέλη, τὸν ἐπὶ τῆς κρυπτείας τεταγμένον, ὁρᾷν ἐκέλευε καὶ ζητεῖν, ὅπως ἔχει τὰ κατὰ νώτυ καὶ κύκλῳ τῆς παρατάξεως. τῦ δὲ Δαμοτέλυς (ἦν γὰρ, ὡς λέγεται, πρότερον χρήμασιν [2] ὑπ' αὐτῦ διεφθαρμένος) ἀμελεῖν ἐκείνων εἰπόντος, ὡς καλῶς ἐχόντων, τοῖς δὲ συνάπτυσιν ἐξ ἐναντίας προσέχειν καὶ τύτυς ἀμύνεσθαι, πιστεύσας ἐπὶ τὸν Ἀντίγονον ἐχώρει, καὶ τῇ ῥύμῃ τῶν περὶ αὐτὸν Σπαρτιατῶν ὠσάμενος τὴν φάλαγγα τῶν Μακεδόνων, ἐπὶ πέντε πυ σταδίυς ὑποχωρύντων, ἐκβιαζόμενος καὶ κρατῶν ἠκολύθησεν. εἶτα τῶν περὶ τὸν Εὐκλείδαν ἀπὸ θατέρυ κυκλωθέντων, ἐπιστὰς, καὶ κατιδὼν τὸν κίνδυνον· Οἴχῃ μοι, φίλτατε ἀδελφὲ, εἶπεν, οἴχῃ, γενναῖος ὢν, καὶ παισὶ ζηλωτὸς Σπαρτιατῶν, καὶ γυναιξὶν ἀοίδιμος. ὕτω δὲ τῶν περὶ τὸν Εὐκλείδαν ἀναιρεθέντων, καὶ τῶν ἐκεῖθεν, ὡς ἐκράτυν, ἐπιφερομένων, ταραττομένυς ὁρῶν τὺς στρατιώτας, καὶ μένειν ὐκέτι τολμῶν-

1 V. ἐξεβλήθη.

2 SG. χρήμασι πρότερον. Pro ὑπ' αὐτῦ Mos. Dus. reponi voluit ὑπ' Ἀντιγόνυ. Cum autem nomen vix praecessit, facile cuivis ad αὐτῦ erit supponendum.

μῶντας, ἔσωζεν αὐτόν [1]. ἀποθανεῖν δὲ καὶ τῶν ξένων πολλὲς λέγεσι, καὶ Λακεδαιμονίες ἅπαντας, πλὴν διακοσίων, ἑξακιχιλίες ὄντας.

XXIX. Ἐπεὶ δ' εἰς τὴν πόλιν ἀφίκετο, τοῖς μὲν ἀπαντήσασι τῶν πολιτῶν παρήνει δέχεθαι τὸν Ἀντίγονον, αὐτὸς δ' ειπεν, εἴτε ζῶν, εἴτ' ἀποθανὼν, μέλλοι [2] τῇ Σπάρτῃ συνοίσειν, τῦτο πράξειν. ὁρῶν δὲ τὰς γυναῖκας τοῖς μετ' αὐτῦ πεφευγόσι προστρεχέσας, καὶ δεχομένας τὰ ὅπλα, καὶ ποτὸν προσφερέσας, αὐτὸς εἰσῆλθε μὲν εἰς τὴν οἰκίαν τὴν ἑαυτῦ, τῆς δὲ παιδίσκης, ἣν εἶχεν, ἐλευθέραν ἔσαν, ἐκ Μεγάλης πόλεως ἀνειληφὼς μετὰ τὴν τῆς γυναικὸς τελευτὴν, ὡς εἰώθισο [3], προσιέσης καὶ βελομένης ἀπὸ ςρατείας ἥκοντα θεραπεύειν, ὔτε πιεῖν ἐκδεδιψηκὼς ὑπέμεινεν, ὔτε καθίσαι κεκμηκὼς, ἀλλ', ὥσπερ ἐτύγχανε, τεθωρακισμένος τῶν κιόνων τινὶ τὴν χεῖρα προσβαλὼν πλαγίαν, καὶ τὸ πρόσωπον ἐπὶ τὸν πῆχυν ἐπιθεὶς, καὶ χρόνον ὐ πολὺν διαναπαυσάμενος [4] τὸ σῶμα, καὶ τῇ διανοίᾳ περιδραμὼν ἅπαντας τὲς λογισμὲς, ὥρμησε μετὰ τῶν φίλων εἰς τὸ Γύθιον. κἀκεῖθεν ἐπιβάντες ἐπ' αὐτὸ τῦτο παρεσκευασμένων πλοίων, ἀνήχθησαν.

XXX. Ὁ δ' Ἀντίγονος, ἐξ ἐφόδυ παραλαβὼν τὴν πόλιν, καὶ χρησάμενος τοῖς Λακεδαιμονίοις φιλανθρώπως, καὶ τὸ ἀξίωμα τῆς Σπάρτης ὐ προπηλακίσας, ὐδ' ἐνυβρίσας [5], ἀλλὰ καὶ νόμες καὶ πολιτείαν ἀποδὲς, καὶ τοῖς θεοῖς θύσας, ἀνεχώρησεν ἡμέρᾳ τρίτῃ, πυθό-

1 SG. ἑαυτόν.

2 R. susp. εἶπεν, ὅ τι ἂν εἴτε ζῶν — aut brevius, reliquis salvis μέλλοι τι τῇ Σπ. — V. & SG. ὃ μέλλοι, quod Duf. probat.

3 Sic etiam SG. a manu prima, ab alia correctum est ἤθετο.

4 E V. enotatur διαναπαύσας, & iterum ὔτω διαναπ. An ὔτω διαπαναυσάμενος — an ὔτω διαναπαύσας, quod in nota R. supponitur, & SG. quoque exhibet, mihi quidem incertum.

5 SG. ὑβρίσας. Pro seq. νόμες V. νόμον.

πυθόμενος, ἐν Μακεδονίᾳ πολὺν πόλεμον εἶναι, καὶ πορθεῖσθαι τὴν χώραν ὑπὸ τῶν βαρβάρων. ἤδη δὲ καὶ τὸ νόσημα κατεῖχεν αὐτὸν, εἰς φθίσιν ἐκβεβηκὸς ἰσχυρὰν καὶ κατάῤῥουν σύντονον [1]. οὐ μὴν ἀπεῖπεν, ἀλλ' ἀντήρκεσε πρὸς τοὺς οἰκείους ἀγῶνας, ὅσον ἐπὶ νίκῃ μεγίστῃ καὶ φόνῳ πλείστῳ τῶν βαρβάρων εὐκλεέστερον ἀποθανεῖν. ὡς μὲν εἰκός ἐστι, καὶ λέγουσιν οἱ περὶ Φύλαρχον, αὐτῇ τῇ περὶ τὸν ἀγῶνα κραυγῇ τὸ σῶμα [2] προσαναῤῥήξας· ἐν δὲ ταῖς σχολαῖς ἦν ἀκούειν, ὅτι βοῶν μετὰ τὴν νίκην ὑπὸ χαρᾶς· Ὦ καλῆς ἡμέρας· πλῆθος αἵματος ἀνήγαγε, καὶ πυρέξας συντόνως, ἐτελεύτησε. ταῦτα μὲν τὰ περὶ Ἀντίγονον.

XXXI. Κλεομένης δὲ, πλέων ἀπὸ Κυθήρων, εἰς νῆσον ἑτέραν, Αἰγιαλίαν, κατέσχεν. ὅθεν εἰς Κυρήνην περαιοῦσθαι μέλλοντος αὐτοῦ, τῶν φίλων εἷς, ὄνομα Θηρυκίων, ἀνὴρ πρός τε τὰς πράξεις φρονήματι κεχρημένος μεγάλῳ, καὶ τοῖς λόγοις γεγονώς τις ὑψηλὸς ἀεὶ καὶ μεγάλαυχος, ἐντυχὼν αὐτῷ κατ' ἰδίαν· Τὸν μὲν κάλλιστον, εἶπεν, ὦ βασιλεῦ, θάνατον ἐν τῇ μάχῃ προηκάμεθα. καίτοι πάντες ἤκουσαν ἡμῶν λεγόντων, ὡς οὐχ ὑπερβήσεται τὸν βασιλέα τῶν Σπαρτιατῶν Ἀντίγονος, εἰ μὴ νεκρόν. ὁ δὲ δεύτερος δόξῃ καὶ ἀρετῇ νῦν [3] πάρεστιν ἡμῖν. ποῖ πλέομεν ἀλογίστως, ἀποφεύγοντες [4] ἐγ-

γὺς

1 Sic cum Anon. Br. probante, dedit R. pro vulg. συντεῖνον. Teste H. Steph. in quibusdam scriptum est κατάῤῥουν ἐλεεινόν.

2 Dus. leg. susp. τὸ ἀπόστημα, collato loco in Sull. T. III. p. 236. l. 13. Pro ταῖς σχολαῖς Anon. ταῖς λέσχαις, quod praefert Br.

3 V. & SG. post νῦν inserunt ἔτι. Quod si assumitur, R. monente, leg. erit περίεστιν — *Adhuc superest nobis nunc genus mortis alterum, secius id quidem atque deterius virtute gloriaque.*

4 Junt. Ald. Crat. ἀποφεύγομεν. Hinc R. videtur efficiendum ποῖ φεύγομεν τὰ ἐγγὺς ὄντα, τὰ μακρὰν διώκοντες. Pro

ὄντα

γὺς ὄντα, καὶ μακρὰν διώκοντες; εἰ γὰρ ἐκ αἰσχρόν ἐςι δȣλεύειν τοῖς ἀπὸ Φιλίππȣ καὶ Ἀλεξάνδρȣ τȣ̀ς ἀφ' Ἡρακλέȣς, πλῆν πολὺν κερδάνωμεν [1] Ἀντιγόνῳ παραδόντες ἑαυτȣ̀ς, ὃν εἰκός ἐςι Πτολεμαίȣ διαφέρειν, ὅσον Αἰγυπτίων Μακεδονας. εἰ δ', ὑφ' ὧν κεκρατήμεθα τοῖς ὅπλοις, ȣ̓κ ἀξιȣ̃μεν ἄρχεσθαι, τί τὸν μὴ νενικηκότα δεσπότην ποιȣ̃μεν αὐτῶν; ἵν' ἀνθ' ἑνὸς δυοῖν κακίας φανῶμεν, Ἀντίγονον μὲν φεύγοντες, Πτολεμαῖον δὲ κολακεύοντες; ἢ διὰ τὴν μητέρα φήσομεν εἰς Αἴγυπτον ἥκειν; καλὸν μέντ' ἂν [2] αὐτῇ θέαμα γένοιο καὶ ζηλωτὸν, ἐπιδεικνυμένῃ ταῖς Πτολεμαίȣ γυναιξὶν αἰχμάλωτον ἐκ βασιλέως καὶ φυγάδα τὸν υἱόν. ȣ̓χ ἕως ἔτι τῶν ἰδίων ξιφῶν ἄρχομεν, καὶ τὴν Λακωνικὴν ἀφορῶμεν, ἐνταῦθα τῆς τύχης ἀπαλλάξαντες ἑαυτȣ̀ς, ἀπολογησόμεθα τοῖς ἐν Σελλασίᾳ κειμένοις ὑπὲρ τῆς Σπάρτης; ἀλλ' ἐν Αἰγύπτῳ καθεδȣ́μεθα, πυνθανόμενοι, τίνα τῆς Λακεδαίμονος σατράπην Ἀντίγονος ἀπολέλοιπε; Τοιαῦτα τȣ̃ Θηρυκίωνος εἰπόντος, Κλεομένης [3] ἀπεκρίνατο· Τῶν ἀνθρωπίνων τὸ ῥᾷσον, ὦ πονηρὲ, καὶ πᾶσιν ἑτοιμότατον [4] διώκων, ἀποθανεῖν, ἀνδρεῖος εἶναι δοκεῖς, φεύγων αἰσχίονα φυγὴν τῆς πρότερον; πολεμίοις μὲν γὰρ ἐνέδωκαν ἤδη καὶ κρείττονες ἡμῶν, ἢ τύχῃ σφαλέντες, ἢ βιασθέντες ὑπὸ πλήθȣς. ὁ δὲ πρὸς πόνȣς καὶ ταλαιπωρίας, ἢ δόξας καὶ ψόγȣς [5] ἀνθρώπων ἀπαγορεύων, ἥτἶαται τῆς ἑαυτȣ̃ μαλακίας. δεῖ γὰρ

ὄντα SG. ὂν κακὸν. Μακρὰν e Junt. ſe reſtituiſſe monet R. pro vulg. μακρᾷ. Haec lectio e Frſt. prodiit. Omnes priores μακρὰν. H. Steph. ſcribi voluit τὰ μακρὰν. Subaud. κείμενα.

1 SG. κερδανȣ̃μεν.

2 i. e. μέντοι ἂν. Sic e Junt. R. reſtituit pro vulg. καλὸν μὲν ἂν. Eadem lectio ab Ald. & Crat. retinetur. In SG. corrupte extat μὲν τἂν αὐτῇ. Pro καλὸν Junt. vitioſe μᾶλλον.

3 SG. ὁ Κλεομ.

4 V. & SG. ἐν ἑτοίμῳ. Junt. ἑτοίμῳ.

5 SG. ἢ ψόγȣς καὶ δόξας.

γὰρ τὸν αὐθαίρετον θάνατον ἐ φυγὴν εἶναι πράξεων, ἀλλὰ πρᾶξιν. αἰσχρὸν γὰρ ζῆν μόνοις ἑαυτοῖς καὶ ἀποθνήσκειν· ἐφ' ὃ [1] νῦν σὺ παρακαλεῖς ἡμᾶς, σπεύδων ἀπαλλαγῆναι τῶν παρόντων, καλὸν δ' ἐδὲν, ἐδὲ χρήσιμον, ἄλλο διαπραττόμενος. ἐγὼ δὲ καί σε καὶ ἐμαυτὸν οἴομαι δεῖν τὰς ὑπὲρ τῆς πατρίδος ἐλπίδας μὴ καταλιπεῖν· ὅπε δ' ἂν ἡμᾶς ἐκεῖναι καταλείπωσι [2], ῥᾳσα βελομένοις ἀποθανεῖν ὑπάρξει. Πρὸς ταῦτα Θηρυκίων ἐδὲν ἀντειπὼν, ὅτε πρῶτον ἔχε καιρὸν ἀποστῆναι τε Κλεομένες, ἐκτραπόμενος παρὰ τὸν αἰγιαλὸν, ἔσφαξεν ἑαυτόν.

XXXII. Ὁ δὲ Κλεομένης, ἀπὸ τῶν αἰγιαλῶν [3] ἀναχθεὶς, τῇ Λιβύῃ προσέβαλε· καὶ διὰ τῶν βασιλικῶν παραπεμπόμενος, ἧκεν εἰς Ἀλεξάνδρειαν. ὀφθεὶς δὲ τῷ Πτολεμαίῳ [4], κατ' ἀρχὰς μὲν ἐτύγχανε κοινῶς φιλανθρώπε καὶ μετρίε πρὸς αὐτόν· ἐπεὶ δὲ, γνώμης διδὲς πεῖραν, ἀνὴρ ἐφαίνετο ἔμφρων, καὶ τῆς καθ' ἡμέραν ὁμιλίας αὐτε τὸ Λακωνικὸν καὶ ἀφελὲς τὴν χάριν ἐλευθέριον εἶχε, καὶ τὴν εὐγένειαν ἐδαμε [5] καταισχύνων, ἐδὲ καμπτόμενος ὑπὸ τῆς τύχης, τῶν πρὸς ἡδονὴν καὶ κολακείαν διαλεγομένων πιθανώτερος ἐφαίνετο· πολλὴ μὲν αἰδὼς καὶ μετάνοια τὸν Πτολεμαῖον εἶχεν, ἄνδρὸς ἀμελήσαντα τοιέτε, καὶ προέμενον τῷ Ἀντιγόνῳ, δόξαν ἅμα κεκτημένῳ τηλικαύτην καὶ δύναμιν. ἀναλαμβάνων δὲ τιμαῖς καὶ φιλοφροσύναις τὸν Κλεομένην παρεθάῤῥυνεν, ὡς μετὰ νεῶν καὶ χρημάτων ἀποστελῶν αὐτὸν

1 Junt. ἐφ' ὂν, ad quod R. fubaudiendum monet θάνατον τὸν αὐθαίρετον. Praefert tamen vulgatam.

2 SG. καταλίπωσι.

3 Duf. nomen proprium effe monet infulae, quam fupra Αἰγιαλίαν vocavit, ficuti Plut. ἀπὸ Κυθήρων ufurpavit, quod aliter ἀπὸ Κυθήρας dicere potuiffet; hanc tamen infulam vulgo Αἰγιλία & Αἴγυλα etiam, non Αἰγιαλοὶ audire.

4 Ei fcil. qui Evergetes dicitur. Xyl. & Palm.

5 SG. ἐδαμῆ. Id. γναμπτόμενος pro feq. καμπτ.

αὐτὸν εἰς τὴν Ἑλλάδα, καὶ καταςήσων εἰς τὴν βασιλείαν. ἐδίδε δὲ καὶ σύνταξιν αὐτῷ, τέσσαρα καὶ εἴκοσι τάλαντα καθ' ἕκαςον ἐνιαυτόν. ἀφ' ὧν ἐκεῖνος αὐτὸν καὶ [1] τὲς φίλες εὐτελῶς καὶ σωφρόνως διοικῶν, τὰ πλεῖςα κατανήλισκεν εἰς φιλανθρωπίας καὶ μεταδόσεις τῶν ἀπὸ τῆς Ἑλλάδος εἰς Αἴγυπτον ἐκπεπτωκότων.

XXXIII. Ὁ μὲν ἔν πρεσβύτερος Πτολεμαῖος, πρὶν ἐκτελέσαι τῷ Κλεομένει τὴν ἔκπεμψιν, ἐτελεύτησε· τῆς δὲ βασιλείας εὐθὺς εἰς πολλὴν ἀσέλγειαν καὶ παροινίαν καὶ γυναικοκρασίαν ἐκπεσέσης [2], ἠμελεῖτο καὶ τὰ τε Κλεομένες. ὁ μὲν γὰρ βασιλεὺς [3] αὐτὸς ἔτω διέφθαρτο τὴν ψυχὴν ὑπὸ γυναικῶν καὶ πότων, ὥςε, ὁπότε νήφοι μάλιςα, καὶ σπεδαιότατος αὐτε γένοιτο, τελετὰς τελεῖν, καὶ τύμπανον ἔχων ἐν τοῖς βασιλείοις ἀγείρειν, τὰ δὲ μέγιςα τῆς ἀρχῆς πράγματα διοικεῖν Ἀγαθόκλειαν [4], τὴν ἐρωμένην τε βασιλέως, καὶ τὴν ταύτης μητέρα καὶ πορνοβόσκον [5], Οἰνάνθην. ὅμως δ' ἔν ἔδοξέ τις ἐν ἀρχῇ καὶ τε Κλεομένες χρεία γεγονέναι. δεδιὼς γὰρ Μάγαν [6], τὸν ἀδελφὸν, Πτολεμαῖος, ὡς ἰσχύοντα διὰ τῆς μητρὸς ἐν τῷ ςρατιωτικῷ, τὸν Κλεομένην προσελάμβανε, καὶ μετεδίδε τῶν ἀπορρήτων συνεδρίων, βελευόμενος ἀνελεῖν τὸν ἀδελφόν. ὁ δὲ, καίπερ ἁπάντων τἔτο πράττειν κελευόντων, μόνος ἀπηγόρευσεν, εἰπὼν, ὡς μᾶλλον, εἰ δυνατὸν ἦν, ἔδει φῦσαι τῷ

1 Duſ. excidiſſe putat τε.

2 Sic R. de ſuo dedit pro vulg. ἐμπεσέσης.

3 Hic fuit, qui Philopator cognominatus eſt. Palm.

4 Sic e Junt. dedit R. pro vulg. Ἀγαθοκλέαν. Idem quoque extat in Ald. & Crat. — In SG. Ἀγαθοκλείαν.

5 R. monet, πορνοβόσκος h. l. eſſe foemin. generis, & matrem Agathocleae appellari ejusdem lenam, quia filiam ſuam Ptolemaeo conciliaverit.

6 V. μέγαν. Junt. quoque infra habet τε μέγα, nec non Ald. & Crat.

τῷ βασιλεῖ πλείονας ἀδελφοὺς, πρὸς ἀσφάλειαν καὶ διαμονὴν [1] τῶν πραγμάτων. Σωσιβίου δὲ, τοῦ πλεῖστον ἐν τοῖς φίλοις [2] δυναμένου, φήσαντος, οὐκ εἶναι τὰ τῶν μισθοφόρων αὐτοῖς βέβαια, τοῦ Μάγα ζῶντος, ἀμελεῖν ἐκέλευεν [3] ὁ Κλεομένης ἕνεκά γε τούτου· πλείους γὰρ, ἢ τρισχιλίους [4], τῶν ξένων εἶναι Πελοποννησίους προσέχοντας αὐτῷ, κἂν μόνον νεύσῃ, προθύμως μετα τῶν ὅπλων παρεσομένους. οὗτος ὁ λόγος τότε μὲν οὐ σμικρὰν τῷ Κλεομένει καὶ πίστιν εὐνοίας καὶ δόκησιν ἰσχύος προσέθηκεν· ὕστερον δὲ, τοῦ Πτολεμαίου τῆς ασθενείας ἐπιτεινούσης τὴν δειλίαν, καὶ, καθάπερ εἴωθεν ἐν τῷ μηδὲν φρονεῖν, τοῦ πάντα δεδοικέναι καὶ πᾶσιν ἀπιστεῖν ἀσφαλεστάτου δοκοῦντος εἶναι, φοβερὸν ἐποίει τὸν Κλεομένην τοῖς αὐλικοῖς, ὡς ἰσχύοντα παρὰ τοῖς ξένοις. καὶ πολλῶν ἦν ἀκούειν λεγόντων, ὅτι οὗτος ὁ λέων [5] ἐν τούτοις τοῖς προβάτοις ἀναστρέφεται. τῷ γὰρ ὄντι τοιοῦτον διέφαινεν ἦθος ἐν τοῖς βασιλικοῖς υποβλέπων [6] ἀτρέμα καὶ περισκοπῶν τὰ πραττόμενα.

XXXIV. Ναῦς μὲν οὖν αἰτῶν καὶ στρατείαν ἀπεῖπε· πυνθανόμενος δὲ, τεθνάναι τὸν Ἀντίγονον, Αἰτωλικῷ δὲ πολέμῳ συμπεπλέχθαι τοὺς Ἀχαιοὺς, τὰ δὲ πράγματα ποθεῖν αὐτὸν καὶ παρακαλεῖν ἐκεῖνον [7], ἐν



1 Sic R. de suo dedit pro vulg. διανομήν.

2 Sic Dus. scribi voluit, deditque R. e Junt. pro vulg. τοῖς ἐν φίλοις. Eadem lectio in Ald. & Crat. datur. Steph. voces vitiose dedit. A SG. abest ἐν. Collector autem Var. Lect. hujus codicis annotat: „Nescio, an ἐν τοῖς φίλοις. Praepositio enim ἐν fortasse deleta est, perinde ac tota fere vox πλεῖστον, & superiori linea ἀδελφοὺς, quae praecedunt."

3 Sic & SG. a manu prima, ab alia correctum ἐκέλευσεν.

4 Junt. Ald. Crat. τρισχιλίων. Infra SG. μικρὰν pro σμικρ.

5 R. susp. ὅτι πρὸς οὐδὲν ἀγαθὸν οὗτος ὁ λέων.

6 R. susp. ἀποβλέπων, seu despiciens, seu observans, quo essent excessura. Pro περισκοπῶν SG. & cod. Steph. παρεπισκοπῶν, quod ipse amplectitur.

7 Corruptam censet hanc vocem Br. dubitans, quid pro ea reponendum sit — num ἐκεῖ? — Dus. vult ἐκεῖσε.

ταραχῇ καὶ διασπασμῷ τῆς Πελοποννήσου γενομένης [1], ἠξίου μὲν μόνος ἀποσταλῆναι μετὰ τῶν φίλων, ἔπειτα δ' οὐδένα, τοῦ μὲν βασιλέως οὐκ εἰσακούοντος, ἀλλ' ἐν γυναιξὶ καὶ θιάσοις καὶ κώμοις συνέχοντος ἑαυτόν. ὁ δὲ τῶν ὅλων [2] προεστηκὼς καὶ προβουλεύων Σωσίβιος, μένοντα μὲν τὸν Κλεομένην παρὰ γνώμην, ἡγεῖτο δυσμεταχείριστον εἶναι καὶ φοβερὸν, ἀφεθέντα δὲ [3], τολμηρὸν ἄνδρα καὶ μεγαλοπράγμονα, καὶ τῆς βασιλείας νοσούσης θεατὴν γεγενημένον. οὐδὲ γὰρ αἱ δωρεαὶ κατεπράϋνον αὐτὸν, ἀλλ' ὥσπερ τὸν Ἄπιν [4], ἐν ἀφθόνοις διαιτώμενον καὶ τρυφᾶν δοκοῦντα, τοῦ κατὰ φύσιν βίου καὶ δρόμων ἀφέτων καὶ σκιρτήσεων ἵμερος ἔχει, καὶ δῆλός ἐστι δυσαναχετῶν τὴν ἐν ταῖς χερσὶ τοῦ ἱερέως [5] διατριβὴν, οὕτως ἐκεῖνον οὐδὲν ἤρεσκε τῶν μαλθακῶν, ἀλλὰ φθινύθεσκε [6] φίλον κῆρ, ὥσπερ Ἀχιλλεὺς, αὖθι μένων, ποθέεσκε δ' ἀϋτήν τε πτόλεμόν τε.

XXXV. Τοιούτων δὲ [7] τῶν κατ' αὐτὸν ὄντων πραγμάτων, ἀφικνεῖται Νικαγόρας ὁ Μεσσήνιος εἰς Ἀλεξάνδρειαν, ἀνὴρ μισῶν μὲν τὸν Κλεομένην, προσποιούμενος δὲ φίλος εἶναι· χωρίον δέ ποτε καλὸν αὐτῷ πεπρακὼς, δι' ἀπορίαν, οἶμαι [8], καὶ δι' ἀσχολίαν, ὡς ἔοικε, καὶ διὰ πολέμους οὐκ ἀπειληφὼς τὸ ἀργύριον. τοῦτον οὖν ἐκβαίνοντα τότε τῆς ὁλκάδος ἰδὼν ὁ Κλεομένης

1 SG. γεγενημένης.

2 V. τῶν ἄλλων.

3 R. susp. ἀφεθέντα δὲ οὐχ ἧττον, vel etiam καὶ μᾶλλον — *emissum vero non minus*, vel *magis etiam*, *fore intractabilem atque formidandum, quippe qui esset vir strenuus & fidens, magnorum facinorum architectus, & qui regnum spectasset intestinis valetudinibus labefactum.*

4 bovem, quem religiose Aegyptii sacerdotum opera educarunt. Xyl.

5 Teste H. Steph. etiam legitur τῶν ἱερέων. Sic V. & SG.

6 Iliad. I, 491.

7 SG. pro δὲ habet τε.

8 SG. διὰ πονηρίαν, ὡς οἶμαι.

νης (ἔτυχε γὰρ ἐν τῇ κρηπῖδι τοῦ λιμένος περιπατῶν) ἠσπάζετο προθύμως, καὶ, τίς αὐτὸν εἰς Αἴγυπτον ἄγοι πρόφασις, ἠρώτα. τοῦ δὲ Νικαγόρου φιλοφρόνως ἀντασπαζομένου, καὶ φήσαντος, ἵππους ἄγειν τῷ βασιλεῖ καλοὺς τῶν πολεμιστηρίων, γελάσας ὁ Κλεομένης· Ἐβουλόμην ἄν, ἔφη [1], σε μᾶλλον ἥκειν ἄγοντα σαμβυκιστρίας καὶ κιναίδους· ταῦτα γὰρ νῦν μάλιστα κατεπείγει τὸν βασιλέα. καὶ ὁ Νικαγόρας τότε μὲν ἐμειδίασεν· ἡμέραις δ' ὕστερον ὀλίγαις ὑπομνήσας τοῦ χωρίου τὸν Κλεομένην, νῦν γοῦν ἐδεῖτο τὴν τιμὴν ἀπολαβεῖν, ὡς οὐκ ἂν ἐνοχλήσας, εἰ μὴ περὶ τὴν τῶν φορτίων διάθεσιν οὐ μετρίως [2] ἐζημιοῦτο. τοῦ δὲ Κλεομένους φήσαντος, οὐδὲν αὐτῷ περιεῖναι τῶν δεδομένων, λυπηθεὶς ὁ Νικαγόρας, ἐκφέρει τῷ Σωσιβίῳ τὸ σκῶμμα τοῦ Κλεομένους. ὁ δὲ καὶ τοῦτο μὲν ἀσμένως ἔλαβεν, ἐκ δὲ μείζονος αἰτίας τὸν βασιλέα παροξῦναι ζητῶν, ἔπεισε τὸν Νικαγόραν ἐπιστολὴν γράψαντα κατὰ τοῦ Κλεομένους ἀπολιπεῖν, ὡς ἐγνωκότος, εἰ λάβοι τριήρεις καὶ στρατιώτας παρ' αὐτοῦ, Κυρήνην κατασχεῖν. ὁ μὲν οὖν Νικαγόρας ταῦτα γράψας ἀπέπλευσε· τοῦ δὲ Σωσιβίου μετὰ τέσσαρας ἡμέρας τὴν ἐπιστολὴν πρὸς τὸν Πτολεμαῖον ἀνενεγκόντος, ὡς ἀρτίως αὐτῷ δεδομένην, καὶ παροξύναντος τὸ μειράκιον, ἔδοξεν εἰς οἰκίαν μεγάλην εἰσαγαγεῖν τον Κλεομένην, καὶ τὴν ἄλλην ὁμοίως παρέχοντας [3] δίαιταν ἐξόδων εἴργειν.

XXXVI. Ἦν μὲν οὖν καὶ ταῦτα λυπηρὰ τῷ Κλεομένει, μοχθηροτέρας δὲ τὰς περὶ τοῦ μέλλοντος ἐλπίδας ἔσχεν ἐκ τοιαύτης συντυχίας· Πτολεμαῖος ὁ Χρυσέρμου, φίλος ὢν τοῦ βασιλέως, πάντα τὸν χρόνον ἐπιεικῶς διείλεκτο τῷ Κλεομένει, καὶ συνήθειά τις ὑπῆρχεν αὐτοῖς



1 SG. ἔφησε.

2 Sic R. de suo dedit, praemisso οὐ, quo vulgatae carent.

3 V. παρέχοντα.

αὐτοῖς καὶ παῤῥησία πρὸς ἀλλήλους. οὗτος οὖν τότε [1], τοῦ Κλεομένους δεηθέντος ἐλθεῖν πρὸς αὐτὸν, ἦλθε μὲν καὶ διελέχθη [2] μέτρια, τὸ ὕποπτον ἐξαίρων, καὶ περὶ τοῦ βασιλέως ἀπολογούμενος· ἀπιὼν δὲ πάλιν ἐκ τῆς οἰκίας, καὶ μὴ προνοήσας ἐξόπισθεν ἄχρι τῶν θυρῶν ἐπακολουθοῦντα τὸν Κλεομένην, πικρῶς ἐπετίμησε τοῖς φύλαξιν, ὡς δὴ μέγα θηρίον καὶ δυσθήρατον [3] ἀμελῶς φυλάττουσι καὶ ῥαθύμως. τούτων ὁ Κλεομένης αὐτήκοος γενόμενος, καὶ, πρὶν αἰσθέσθαι τὸν Πτολεμαῖον, ἀναχωρήσας, ἔφρασε τοῖς φίλοις. εὐθὺς οὖν πάντες, ἃς πρότερον εἶχον, ἐλπίδας ἐκβαλόντες, πρὸς ὀργὴν ἐβουλεύσαντο, τοῦ Πτολεμαίου τὴν ἀδικίαν ἀμυνόμενοι [4] καὶ τὴν ὕβριν, ἀξίως τῆς Σπάρτης ἀποθανεῖν, καὶ μὴ περιμένειν, ὥσπερ ἱερεῖα πιανθέντα [5], κατακοπῆναι. δεινὸν γὰρ, εἰ τὰς πρὸς Ἀντίγονον, ἄνδρα πολεμιστὴν καὶ δραστήριον, διαλύσεις ὑπεριδὼν Κλεομένης, κάθηται μητραγύρτου βασιλέως σχολὴν ἀναμένων, ὅταν πρῶτον ἀπόθηται τὸ τύμπανον καὶ καταπαύσῃ τὸν θίασον, ἀποκτενοῦντος αὐτόν.

XXXVII. Ἐπεὶ δ' ἔδοξε ταῦτα, καὶ κατὰ τύχην ὁ Πτολεμαῖος εἰς Κάνωβον ἐξώρμησε, πρῶτον μὲν διέδωκαν λόγον, ὡς παραλύοιντο [6] τῆς φυλακῆς ὑπὸ τοῦ

1 Duf. mavult ποτε.

2 Sic R. cum SG. dedit pro vulg. διελέχθη fec. Steph. nam in Junt. Ald. Crat. διηλέχθη.

3 Sic R. de fuo dedit, interpp. latinis confentientibus, pro vulg. δυσθήρητον. V. θυστήρητον, quod Br. conjecit, & H. Steph. legi voluit.

4 V. & Anon. ἀμυνάμενοι, quod probat Duf.

5 SG. πιανθέντας.

6 Sic R. de fuo dedit, pro vulg. παραλύοιτο. — Cleomenem puta cum fuis, ad quos ipfos etiam redit modo praemiffum διέδωκαν. Equidem multus dubito, an haec correctio digna fit, quae probetur. διέδωκαν fane redit ad eos, quos fupra φίλους appellaverat, & paulo poft iterum appellat — qui munera Cleomeni

τȣ̃ βασιλέως· ἔπειτα, ἔκ τινος ἔθȣς βασιλικȣ̃ τοῖς μέλλȣσιν ἐξ εἱρκ]ῆς ἀπολύεσθαι δείπνȣ τε πεμπομένȣ καὶ ξενίων, οἱ Φίλοι πολλὰ τοιαῦτα τῷ Κλεομένει παρασκευάσαν]ες, ἔξωθεν εἰσέπεμψαν, ἐξαπατῶν]ες τȣ̀ς Φύλακας, οἰομένȣς ὑπὸ τȣ̃ βασιλέως ἀπεςάλθαι. καὶ γὰρ ἔθυε [1] καὶ μετεδίδȣ τȣ́των ἀφθόνως αὐτοῖς, ἐπιτιθεὶς ςεφάνȣς, καὶ κατακλινεὶς [2] εἱςιᾶτο μετὰ τῶν Φίλων. λέγεται δὲ τάχιον, ἢ διεγνώκει, πρὸς τὴν πρᾶξιν ὁρμῆσαι, συναισθόμενος οἰκέτην, ἕνα τῶν συνειδότων τὴν πρᾶξιν, ἔξω παρὰ γυναικὶ κεκοιμημένον, ἧς ἤρα. καὶ Φοβηθεὶς μήνυσιν, ἐπειδὴ μέσον ἡμέρας ἦν, καὶ τȣ̀ς Φύλακας ἤσθετο καθεύδον]ας ὑπὸ τῆς μέθης, ἐνδυσάμενος τὸν χιτῶνα, καὶ τὴν ῥαΦὴν ἐκ τȣ̃ δεξιȣ̃ παραλυσάμενος [3] ὤμȣ, γυμνῷ τῷ ξίΦει μετὰ τῶν Φίλων ἐξεπήδησεν ἐσκευασμένων [4] ὁμοίως, δεκατριῶν ὄν]αν [5]. Ἱππότας δὲ, χωλὸς ὢν, τῇ μὲν πρώτῃ συνεξέπεσεν ὁρμῇ προθύμως, ὡς δ' ἑώρα σχολαίτερον πορευομένȣς δι' αὐτὸν, ἐκέλευσεν ἀνελεῖν, καὶ μὴ διαΦθείρειν τὴν πρᾶξιν, ἄχρηςον ἄνθρωπον περιμένον]ας. ἔτυχε δὲ τῶν Ἀλεξανδρέων τις ἵππον ἄγων παρὰ [6] τὰς θύρας· τȣ̃τον ἀΦελόμενοι, καὶ τὸν Ἱππόταν ἀναβαλόν]ες [7], ἐΦέρον]ο δρόμῳ διὰ τῶν ςενωπῶν, καὶ παρεκάλȣν τὸν ὄχλον ἐπὶ



meni mittenda curarunt. Quis eos ſimul cum Cleomene carceri incluſos cogitet rumorem ſpargere potuiſſe?

1 R. ſuſp. καὶ αὐτὸς δ' ἔθυε — verum ipſe quoque de ſuo epulas apparabat Cleomenes.

2 SG. κατακλιθείς. Pro ἐπιτιθείς, quod praeceſſit, R. ſuſp. ἐπιτεθείς, cum ἐπιτιθ. ςεΦ. non Graecum eſſe videatur.

3 V. & SG. παραδυσάμενος.

4 Sic R. de ſuo dedit pro vulg. ἐξεσκευασμένων.

5 SG. ὁμοίως δὲ καὶ Ἰριῶν ὄντων. In ſeq. id. pro Ἱππότας exhibet Ἱππίτας, Ἱππίταν pro Ἱππόταν, & ſic deinceps. Semel tamen infra V. Ἱππίτας.

6 V. περὶ.

7 Sic Duſ. dari voluit, deditque R. pro vulg. ἀναλαβόντες.

ἐπὶ τὴν ἐλευθερίαν. τοῖς δὲ [1] τοσῦτον, ὡς ἔοικεν, ἀλκῆς μετῆν, ὅσον ἐπαινεῖν καὶ θαυμάζειν τὴν τοῦ Κλεομένους τόλμαν, ἀκολουθεῖν δὲ καὶ βοηθεῖν οὐδεὶς ἐθάῤῥει. τὸν μὲν οὖν Χρυσέρμου [2] Πτολεμαῖον ἐκ τῆς αὐλῆς ἐξιόντα τρεῖς εὐθὺς προσπεσόντες ἀπέκτειναν· ἑτέρου δὲ Πτολεμαίου, τοῦ φυλάσσοντος τὴν πόλιν, ἐλαύνοντος ἅρματι πρὸς αὐτοὺς, ὁρμήσαντες ἐναντίον, τοὺς μὲν ὑπηρέτας καὶ δορυφόρους διεσκέδασαν, αὐτὸν δὲ κατασπάσαντες ἀπὸ τοῦ ἅρματος ἀπέκτειναν. εἶτα πρὸς τὴν ἄκραν ἐχώρουν, ἀναῤῥῆξαι διανοούμενοι τὸ δεσμωτήριον, καὶ χρήσασθαι τῷ πλήθει τῶν δεδεμένων. ἔφθασαν δὲ φραξάμενοι καλῶς οἱ φύλακες. ὥστε καὶ ταύτης ἀποκρουσθέντα τῆς πείρας τὸν Κλεομένην διαφέρεσθαι καὶ πλανᾶσθαι κατὰ τὴν πόλιν, οὐδενὸς αὐτῷ προσχωροῦντος, ἀλλὰ φευγόντων καὶ φοβουμένων ἁπάντων. οὕτως οὖν ἀποστὰς, καὶ πρὸς τοὺς φίλους εἰπών· Οὐδὲν ἦν ἄρα θαυμαστὸν, ἄρχειν γυναῖκας ἀνθρώπων φευγόντων τὴν ἐλευθερίαν· παρεκάλεσε πάντας ἀξίως αὐτοῦ καὶ τῶν πεπραγμένων τελευτᾶν. καὶ πρῶτος μὲν Ἱππότας ὑπὸ τῶν νεωτέρων τινὸς ἐπλήγη δεηθεὶς, ἔπειτα τῶν ἄλλων ἕκαστος εὐκόλως καὶ ἀδεῶς ἑαυτὸν ἀποσφάττει, πλὴν Παντέως, τοῦ πρώτου Μεγάλην πόλιν καταλαβόντος. τοῦτον δὲ κάλλιστον ὥρᾳ καὶ πρὸς τὴν ἀγωγὴν εὐφυέστατον τῶν νέων γενόμενον, ἐρώμενον ἐσχηκὼς ὁ βασιλεὺς, ἐκέλευεν [3], ὅταν αὐτόν τε καὶ τοὺς ἄλλους ἴδῃ πεπτωκότας, οὕτω τελευτᾶν. ἤδη δὲ κειμένων ἁπάντων, ἐπιπορευόμενος ὁ Παντεὺς, καὶ τῷ ξιφιδίῳ παραπτόμενος καθ' ἕκαστον, ἀπεπειρᾶτο, μή τις διαλανθάνοι ζῶν. ἐπεὶ δὲ καὶ τὸν Κλεομένην νύξας παρὰ τὸ σφυρὸν εἶδε συστρέψαντα τὸ πρόσωπον, ἐφίλησεν αὐτὸν, εἶτα παρεκάθι-

1 Br. fufp. αὐτοῖς.

2 SG. τοῦ Χρυσέρμου.

3 V. ἐκέλευσεν.

κάθισε· καὶ τέλος ἔχοντος ἤδη περιβαλὼν τὸν νεκρὸν [1], ἑαυτὸν ἐπικατέσφαξε.

XXXVIII. Κλεομένης μὲν οὖν, ἑκκαίδεκα τῆς Σπάρτης βασιλεύσας ἔτη, καὶ τοιοῦτος ἀνὴρ γενόμενος, οὕτως κατέστρεψε [2]. τῆς δὲ φήμης εἰς τὴν πόλιν ὅλην σκεδασθείσης, ἡ μὲν Κρατησίκλεια, καίπερ οὖσα γενναία γυνή, προὔδωκε τὸ φρόνημα πρὸς τὸ τῆς συμφορᾶς μέγεθος, καὶ περιβαλοῦσα τὰ παιδία τοῦ Κλεομένους ὠλοφύρετο. τῶν δὲ παιδίων [3] τὸ πρεσβύτερον ἀποπηδῆσαν, οὐδενὸς ἂν προσδοκήσαντος, ἀπὸ τοῦ τέγους ἐπὶ κεφαλὴν ἔρριψεν ἑαυτό· καὶ κακῶς μὲν ἔσχεν, οὐ μὴν ἀπέθανεν, ἀλλ' ἤρθη βοῶν καὶ ἀγανακτοῦν ἐπὶ τῷ [4] διακωλύεσθαι τελευτᾶν. ὁ δὲ Πτολεμαῖος, ὡς ἔγνω ταῦτα, προσέταξε τὸ μὲν σῶμα τοῦ Κλεομένους κρεμάσαι καταβυρσώσαντας [5], ἀποκτεῖναι δὲ τὰ παιδία, καὶ τὴν μητέρα, καὶ τὰς περὶ αὐτὴν γυναῖκας. ἐν δὲ ταύταις ἦν καὶ ἡ [6] Παντέως γυνή, καλλίστη καὶ γενναιοτάτη τὸ εἶδος. ἔτι δ' αὐτοῖς νεογάμοις οὖσιν ἐν ἀκμαῖς ἐρώτων αἱ τύχαι συνέβησαν. εὐθὺς μὲν οὖν συνεκπλεῦσαι τῷ Παντεῖ βουλομένην αὐτὴν οὐκ εἴασαν οἱ γονεῖς, ἀλλὰ βίᾳ κατακλείσαντες ἐφύλαττον· ὀλίγῳ [7] δ' ὕστερον ἵππον ἑαυτῇ παρασκευα-

N 5

1 Hae voces desunt Junt. Ald. & Crat. additae ab H. Steph. ex vet. cod. ea insuper ratione, quod, si Plut. tale quid non addidisset, scribere debuisset ἔχοντα, non ἔχοντος. R. easdem facile desiderari posse censet. Si quid mutandum sit, mavult περιβαλὼν (subaud. αὐτὸν) τῷ νεκρῷ ἑαυτὸν ἐπικατέσφ. *ipse semet super jacentis exanime corpus jugulavit.*

2 Junt. κατέτρεψε. SG. οὕτω.

3 V. τὸ δὲ παιδίον.

4 SG. ἐπὶ τὸ.

5 Legi etiam καταμυρώσαντας, H. Steph. testatur. Idem hanc lectionem reprobat, nec non eum sensum, quem Interpp. vulgatae subjiciunt — *excoriare*, *pelle nudare*, cum dicendum esset ἀπὸ βυρσοῦν, uti ἀποδέραν & ἀποδερματοῦν. Explicat ex loco Thucydidis l. VII. — *pelle seu corio contegere.*

6 Artic. de suo addidit R.

7 V. ὀλίγον.

σκευάσασα καὶ χρυσίδιον ὀ πολὺ, νυκτὸς ἀπέδρα, καὶ διωξασα συντόνως ἐπὶ Ταίναρον, ἐκεῖθεν ἐπέβη νεὼς εἰς Αἴγυπτον πλεούσης· καὶ διεκομίσθη πρὸς τὸν ἄνδρα, καὶ συνδιήνεγκεν αὐτῷ τὸν ἐπὶ ξένης βίον ἀλύπως καὶ ἱλαρῶς. αὕτη τότε τὴν Κρατησίκλειαν ὑπὸ τῶν στρατιωτῶν ἐξαγομένην ἐχειραγώγει, τόν τε πέπλον αὐτῆς ὑπολαμβάνουσα καὶ θαῤῥεῖν παρακαλοῦσα, μηδέν τι μηδ᾽ αὐτὴν ἐκπεπληγμένην τὸν θάνατον, ἀλλ᾽ ἓν μόνον αἰτουμένην, πρὸ τῶν παιδίων ἀποθανεῖν. ἐπεὶ δ᾽ ἦλθον εἰς τὸν τοπον, ἐν ᾧ ταῦτα δρᾷν εἰώθασιν [1] οἱ ὑπηρέται, πρῶτον μὲν τὰ παιδία, τῆς Κρατησικλείας ὁρώσης, ἔσφαττον, εἶτ᾽ ἐκείνην, ἓν τοῦτο μόνον ἐπὶ τηλικούτοις φθεγξαμένην πάθεσιν· Ὦ τέκνα, ποῖ ἐμόλετε; ἡ δὲ τοῦ [2] Παντέως γυνὴ, περιζωσαμένη τὸ ἱμάτιον, εὔρωστος οὖσα καὶ μεγάλη, τῶν ἀποθνησκουσῶν [3] ἑκάστην σιωπῇ καὶ μεθ᾽ ἡσυχίας ἐθεράπευε, καὶ περιέστελλεν ἐκ τῶν ἐνδεχομένων. τέλος δὲ μετὰ πάσας ἑαυτὴν κοσμήσασα, καὶ καταγαγοῦσα τὴν περιβολὴν, καὶ μηδένα προσελθεῖν ἐάσασα, μηδ᾽ ἰδεῖν ἄλλον, ἢ τὸν ἐπὶ τῆς σφαγῆς τεταγμένον, ἡρωϊκῶς κατέστρεψεν, οὐδενὸς δεηθεῖσα κοσμοῦντος καὶ περικαλύπτοντος μετὰ τὴν τελευτήν. οὕτω παρέμεινε τῷ θανάτῳ τὸ κόσμιον τῆς ψυχῆς, καὶ διεφύλαξεν, ἣν ζῶσα φρουρὰν τῷ σώματι περιέθηκεν.

XXXIX. Ἡ μὲν οὖν Λακεδαίμων, ἐφαμίλλως ἀγωνισαμένη τῷ γυναικείῳ δράματι πρὸς το ἀνδρεῖον ἐν τοῖς ἐσχάτοις καιροῖς, ἐπέδειξε τὴν ἀρετὴν ὑβρισθῆναι μὴ δυναμένην ὑπὸ τῆς τύχης. ὀλίγαις δ᾽ ὕστερον ἡμέραις οἱ τὸ σῶμα τοῦ Κλεομένους ἀνεσταυρωμένον παραφυλάττοντες εἶδον εὐμεγέθη δράκοντα τῇ κεφαλῇ περιπεπλεγμένον, καὶ ἀποκρύπτοντα το πρόσωπον, ὥστε μηδὲν ὄρνεον ἐφίπτασθαι σαρκοφάγον. ἐκ δὲ τούτου δεισιδαιμονία

1 SG. εἰώθεσαν.

2 τοῦ abest a SG.

3. SG. ἀποθνησκόντων. Sic & Junt. Ald. Crat.

μονία προσέπεσε τῷ βασιλεῖ, καὶ φόβος ἄλλων [1] καθαρμῶν ταῖς γυναιξὶν ἀρχὴν παρασχὼν, ὡς ἀνδρὸς ἀνῃρημένε θεοφιλῆς, καὶ κρείτ]ονος τὴν φύσιν. οἱ δ' Ἀλεξανδρεῖς καὶ προέτρεχον [2], φοιτῶντες ἐπὶ τὸν τόπον, ἥρωα τὸν Κλεομένην καὶ θεῶν παῖδα προσαγορεύοντες· ἄχρις ἓ κατέπαυσαν αὐτὲς οἱ σοφώτεροι, διδόντες [3] λόγον, ὡς μελίτ]ας μὲν βόες, σφῆκας δ' ἵπποι κατασαπέντες ἐξανθἕσι, κάνθαροι δ' ὄνων τὸ αὐτὸ παθόν]ων ζωογονἕνται· τὰ δ' ἀνθρώπινα σώματα, τῶν περὶ τὸν μυελὸν ἰχώρων συῤῥοήν τινα καὶ σύςασιν ἐν ἑαυτοῖς λαβόντων, ὄφεις ἀναδίδωσι. καὶ τἕτο κατιδόν]ες οἱ παλαιοὶ, μάλιςα τῶν ζώων τὸν δράκον]α τοῖς ἥρωσι συνῳκείωσαν.

## ΤΙΒΕΡΙΟΣ ΚΑΙ ΓΑΙΟΣ ΓΡΑΚΧΟΙ.

Ἡμεῖς δὲ, τὴν πρώτην ἱςορίαν [4] ἀποδεδωκότες, ἔχομεν ἐκ ἐλάτ]ονα πάθη τέτων ἐν τῇ Ῥωμαϊκῇ συζυγίᾳ θεωρῆσαι, τὸν Τιβερίε καὶ Γαΐε βίον ἀντιπαραβάλλον]ες. ἕτοι Τιβερίε Γράκχε παῖδες ἦσαν· ᾧ τιμητῇ τε [5] Ῥωμαίων γενομένῳ, καὶ δὶς ὑπατεύσαντι, καὶ θριάμβες δύο καταγαγόν]ι, λαμπρότερον ἦν τὸ ἀπὸ τῆς ἀρετῆς ἀξίωμα. διὸ καὶ τὴν Σκιπίωνος [6], τἕ καταπο-

1 Br. susp. ἀλλοίων, vel ἀλλοκότων.

2 Sic R. de suo dedit — *catervatim exibant extra urbem, concursitabant*, pro vulg. προέτρεπον. Sic & Xyl. & Cruser. verterunt. V. προεςρέφοντο, προτρέποντο. SG. προσεςρέφοντο. Duf. susp. προετρέποντο.

3 Br. susp. διαδόντες λόγον, ut supra διέδωκαν λόγ.

4 prius spectaculum, priorem hujus enarrationis parten. R. Cod. SG. nomen Gracchorum in titulo & contextu sempe per γ. exhibet, nunquam per κ. — Sic & Junt. paulc post Γράγχε.

5 abest τε a B. 5. — item καὶ paulo infra sequens pst διὸ.

6 SG. Σκηπίωνος: ita semper in sqq. Saepius etiam Junt idem.

ταπολεμήσαντος Ἀννίβαν, θυγατέρα, Κορνηλίαν, οὐκ ὢν φίλος, ἀλλὰ καὶ διάφορος τῷ ἀνδρὶ γεγονὼς, λαβεῖν ἠξιώθη μετὰ τὴν ἐκείνου τελευτήν. λέγεται δέ ποτε συλλαβεῖν αὐτὸν ἐπὶ τῆς κλίνης ζεῦγος δρακόντων· τοὺς δὲ μάντεις, σκεψαμένους τὸ τέρας, ἄμφω μὲν οὐκ ἐᾶν ἀνελεῖν, οὐδ' ἀφεῖναι· περὶ δὲ θατέρου διαιρεῖν [1], ὡς ὁ μὲν ἄῤῥην τῷ Τιβερίῳ φέροι θάνατον ἀναιρεθεὶς, ἡ δὲ θήλεια τῇ Κορνηλίᾳ. τὸν οὖν Τιβέριον, καὶ φιλοῦντα τὴν γυναῖκα, καὶ μᾶλλον αὐτῷ προσήκειν, ὅτι πρεσβυτέρῳ, τελευτᾷν [2] ἡγούμενον, ἔτι νέας οὔσης ἐκείνης, τὸν μὲν ἄῤῥενα κτεῖναι τῶν δρακόντων, ἀφεῖναι δὲ τὴν θήλειαν· εἶτα ὕστερον οὐ πολλῷ χρόνῳ τελευτῆσαι, δεκαδύο παῖδας ἐκ τῆς Κορνηλίας αὐτῷ γεγονότας καταλιπόντα. Κορνηλία δ', ἀναλαβοῦσα τοὺς παῖδας καὶ τὸν οἶκον, οὕτω σώφρονα καὶ φιλότεκνον καὶ μεγαλόψυχον αὐτὴν παρέσχεν, ὥστε μὴ κακῶς δόξαι βεβουλεῦσθαι τὸν Τιβέριον, ἀντὶ τοιαύτης γυναικὸς ἀποθανεῖν ἑλόμενον. ἥ γε καὶ, Πτολεμαίου τοῦ βασιλέως κοινουμένου τὸ διάδημα, καὶ μνωμένου τὸν γάμον αὐτῆς, ἠρνήσατο, καὶ χηρεύουσα τοὺς μὲν ἄλλους ἀπέβαλε παῖδας, μίαν δὲ τῶν θυγατέρων, ἣ Σκιπίωνι τῷ νεωτέρῳ συνῴκησε, καὶ δύο υἱοὺς, περὶ ὧν τάδε γέγραπται, Τιβέριον καὶ Γάϊον, διαγενομένους οὕτω φιλοτίμως ἐξέθρεψεν, ὥστε πάντων εὐφυεστάτους Ῥωμαίων ὁμολογουμένως γεγονότας, πεπαιδεῦσθαι δοκεῖν βέλτιον, ἢ πεφυκέναι, πρὸς ἀρετήν.

II. Ἐπεὶ δ', ὥσπερ ἡ τῶν πλασσομένων καὶ γραφομένων Διοσκούρων ὁμοιότης ἔχει τινὰ τοῦ πυκτικοῦ [3] πρὸς τὸν δρομικὸν ἐπὶ τῆς μορφῆς διαφορὰν, οὕτω καὶ [4] τῶν νεανίσκων ἐκείνων ἐν πολλῇ τῇ πρὸς ἀνδρείαν καὶ σωφροσύνην, ἔτι δ' ἐλευθεριότητα καὶ λογιότητα καὶ μεγα-

1 Sic cum B. 5. & SG. dedit R. pro vulg. διερεῖν.
2 Ante h. v. in SG. paulo recentius insertum est καὶ.
3 SG. ποιητικοῦ.
4 R. καὶ addidit de suo.

μεγαλοψυχίαν ἐμφερείᾳ, μεγάλαι περὶ [1] τὰ ἔργα καὶ τὰς πολιτείας οἷον ἐξήνθησαν καὶ διεφάνησαν ἀνομοιότητες· ἐ χεῖρον εἶναί μοι δοκεῖ ταύτας προεκθέσθαι. πρῶτον μὲν ἐν ἰδέᾳ προσώπε καὶ βλέμματι καὶ κινήματι πρᾶος καὶ κατασηματικὸς ἦν ὁ Τιβέριος, ἔντονος δὲ καὶ σφοδρὸς ὁ Γάϊος, ὥστε καὶ δημηγορεῖν τὸν μὲν ἐν μιᾷ χώρᾳ βεβηκότα κοσμίως, τὸν δὲ Ῥωμαίων πρῶτον ἐπὶ τε βήματος περιπάτῳ τε χρήσασθαι, καὶ περισπάσαι τὴν τήβεννον ἐξ ὤμε λέγοντα [2], καθὰ περὶ [3] Κλέωνος τε Ἀθηναίε ἱστορεῖται, περισπάσαι τε τὴν περιβολὴν, καὶ τὸν μηρὸν ἀλοῆσαι πρῶτον τῶν δημηγορέντων. ἔπειτα ὁ λόγος τε μὲν Γαΐε φοβερὸς καὶ περιπαθὴς εἰς δείνωσιν, ἡδίων δ' ο τε Τιβερίε, καὶ μᾶλλον ἐπαγωγὸς οἴκτε. τῇ δὲ λέξει καθαρὸς καὶ διαπεπονημένος ἀκριβῶς ἐκεῖνος [4], ὁ δὲ Γαΐε πιθανὸς καὶ γεγανωμένος. ἔτω δὲ καὶ [5] περὶ τὴν δίαιταν καὶ τράπεζαν εὐτελὴς καὶ ἀφελὴς ὁ Τιβέριος, ὁ δὲ Γάϊος, τοῖς μὲν ἄλλοις παραβαλεῖν, σώφρων καὶ αὐστηρὸς, τῇ δὲ πρὸς τὸν ἀδελφὸν διαφορᾷ νεοπρεπὴς καὶ περίεργος· ὡς οἱ περὶ Δρέσον ἤλεγχον, ὅτε [6] δελφῖνας ἀργυρες ἐπρίαντο τιμῆς εἰς ἑκά-

1 B. 5. πρὸς, quod idem V. tribuitur in ind. Br. & nota R. — In ind. Frſt. nulla ejus nota adeſt.

2 Haec vox ex Frſt. excidit, quam Br. ſequitur. R. eam reſtituit.

3 Sic quoque in SG. a manu prima, a manu paulo recentiore emendatum καθαπερεὶ; Id. cod. in ſeq. Κλέωνα τὸν Ἀθηναῖον cum B. 5. & ἱσόρηται pro ἱστορεῖται; B. 5. λῦσαι pro περισπᾶσαι, quae lectio quoque in marg. SG. adnotatur; pro ἀλοῆσαι uterque cod. πατάξαι. Sic & e V. in ind. Frſt. locus hic enotatur Κλέωνα τὸν Ἀθηναῖον ἱστορεῖται· λῦσαι τε τὴν περιβολὴν, καὶ τὸν μηρὸν πατάξαι πρῶτον.

4 i. e. ὁ ἐκείνε λόγος, oratio Tiberii. R.

5 abeſt καὶ a B. 5. uti mox ſeq. τὴν a SG.

6 Sic R. de ſuo dedit pro vulg. ὅτι, nec non ἐπρίαντο pro ἐπρίατο. Vocem δελφῖνας Dacer. mutari voluit in δελφικὰς, cum fuerint menſae Delphicae, ad formam Delphici tripodis factae.

ἑκάστην λίτραν δραχμῶν χιλίων καὶ διακοσίων πεντήκοντα. τῷ δ᾽ ἤθει, κατὰ τὴν τοῦ λόγου διάθεσιν, ὁ μὲν ἐπιεικὴς καὶ πρᾶος, ὁ δὲ τραχὺς [1] καὶ θυμοειδής· ὥστε καὶ παρὰ γνώμην ἐν τῷ λέγειν ἐκφερόμενον πολλάκις ὑπ᾽ ὀργῆς, τήν τε φωνὴν ἀποξύνειν, καὶ βλασφημεῖν, καὶ συνταράττειν τὸν λόγον. ὅθεν καὶ βοήθημα τῆς ἐκτροπῆς ταύτης ἐποιήσατο [2] τὸν Λικίννιον, οἰκέτην οὐκ ἀνόητον, ὃς ἔχων φωνασκικὸν ὄργανον, ᾧ τοὺς φθόγγους ἀναβιβάζουσιν [3], ὄπιθεν ἑστὼς τοῦ Γαΐου λέγοντος, ὁπηνίκα τραχυνόμενον αἴσθοιτο τῇ φωνῇ καὶ παραῤῥηγνύμενον δι᾽ ὀργὴν, ἐνεδίδου τόνον μαλακὸν, ᾧ [4] τὸ σφοδρὸν ἐκεῖνος εὐθὺς ἅμα τοῦ πάθους καὶ τῆς φωνῆς ἀνιεὶς ἐπραΰνετο, καὶ παρεῖχεν ἑαυτὸν εὐανάκλητον.

III. Αἱ μὲν οὖν διαφοραὶ τοιαῦταί τινες ἦσαν αὐτῶν· ἀνδραγαθίαι [5] δὲ πρὸς τοὺς πολεμίους, καὶ πρὸς τοὺς ὑπηκόους δικαιοσύνη, καὶ πρὸς τὰς ἀρχὰς ἐπιμέλεια, καὶ πρὸς τὰς ἡδονὰς ἐγκράτεια ἀπαράλλακτος. ἦν δὲ πρεσβύτερος ἐνιαυτοῖς ἐννέα ὁ Τιβέριος, καὶ τοῦτο τὴν ἑκατέρου πολιτείαν ἀπηρτημένην τοῖς χρόνοις ἐποίησε, καὶ τὰς πράξεις οὐχ ἥκιστα διελυμήνατο, μὴ συνακμασάντων, μηδὲ συμβαλόντων εἰς τὸ αὐτὸ τὴν δύναμιν, μεγάλην ἂν ἐξ ἀμφοῖν ὁμοῦ καὶ ἀνυπέρβλητον γενομένην. λεκτέον οὖν ἰδίᾳ περὶ ἑκατέρου, καὶ περὶ τοῦ πρεσβυτέρου πρότερον.

IV.

ctae. R. obſervat, huic conjecturae repugnare additum ἀργυροῦς, cujus genus item mutandum ſit, ſi in iſto Dacerii concedatur auctoritati, & ἀργυρᾶς exarandum.

1 V. ταχύς.

2 SG. hoc ordine ἐποιήσατο ταύτης. De Licinnio, qui & Licinius ſcribitur, cf. Cic. de Orat. l. III. c. 60.

3 R. quaerit, num ἀναβιβάζουσι καὶ καταβιβάζουσι.

4 R. videtur poſt ᾧ deeſſe παιδαγωγηθεὶς, vel ſimile quid — *quo modulo ille admonitus.* SG. invertit ordinem vocum ἐκεῖνος εὐθύς; & pro ſeq. ἀνιεὶς B. 5. ἀφεὶς.

5 V. ἀνδραγαθία, quod probat Duſ.

IV. Ἐκεῖνος τοίνυν εὐθὺς ἐκ παίδων γενόμενος, ὅτως ἦν περιβόητος, ὥςε τῆς τῶν Αὐγέρων λεγομένης ἱερωσύνης ἀξιωθῆναι δι' ἀρετὴν μᾶλλον, ἢ διὰ τὴν εὐγένειαν. ἐδήλωσε δ' Ἄππιος Κλαύδιος, ἀνὴρ ὑπατικὸς καὶ τιμητικὸς καὶ προγεγραμμένος κατ' ἀξίωμα τῆς Ῥωμαίων βελῆς, καὶ πολὺ [1] Φρονήματι τὲς κατ' αὐτὸν ὑπεραίρων, ἑςιωμένων γὰρ ἐν ταὐτῷ τῶν ἱερέων, προσαγορεύσας τὸν Τιβέριον, καὶ Φιλοφρονηθεὶς, αὐτὸς ἐμνᾶτο τῇ θυγατρὶ νυμφίον. δεξαμένε δ' ἀσμένως ἐκείνε, καὶ τῆς καταινέσεως ὅτω γενομένης, εἰσιὼν ὁ Ἄππιος οἴκαδε πρὸς αὐτὸν, ἀπὸ τῆς θύρας εὐθὺς ἐκάλει τὴν γυναῖκα, καὶ μεγάλῃ τῇ Φωνῇ βοῶν· Ὦ Ἀντιςία, τὴν Κλαυδίαν ἡμῶν ἀνδρὶ καθωμολόγηκα. κἀκείνη θαυμάσασα· Τίς, εἶπεν, ἡ σπεδή; ἢ τί τὸ τάχος, εἰ μὴ [2] Τιβέριον αὐτῇ Γράκχον εὑρήκεις [3] νυμφίον; ὀκ ἀγνοῶ δ', ὅτι τὅτό τινες ἐπὶ τὸν πατέρα τῶν Γράκχων [4], Τιβέριον, καὶ Σκιπίωνα τὸν Ἀφρικανὸν ἀναφέρεσιν· ἀλλ' οἱ πλείες, ὡς ἡμεῖς γράφομεν, ἱςορᾶσι, καὶ Πολύβιος, μετὰ τὴν Σκιπίωνος Ἀφρικανᾶ τελευτὴν, τὲς οἰκείες Φησὶν ἐκ πάντων προκρίναντας [5] τὸν Τιβέριον δᾶναι τὴν Κορνηλίαν, ὡς ὑπὸ τᾶ πατρὸς ἀνέκδοτον καὶ ἀνέγγυον ἀπολειφθεῖσαν. ὁ δ' ὂν νεώτερος Τιβέριος, ςρατευόμενος ἐν Λιβύῃ μετὰ τᾶ δευτέρε Σκιπίωνος, ἔχοντος αὐτᾶ τὴν ἀδελφὴν, ὁμᾶ συνδιαιτώμενος ὑπὸ σκηνὴν [6] τῷ ςρατηγῷ, ταχὺ μὲν αὐτᾶ τὴν φύσιν κατέμαθε, πολλὰ καὶ μεγάλα πρὸς ζῆλον ἀρετῆς

1 B. 5. πολλῷ; item in seq. καθ' αὐτὸν pro κατ' αὐτ.

2 B. 5. SG. Junt. Ald. Crat. εἰ δὲ.

3 Sic ex Junt. se restituisse, R. monet. Est eadem lectio in Ald. & Crat. — a manu prima SG. εὑρίσκεις, a manu secunda εὑρήκεις. V. αὐτῇ τὸν Γράκχον νυμφίον, omisso εὑρήκεις.

4 B. 5. τὸν Γράκχον.

5 B. 5. προκρίνας.

6 R. susp. ὑπὸ τὴν αὐτὴν σκηνήν.

τῆς καὶ μίμησιν ἐπὶ τῶν πράξεων ἐκφέρȣσαν. ταχὺ δὲ τῶν νέων πάντων ἐπρώτευεν εὐταξίᾳ καὶ ἀνδρείᾳ· καὶ τȣ̃ γε τείχȣς ἐπέβη τῶν πολεμίων πρῶτος, ὥς φησι Φάνιος, λέγων καὶ αὐτὸς τῷ Τιβερίῳ συνεπιβῆναι, καὶ συμμετασχεῖν ἐκείνης τῆς ἀριστείας. πολλὴν δὲ καὶ παρὼν εὔνοιαν εἶχεν ἐν τῷ στρατοπέδῳ, καὶ πόθον ἀπαλλαττόμενος αὐτȣ̃ κατέλειπε [1].

V. Μετὰ δὲ τὴν στρατείαν ἐκείνην αἱρεθεὶς ταμίας, ἔλαχε τῶν ὑπάτων Γαΐῳ Μαγκίνῳ συστρατεύειν [2] ἐπὶ Νομαντίνȣς, ἀνθρώπῳ μὲν ȣ̓ πονηρῷ, βαρυποτμοτάτῳ δὲ Ῥωμαίων στρατηγῶν. διο καὶ μᾶλλον ἐν τύχαις παραλόγοις καὶ πράγμασιν ἐναντίοις τȣ̃ Τιβερίȣ διέλαμψεν ȣ̓ μόνον το συνετὸν καὶ ἀνδρεῖον, ἀλλ', ὃ θαυμάσιον ἦν, αἰδώς τε πολλὴ καὶ τιμὴ τȣ̃ ἄρχοντος, ὑπὸ τῶν κακῶν ȣ̓δ' ἑαυτὸν, εἰ στρατηγός ἐστιν, ἐπιγινώσκοντος. ἡττηθεὶς γὰρ μάχαις μεγάλαις, ἐπεχείρησε μὲν ἀναζευγνύναι νυκτὸς, ἐκλιπὼν τὸ στρατόπεδον· αἰσθομένων δὲ τῶν Νομαντίνων, καὶ τὸ μὲν στρατόπεδον εὐθὺς λαβόντων, τοῖς δ' ἀνθρώποις ἐπιπεσόντων φεύγȣσι, καὶ τȣ̀ς ἐσχάτȣς φονευόντων, τὸ δὲ πᾶν [3] ἐγκυκλȣμένων στράτευμα, καὶ συνωθȣ́ντων εἰς τόπȣς χαλεπȣ̀ς καὶ διάφυξιν ȣ̓κ ἔχοντας, ἀπογνȣ̀ς τὴν ἐκ τȣ̃ βιάζεσθαι σωτηρίαν ὁ Μαγκίνος, ἐπεκηρυκεύετο περὶ σπονδῶν καὶ διαλύσεων προς αὐτȣ́ς· οἱ δὲ πιστεύειν ἔφασαν ȣ̓δενὶ, πλὴν μόνῳ Τιβερίῳ, καὶ τȣ̃τον ἐκέλευον ἀποστέλλειν πρὸς αὐτȣ́ς. ἔπεπόνθεισαν [4] δὲ τȣ̃το καὶ δι' αὐτὸν τὸν νεανίσκον· ἦν γὰρ αὐτȣ̃ πλεῖστος λόγος ἐπὶ στρατιᾶς· καὶ μεμνημένοι τȣ̃ πατρὸς Τιβερίȣ, ὃς πολεμήσας Ἴβηρσι, καὶ πολ-

1 B. 5. Junt. Ald. Crat. *κατέλιπε*, quod Duſ. probat. SG. *κατέλιπεν*.

2 V. & B. 5. *στρατεύειν*. SG. in ſeq. l. *βαρυποτμωτάτῳ*.

3 B. 5. *πάντων*. SG. l. ſeq. *διάφευξιν* pro *διάφυξιν*.

4 SG. *ἐπεπόνθεσαν*.

πολλȣς καταστρεψάμενος, εἰρήνην ἔθετο πρὸς Νομαντίνȣς [1], καὶ ταύτην ἐμπεδȣ̃ντα τὸν δῆμον ὀρθῶς καὶ δικαίως ἀεὶ παρέχειν. ȣ̓́τω δὴ πεμφθεὶς ὁ Τιβέριος, καὶ συγγενόμενος τοῖς ἀνδράσι, καὶ τὰ μὲν πείσας, τὰ δὲ δεξάμενος ἐσπείσατο, καὶ δισμυρίȣς ἔσωσε περιφανῶς Ῥωμαίων πολίτας, ἄνευ τῆς [2] θεραπείας καὶ τῶν ἔξω τάξεως ἑπομένων.

VI. Τὰ δ' ἐν τῷ χάρακι ληφθέντα [3] χρήματα πάντα κατέχον οἱ Νομαντῖνοι καὶ διεπόρθησαν. ἐν δὲ τȣ́τοις καὶ πινακίδες ἦσαν τȣ̃ Τιβερίȣ, γράμματα καὶ λόγȣς ἔχȣσαι τῆς ταμιευτικῆς ἀρχῆς, ἃς περὶ πολλȣ̃ ποιȣ́μενος ἀπολαβεῖν, ἤδη τȣ̃ στρατȣ̃ προκεχωρηκότος, ἀνέστρεψε πρὸς τὴν πόλιν, ἔχων μεθ' ἑαυτȣ̃ τρεῖς, ἢ τέτταρας, ἑταίρȣς. ἐκκαλέσας δὲ τῶν Νομαντίνων τȣ̀ς ἄρχοντας, ἠξίȣ κομίσασθαι τὰς δέλτȣς [4], ὡς μὴ παράσχοι τοῖς ἐχθροῖς διαβολὴν, ȣ̓κ ἔχων ἀπολογίσασθαι [5] περὶ τῶν ᾠκονομημένων. ἡσθέντες ȣ̓̃ν οἱ Νομαντῖνοι τῇ συντυχίᾳ τῆς χρείας, παρεκάλȣν αὐτὸν εἰσελθεῖν εἰς τὴν πόλιν· ὡς δ' εἱστήκει βȣλευόμενος, ἐγγὺς προσελθόντες ἐνεφύοντο ταῖς χερσὶ, καὶ λιπαρεῖς ἦσαν, δεόμενοι, μηκέτι νομίζειν αὐτȣ̀ς πολεμίȣς, ἀλλ' ὡς φίλοις χρῆσθαι καὶ πιστεύειν. ἔδοξεν ȣ̓̃ν τῷ Τιβερίῳ ταῦτα ποιεῖν, τῶν τε [6] δέλτων περιεχομένῳ, καὶ δεδοικότι παροξύνειν, ὡς ἀπιστȣμένȣς, τȣ̀ς Νομαντίνȣς. εἰσελθόντι

1 V. B. 5. & SG. πρὸς τȣ̀ς Νομ.

2 Artic. τῆς R. de suo addidit.

3 Sic cum Junt. & SG. dedit R. Est quoque in Ald. & Crat. Vulgo λειφθέντα.

4 Vulgo τȣ̀ς δέλτȣς h. l. & infra. Utroque loco SG. habet τὰς δέλτȣς, item in priori B. 5. quod reponi voluit Duf. deditque R.

5 Sic R. de suo dedit a v. ἀπολογίζεσθαι, pro vulg. ἀπολογήσασθαι.

6 Sic cum B. 5. & SG. dari voluit Br. deditque R. Vulgo τῶν δὲ δ.

τι δ' εἰς τὴν πόλιν πρῶτον μὲν ἄριςον παρέθεσαν, καὶ πᾶσαν ἐποιήσαντο δέησιν ἐμφαγεῖν τι κοινῇ μετ' αὐτῶν καθήμενον. ἔπειτα τὰς δέλτους ἀπέδοσαν, καὶ τῶν ἄλλων, ἃ βούλοιτο, χρημάτων λαβεῖν ἐκέλευον. ὁ δ' οὐδὲν, ἢ τὸν λιβανωτὸν, ᾧ πρὸς τὰς δημοσίας ἐχρῆτο θυσίας, λαβὼν, ἀπῆλθεν ἀσπασάμενος καὶ φιλοφρονηθεὶς τοὺς ἄνδρας.

VII. Ἐπεὶ δ' εἰς Ῥώμην ἐπανῆλθεν, ἡ μὲν ὅλη πρᾶξις, ὡς δεινὴ καὶ καταισχύνουσα τὴν Ῥώμην, αἰτίαν εἶχε καὶ κατηγορίαν· οἱ δὲ τῶν ςρατιωτῶν οἰκεῖοι καὶ φίλοι, μέγα μέρος ὄντες τοῦ δήμου, συνέτρεχον πρὸς τὸν Τιβέριον, τὰ μὲν αἰσχρὰ τῶν γεγονότων ἀναφέροντες εἰς τὸν ἄρχοντα, δι' αὐτὸν δὲ σώζεσθαι τοσούτους πολίτας φάσκοντες. οἱ μέντοι δυσχεραίνοντες τὰ πεπραγμένα μιμεῖσθαι τοὺς προγόνους ἐκέλευον. καὶ γὰρ ἐκεῖνοι τοὺς ἀγαπήσαντας ὑπὸ Σαυνιτῶν [1] ἀφεθῆναι ςρατηγοὺς, αὐτούς τε τοῖς πολεμίοις γυμνοὺς προσέῤῥιψαν, καὶ τοὺς ἐφαψαμένους καὶ μετασχόντας τῶν σπονδῶν, οἷον ταμίας καὶ χιλιάρχους, ὁμοίως προὔβαλον, εἰς ἐκείνους τὴν ἐπιορκίαν καὶ τὴν διάλυσιν τῶν ὡμολογημένων τρέποντες. ἔνθα δὴ καὶ μάλιςα τὴν πρὸς τὸν Τιβέριον εὔνοιαν καὶ σπουδὴν ἐξέφηνεν ὁ δῆμος. τὸν μὲν γὰρ ὕπατον ἐψηφίσαντο γυμνὸν καὶ δεδεμένον παραδοῦναι τοῖς Νομαντίνοις, τῶν δ' ἄλλων ἐφείσαντο πάντων διὰ Τιβέριον. δοκεῖ δὲ καὶ Σκιπίων βοηθῆσαι, μέγιςος ὢν τότε, καὶ πλεῖςον δυνάμενος Ῥωμαίων· ἀλλ' οὐδὲν ἧττον ἐν αἰτίαις ἦν, ὅτι τὸν Μαγκίνον οὐ περιέσωσεν, οὐδὲ τὰς σπονδὰς ἐμπεδωθῆναι τοῖς Νομαντίνοις ἐσπούδασε, δι' ἀνδρὸς οἰκείου καὶ φίλου, τοῦ Τιβερίου, γενομένας. τὸ δὲ πλεῖςον ἔοικεν ἐκ φιλοτιμίας, καὶ [2] τῶν ἐπαιρόντων τὸν Τιβέριον φίλων καὶ σοφιςῶν, ἐκγενέσθαι τὰ τῆς διαφορᾶς. ἀλλ' αὕτη γε πρὸς οὐδὲν ἀνήκεςον, οὐδὲ φαῦλον

1 Anon. Σαμνιτῶν.

2 Hoc καὶ cum praemisso commate delendum censet R.

λου ἐξέπεσε. δοκεῖ δ' ἄν μοι μηδαμῶς περιπεσεῖν ὁ Τιβέριος, οἷς ἔπαθεν, εἰ παρῆν αὐτῷ τοῖς πολιτεύμασι Σκιπίων ὁ Ἀφρικανός· νῦν δ' ἐκείνου περὶ Νομαντίαν ὄντος ἤδη καὶ πολεμοῦντος, ἥψατο τῆς περὶ τοὺς νόμους πολιτείας ἐκ τοιαύτης αἰτίας.

VIII. Ῥωμαῖοι τῆς τῶν ἀστυγειτόνων χώρας ὅσην ἀπετέμοντο [1] πολέμῳ, τὴν μὲν ἐπίπρασκον, τὴν δὲ ποιούμενοι δημοσίαν, ἐδίδοσαν νέμεσθαι τοῖς ἀκλήμοσι καὶ ἀπόροις τῶν πολιτῶν, ἀποφορὰν οὐ πολλὴν εἰς τὸ δημόσιον τελοῦσιν. ἀρξαμένων δὲ τῶν πλουσίων ὑπερβάλλειν τὰς ἀποφορὰς, καὶ τοὺς πένητας ἐξελαυνόντων, ἐγράφη νόμος, οὐκ ἐῶν πλέθρα γῆς ἔχειν πλείονα πεντακοσίων. καὶ βραχὺν μὲν χρόνον ἐπέσχε τὴν πλεονεξίαν τὸ γράμμα τοῦτο, καὶ τοῖς πένησιν ἐβοήθησε, κατὰ χώραν μένουσιν ἐπὶ τῶν μεμισθωμένων, καὶ νεμομένοις ἣν ἕκαστος ἐξ ἀρχῆς εἶχε μοῖραν. ὕστερον δὲ, τῶν γειτνιώντων πλουσίων ὑποβλήτοις προσώποις μεταφερόντων τὰς μισθώσεις εἰς ἑαυτοὺς, τέλος δὲ φανερῶς ἤδη δι' ἑαυτῶν τὰ πλεῖστα κατεχόντων, ἐξωσθέντες οἱ πένητες, οὔτε ταῖς στρατείαις ἔτι προθύμους παρεῖχον ἑαυτοὺς, ἠμέλουν τε [2] παίδων ἀνατροφῆς, ὥστε ταχὺ τὴν Ἰταλίαν ἅπασαν ὀλιγανδρίας ἐλευθέρων αἰσθέσθαι [3], δεσμωτηρίων δὲ βαρβαρικῶν ἐμπεπλῆσθαι, δι' ὧν ἐγεώργουν οἱ πλούσιοι τὰ χωρία, τοὺς πολίτας ἐξελάσαντες. ἐπεχείρησε μὲν οὖν τῇ διορθώσει Γάϊος Λαίλιος, ὁ Σκιπίωνος ἑταῖρος· ἀντικρουσάντων δὲ τῶν δυνατῶν, φοβηθεὶς τὸν θόρυβον καὶ [4] παυσάμενος, ἐπεκλήθη σοφὸς, ἢ φρόνιμος. ἑκάτερον γὰρ ἐδόκει σημαίνειν ὁ σαπίηνς [5].



1 Sic R. cum Anon. & SG. dedit pro vulg. ἐπετέμοντο.

2 SG. δέ.

3 Sic dari voluit Duſ. deditque R. cum V. & SG. pro vulg. ἔσεσθαι.

4 abeſt καὶ a B. 5. Id. paulo poſt dat καὶ pro ἢ cum SG.

5 SG. ὁ σάπιεν. Junt. ὁ σαπίενς.

ὁ Τιβέριος δὲ, δήμαρχος ἀποδειχθεὶς, εὐθὺς ἐπ' αὐτὴν ὥρμησε τὴν πρᾶξιν, ὡς μὲν οἱ πλεῖσοι λέγȣσι, Διοφάνȣς τȣ̃ ῥήτορος καὶ Βλοσσίȣ τȣ̃ φιλοσόφȣ παρορμησάντων αὐτόν· ὧν ὁ μὲν Διοφάνης φυγὰς ἦν Μιτυληναῖος· ὁ δ' αὐτόθεν ἐξ Ἰταλίας Κυμαῖος, Ἀντιπάτρȣ τȣ̃ Ταρσέως γεγονὼς ἐν ἄσει συνήθης, καὶ τετιμημένος ὑπ' αὐτȣ̃ προσφωνήσεσι γραμμάτων φιλοσόφων. ἔνιοι δὲ καὶ [1] Κορνηλίαν συνεπαιτιῶνται, τὴν μητέρα, πολλάκις τȣ̀ς υἱȣ̀ς ὀνειδίζȣσαν, ὅτι Ῥωμαῖοι Σκιπίωνος αὐτὴν ἔτι πενθερὰν, ȣ̓́πω δὲ μητέρα Γράκχων προσαγορεύȣσιν. ἄλλοι δὲ Σπόριόν τινα Πȣσέμιον λέγȣσιν αἴτιον γενέϑαι [2], ἡλικιώτην τȣ̃ Τιβερίȣ, καὶ πρὸς δόξαν ἐφάμιλλον αὐτῷ περὶ τὰς συνηγορίας. ὃν, ὡς ἐπανῆλθεν ἀπὸ τῆς ϛρατείας, εὑρὼν πολὺ τῇ δόξῃ καὶ τῇ δυνάμει παρηλλαχότα καὶ θαυμαζόμενον, ἠθέλησεν, ὡς ἔοικεν, ὑπερβαλέϑαι, πολιτεύματος παραβόλȣ καὶ μεγάλην προσδοκίαν ἔχοντος ἁψάμενος. ὁ δ' ἀδελφὸς αὐτȣ̃, Γάϊος, ἔν τινι βιβλίῳ γέγραφεν, εἰς Νομαντίαν πορευόμενον διὰ τῆς Τυῤῥηνίας τὸν Τιβέριον, καὶ τὴν ἐρημίαν τῆς χώρας ὁρῶντα, καὶ τȣ̀ς γεωργȣ̃ντας, ἢ νέμοντας, οἰκέτας ἐπεισάκτȣς καὶ βαρβάρȣς, τότε πρῶτον ἐπὶ νȣ̃ν βαλέϑαι τὴν μυρίων κακῶν ἄρξασαν αὐτοῖς πολιτείαν. τὴν δὲ πλείϛην αὐτὸς ὁ δῆμος ὁρμὴν καὶ φιλοτιμίαν ἐξῆψε, προκαλȣ́μενος [3] διὰ γραμμάτων αὐτὸν ἐν ϛοαῖς καὶ τοίχοις καὶ μνήμασι γραφομένων [4], ἀναλαβεῖν τοῖς πένησι τὴν δημοσίαν χώραν.

IX. Οὐ μὴν ἐφ' αὐτȣ̃ γε συνέθηκε τὸν νόμον, τοῖς δὲ πρωτεύȣσιν ἀρετῇ καὶ δόξῃ τῶν πολιτῶν συμβȣ́λοις

1 B. 5. omittit καὶ h. l. inferit autem poft πολλάκις lin. feq.

2 SG. omittit αἴτιον, ut videtur. Enotatum eft inde Πȣσέμιον γενέϑαι λέγȣσιν. Id. paulo poft ϛρατιᾶς pro ϛρατείας, cum Junt. Ald. Crat.

3 SG. προσκαλȣ́μενος.

4 V. B. 5. SG. καταγραφομένων, quod probat Duf.

βουλοις χρησάμενος· ὧν καὶ Κράσσος ἦν, ὁ ἀρχιερεὺς, καὶ Μούκιος Σαιουόλας [1], ὁ νομοδείκτης, ὑπατεύων τότε, καὶ Κλαύδιος Ἄππιος, ὁ κηδεστὴς τοῦ Τιβερίου. καὶ δοκεῖ νόμος εἰς ἀδικίαν καὶ πλεονεξίαν τοσαύτην μηδέποτε πρᾳότερος γραφῆναι καὶ μαλακώτερος. οὓς γὰρ ἔδει δίκην τῆς ἀπειθίας [2] δοῦναι, καὶ μετὰ ζημίας ἣν παρὰ τοὺς νόμους ἐκαρποῦντο χώραν ἀφεῖναι, τούτους ἐκέλευσε τιμὴν προσλαμβάνοντας ἐκβαίνειν, ὧν ἀδίκως ἐκέκτηντο, καὶ παραδέχεσθαι τοὺς βοηθείας δεομένους τῶν πολιτῶν. ἀλλὰ, καίπερ οὕτω τῆς ἐπανορθώσεως οὔσης εὐγνώμονος, ὁ μὲν δῆμος ἠγάπα, παρεὶς τὰ γεγενημένα, παύσασθαι τὸ λοιπὸν ἀδικούμενος· οἱ δὲ πλούσιοι καὶ κτηματικοὶ πλεονεξίᾳ μὲν τὸν νόμον, ὀργῇ δὲ καὶ φιλονεικίᾳ τὸν νομοθέτην δι' ἔχθους [3] ἔχοντες, ἐπεχείρουν ἀποτρέπειν τὸν δῆμον, ὡς γῆς ἀναδασμὸν ἐπὶ συγχύσει τῆς πολιτείας εἰσάγοντος τοῦ Τιβερίου, καὶ πάντα πράγματα κινοῦντος. ἀλλ' οὐδὲν ἐπέραινον· ὁ γὰρ Τιβέριος, πρὸς καλὴν ὑπόθεσιν καὶ δικαίαν ἀγωνιζόμενος λόγῳ καὶ φαυλότερα κοσμῆσαι δυναμένῳ πράγματα, δεινὸς ἦν καὶ ἄμαχος, ὁπότε, τοῦ δήμου τῷ βήματι περικεχυμένου, καταστὰς λέγοι περὶ τῶν πενήτων, ὡς τὰ μὲν θηρία, τὰ [4] τὴν Ἰταλίαν νεμόμενα, καὶ φωλεὸν ἔχει, καὶ κοιταῖόν ἐστιν αὐτῶν ἑκάστῳ καὶ κατάδυσις [5], τοῖς δ' ὑπὲρ τῆς Ἰταλίας μαχομένοις καὶ ἀποθνήσκουσιν ἀέρος καὶ φωτὸς, ἄλλου δ' οὐδενὸς, μέτεστιν, ἀλλ' ἄοικοι καὶ ἀνίδρυτοι μετὰ τέκνων πλανῶνται καὶ γυναικῶν· οἱ δ' αὐτοκράτορες ψεύδονται, τοὺς στρατιώτας ἐν ταῖς μάχαις παρακα-



1 Ita hoc nomen prima dedit Ald. quam reliquae sunt secutae. Sola Crat. bene, me judice, Σκαιουόλας; Junt. vitiose καὶ οὐόλας, SG. Σκαιβόλας.

2 SG. ἀπειθείας.

3 V. & B. 5. δι' ἔχθρας, quod probat Duf.

4 abest τὰ a B. 5.

5 Sic in sing. R. dedit de suo pro vulg. καταδύσεις. Pro αὐτῶν, quod praecessit, V. & B. 5. αὐτοῖς.

λοῦντες ὑπὲρ τάφων καὶ ἱερῶν ἀμύνεσθαι τοὺς πολεμίους. οὐδενὶ γάρ ἐστιν οὐ βωμὸς πατρῷος, οὐκ ἠρίον προγονικὸν τῶν τοσούτων Ῥωμαίων, ἀλλ᾽ ὑπὲρ ἀλλοτρίας τρυφῆς καὶ πλούτου πολεμοῦσι καὶ ἀποθνήσκουσι, κύριοι τῆς οἰκουμένης εἶναι λεγόμενοι, μίαν δὲ βῶλον ἰδίαν οὐκ ἔχοντες.

X. Τούτους ἀπὸ φρονήματος μεγάλου καὶ πάθους ἀληθινοῦ τοὺς λόγους κατιόντας [1] εἰς τὸν δῆμον ἐνθουσιῶντα καὶ συνεξανιστάμενον οὐδεὶς ὑφίστατο τῶν ἐναντίων. ἐάσαντες οὖν τὸ ἀντιλέγειν ἐπὶ Μάρκον Ὀκτάβιον τρέπονται, τῶν δημάρχων ἕνα, νεανίαν ἐμβριθῆ τὸ ἦθος καὶ κόσμιον, ἑταῖρον δὲ τοῦ Τιβερίου καὶ συνήθη. διὸ τὸ μὲν πρῶτον αἰδούμενος ἐκεῖνον ἀνεδύετο· πολλῶν δὲ καὶ δυνατῶν δεομένων καὶ λιπαρούντων, ὥσπερ ἐκβιασθεὶς, ἀντικαθίστατο τῷ Τιβερίῳ, καὶ διεκρούετο [2] τὸν νόμον. ἔστι δὲ τοῦ κωλύοντος ἐν τοῖς δημάρχοις τὸ κράτος. οὐδὲν γὰρ οἱ πολλοὶ [3] κελεύοντες περαίνουσιν, ἑνὸς ἐνισταμένου. πρὸς τοῦτο παροξυνθεὶς ὁ Τιβέριος, τὸν μὲν φιλάνθρωπον ἐπανείλετο νόμον· τὸν δ᾽ ἡδίω τε τοῖς πολλοῖς καὶ σφοδρότερον ἐπὶ τοὺς ἀδικοῦντας εἰσέφερεν, ἤδη κελεύων ἐξίστασθαι τῆς χώρας, ἣν ἐκέκτηντο παρὰ τοὺς προτέρους νόμους. ἦσαν οὖν ὁμοῦ τι καθ᾽ ἑκάστην ἡμέραν ἀγῶνες αὐτῷ [4] πρὸς τὸν Ὀκτάβιον ἐπὶ τοῦ βήματος· ἐν οἷς καίπερ ἐξ ἄκρας σπουδῆς καὶ φιλονεικίας ἀντερείδοντες, οὐδὲν εἰπεῖν λέγονται περὶ ἀλλήλων φλαῦρον [5], οὐδὲ ῥῆμα

1 V. & B. 5. *κατατείνοντας.* Paulo post SG. Ὀκταούϊον pro Ὀκτάβ.

2 Mos. Dus. leg. susp. *διεκκρούετο.* Voluisse eum scribere *διεξεκρούετο*, R. monet.

3 B. 5. *οἱ παλαιοί.* Br. mavult *οἱ λοιποί.* Locum hunc Kind & Schirach ita vertunt, quasi ad τοῦ *κωλύοντος* subaudiendum esset Ὀκταβίου. Minus apte, meo sensu: generalius enim sunt dicta, & pro parenthesi sumenda *ἔστι δὲ — ἐνισταμένου.*

4 abest *αὐτῷ* a Junt. Ald. Crat.

5 SG. *φαῦλον.* Seq. *προπεσεῖν* R. de suo dedit pro vulg. *προσπεσεῖν.*

ῥῆμα προπεσεῖν θατέρου πρὸς τὸν ἕτερον δι' ὀργὴν ἀνεπιτήδειον. οὐ γὰρ μόνον ἐν βακχεύμασιν, ὡς ἔοικεν, ἀλλὰ καὶ ἐν φιλοτιμίαις καὶ ὀργαῖς, τὸ πεφυκέναι καλῶς, καὶ πεπαιδεῦσθαι σωφρόνως, ἐφίστησι καὶ κατακοσμεῖ τὴν διάνοιαν. ἐπεὶ δ' ἑώρα τὸν Ὀκτάβιον ἐνεχόμενον τῷ νόμῳ, καὶ κατέχοντα τῆς δημοσίας χώρας [1] συχνὴν, ὁ Τιβέριος ἐδεῖτο παρεῖναι τὴν φιλονεικίαν, ὑφιστάμενος αὐτῷ τὴν τιμὴν ἀποδώσειν ἐκ τῶν ἰδίων, καίπερ οὐ λαμπρῶν ὄντων. οὐκ ἀνασχομένου δὲ τοῦ Ὀκταβίου, διαγράμματι τὰς ἄλλας ἀρχὰς ἁπάσας ἐκώλυσε χρηματίζειν, ἄχρις ἂν ἡ περὶ τοῦ νόμου διενεχθῇ ψῆφος. τῷ δὲ τοῦ Κρόνου ναῷ σφραγίδας ἰδίας ἐπέβαλεν, ὅπως οἱ ταμίαι μηδὲν ἐξ αὐτοῦ λαμβάνοιεν, μηδ' εἰσφέροιεν· καὶ τοῖς ἀπειθήσασι [2] τῶν στρατηγῶν ζημίαν ἐπεκήρυξεν, ὥστε πάντας ὑποδείσαντας ἀφεῖναι τὴν ἑκάστῳ προσήκουσαν οἰκονομίαν. ἐντεῦθεν οἱ κτηματικοὶ τὰς μὲν ἐσθῆτας μετέβαλον, καὶ περιῄεσαν οἰκτροὶ καὶ ταπεινοὶ κατὰ τὴν ἀγοραν. ἐπεβούλευον δὲ τῷ Τιβερίῳ κρύφα, καὶ συνίστασαν ἐπ' αὐτὸν τοὺς ἀναιρήσοντας· ὥστε κἀκεῖνον, οὐδενὸς ἀγνοοῦντος, ὑποζώννυσθαι ξιφίδιον λῃστρικὸν, ὃ δόλωνα καλοῦσιν.

XI. Ἐνστάσης δὲ τῆς ἡμέρας, καὶ τὸν δῆμον αὐτοῦ καλοῦντος ἐπὶ τὴν ψῆφον, ἡρπάσθησαν ὑπὸ τῶν πλουσίων αἱ ὑδρίαι, καὶ τὰ γινόμενα πολλὴν εἶχε σύγχυσιν. οὐ μὴν ἀλλὰ [3] τῶν περὶ τὸν Τιβέριον πλήθει βιάσασθαι δυναμένων, καὶ συστρεφομένων ἐπὶ τούτῳ [4], Μάλλιος καὶ



1 R. de ſuo dedit pro vulg. χώραν.

2 R. ad h. v. haec adnotat: „ recte, non in fut. ἀπειθήσουσιν: potentialiter: *ſi qui eſſent, qui morem gerere recuſarent*: nam ſi futurum uſurpaſſet, rem certam poſuiſſet, quaſi praeſcius, certo futuros eſſe, qui refragarentur." Pro ſeq. ἐπεκήρ. V. ſimpl. ἐκήρυξεν

3 Poſt h. v. B. 5. inſerit καί. Seq. τὸν poſt περὶ abeſt a SG.

4 V. & SG. ἐπὶ τοῦτο, quod Duſ. probat. Mavult tamen ἐπὶ ταὐτό.

Φέλβιος, ἄνδρες ὑπατικοὶ, προσπεσόντες Τιβερίῳ [1], καὶ χειρῶν ἁπτόμενοι καὶ δακρύοντες ἐδέοντο παύσασθαι. τοῦ δὲ καὶ τὸ μέλλον ὅσον οὔπω δεινὸν ἤδη συμφρονοῦντος, καὶ δι' αἰδῶ τῶν ἀνδρῶν πυθομένου, τί κελεύουσι πράττειν αὐτὸν, οὐκ ἔφασαν ἀξιόχρεω [2] εἶναι πρὸς τηλικαύτην συμβουλίαν· ἐπιτρέψαι δὲ τῇ βουλῇ κελεύοντες καὶ δεόμενοι συνέπεισαν. ὡς δ' οὐδὲν ἐπέραινεν ἡ βουλὴ συνελθοῦσα διὰ τοὺς πλουσίους ἰσχύοντας ἐν αὐτῇ, τρέπεται πρὸς ἔργον οὐ νόμιμον, οὐδ' ἐπιεικὲς, ἀφελέσθαι τῆς ἀρχῆς τὸν Ὀκτάβιον, ἀμηχανῶν ἄλλως ἐπαγαγεῖν τῷ νόμῳ τὴν ψῆφον. καὶ πρῶτον μὲν ἐδεῖτο φανερῶς, αὐτῷ [3] λόγους τε προσφέρων φιλανθρώπους, καὶ χειρῶν ἁπτόμενος, ἐνδοῦναι καὶ χαρίσασθαι τῷ δήμῳ δίκαια μὲν ἀξιοῦντι, μικρὰ δ' ἀντὶ μεγάλων πόνων καὶ κινδύνων ληψομένῳ. διωθουμένου δὲ τοῦ Ὀ[κτα]βίου τὴν ἔντευξιν, ὑπειπὼν ὁ Τιβέριος, ὡς οὐκ ἔστιν [ἄρ]χοντ[ας] ἀμφοτέρους, καὶ περὶ πραγμάτων μεγάλων ἀπ' ἴσης ἐξουσίας διαφερομένους, ἄνευ πολέμου διεξελθεῖν [4] τὸν χρόνον, ἓν ἴαμα τοῦτο μόνον ὁρᾶν ἔφη, τὸ παύσασθαι τῆς ἀρχῆς τὸν ἕτερον. καὶ περὶ αὐτοῦ γε προτέρου τὸν Ὀκτάβιον ἐκέλευσε τῷ δήμῳ ψῆφον ἀναδοῦναι· καταβήσεσθαι γὰρ εὐθὺς ἰδιώτης γενόμενος, ἂν τοῦτο δόξῃ τοῖς πολίταις. τοῦ δ' Ὀκταβίου μὴ θέλοντος, αὐτὸς ἔφη περὶ ἐκείνου ψῆφον ἀναδώσειν, ἐὰν μὴ μεταγνῷ βουλευσάμενος.

XII. Καὶ τότε μὲν ἐπὶ τούτοις διέλυσε τὴν ἐκκλησίαν· τῇ δ' ὑστεραίᾳ τοῦ δήμου συνελθόντος, ἀναβὰς ἐπὶ τὸ βῆμα, πάλιν [5] ἐπειρᾶτο πείθειν τὸν Ὀκτάβιον· ὡς δ'

1 SG. τῷ Τιβερίῳ.

2 Sic, probante Dacer. cum SG. dedit R. pro vulg. ἀξιόχρεως.

3 Br. legit αὐτοῦ, ſublato commate.

4 V. διελθεῖν. Ad τὸν χρόνον ſubaudi τῆς ἀρχῆς. Pro ſeq. τοῦτο V. Anon. B. 5. & SG. τούτου. Ald. Junt. Crat. τοῦτον.

5 In SG. item Junt. Ald. Crat. comma non ante, ſed poſt πάλιν poſitum eſt.

δ' ἦν ἀμετάπεισος [1], εἰσήνεγκε νόμον ἀφαιρέμενον αὐτȣ̃ τὴν δημαρχίαν, καὶ τȣ̀ς πολίτας εὐθὺς ἐκάλει τὴν ψῆφον ἐπιφέροντας. ȣ̓σῶν δὲ πέντε καὶ τριάκοντα φυλῶν, ὡς αἱ δεκαεπ]ὰ τὴν ψῆφον ἐπενηνέχεισαν [2], καὶ μιᾶς ἔτι προσγινομένης, ἔδει τὸν Ὀκ]άβιον ἰδιώτην γενέϑαι, κελεύσας ἐπισχεῖν, αὖϑις ἐδεῖτο τȣ̃ Ὀκ]αβίȣ. καὶ περιέβαλλεν [3] αὐτὸν ἐν ὄψει τȣ̃ δήμȣ καὶ κατησπάζετο, λιπαρῶν καὶ δεόμενος, μήτε αὐτὸν [4] ἄτιμον περιϊδεῖν γενόμενον, μήτ' ἐκείνῳ βαρέος ȣ̔́τω καὶ σκυθρωπȣ̃ πολιτεύματος αἰτίαν προσάψαι. τȣ́των τῶν δεήσεων ȣ̓ παντελῶς ἄτεγκ]ον, ȣ̓δ' ἀτενῆ, λέγȣσιν ἀκροᾶϑαι τὸν Ὀκ]άβιον, ἀλλὰ καὶ δακρύων ὑποπίμπλαϑαι τὰ ὄμματα, καὶ σιωπᾶν ἐπὶ πολὺν χρόνον. ὡς μέντοι πρὸς τȣ̀ς πλȣσίȣς καὶ τȣ̀ς κτηματικȣ̀ς συνεςῶτας ἀπέβλεψεν, αἰδεϑεὶς δοκεῖ καὶ φοβηϑεὶς τὴν παρ' ἐκείνοις ἀδοξίαν, ὑποςῆναι καὶ πᾶν δεινὸν ȣ̓κ ἀγεννῶς, καὶ [5] κελεῦσαι πράττειν, ὃ βȣ́λεται, τὸν Τιβέριον. ȣ̔́τω δὴ τȣ̃ νόμȣ κυρωϑέντος, ὁ μὲν Τιβέριος τῶν ἀπελευϑέρων τινὶ προσέταξεν ἀπὸ τȣ̃ βήματος ἑλκύσαι τὸν Ὀκτάβιον· ἐχρῆτο δ' ὑπηρέταις, ἀπελευϑέροις ἰδίοις· καὶ τȣ̃το τὴν ὄψιν οἰκτροτέραν τȣ̃ Ὀκταβίȣ παρέσχεν, ἑλκομένȣ πρὸς ὕβριν. ὁ δὲ δῆμος ἐφώρμησεν αὐτῷ, καὶ τῶν πλȣσίων συνδραμόντων, καὶ διασχόντων τὰς χεῖρας, ὁ μὲν Ὀκτάβιος ἐσώϑη μόγις [6], ἐξαρπαγεὶς καὶ διαφυγὼν τὸν ὄχλον, οἰκέτην δ' αὐτȣ̃ πισὸν ἔμπροσϑεν ἑςῶτα καὶ προτεταγ-

 μένον

1 Junt. ſyllabam πει abbreviatam per πῖ, me judice, exhibet.; Ald. & Crat. autem ἀμετάπισος. Hoc idem in SG, abraſo ε poſteriori, quod ab initio ſcriptum erat, extat.

2 V. & B. 5. ἐξενηνόχεισαν. SG. in ſeq. προσγενομένης.

3 B. 5. Junt. Ald. Crat. περιέβαλεν.

4 SG. μηϑ' ἑαυτὸν.

5 Sic R. de ſuo dedit. Vulgo deeſt καὶ, & ſic diſtinguitur, πᾶν δεινὸν, ȣ̓κ ἀγεννῶς κελεῦσαι. Br. legi voluit ὑποςῆναι πᾶν δεινὸν, καὶ ȣ̓κ ἀγ.

6 Sic R. dedit. Vulgo μόνος. SG. μόλις.

μένον ἐξετύφλωσαν, ἄκοντος τȣ̃ Τιβερίȣ, καὶ πρὸς τὸν θόρυβον, ὡς ᾔθετο τὰ γινόμενα, πολλῇ σπȣδῇ καταδραμόντος [1].

XIII. Ἐκ τȣ́τȣ κυρȣ̃ται μὲν ὁ περὶ τῆς χώρας νόμος, αἱρȣ̃νται δὲ τρεῖς ἄνδρες ἐπὶ τὴν διάκρισιν καὶ τὴν [2] διανομὴν, αὐτὸς Τιβέριος, καὶ Κλαύδιος Ἄππιος, ὁ πενθερὸς, καὶ Γάϊος ὁ [3] Γράκχος, ὁ ἀδελφὸς, ȣ̓ παρὼν ἔτος, ἀλλ' ὑπὸ Σκιπίωνι πρὸς Νομαντίαν [4] ϛρατευόμενος. ταῦτα τȣ̃ Τιβερίȣ διαπραξαμένȣ καθ' ἡσυχίαν, μηδενὸς ἐνιϛαμένȣ, καὶ πρὸς τȣ́τοις δήμαρχον ἀντικαταϛήσαντος ȣ̓δένα τῶν ἐπιφανῶν, ἀλλὰ Μȣ́κιόν [5] τινα, πελάτην αὐτȣ̃, πρὸς πάντα δυσχεραίνοντες οἱ δυνατοὶ, καὶ φοβȣ́μενοι τȣ̃ Τιβερίȣ τὴν αὔξησιν, ἐν τῇ βȣλῇ προσεπηλάκιζον αὐτὸν, αἰτȣμένῳ μὲν, ὡς ἔθος ἐϛὶν, ἐκ δημοσίȣ σκηνὴν, ὅπως ἔχοι διανέμων τὴν χώραν, ȣ̓ δόντες, ἑτέρων ἐπ' ἐλάττοσι χρείαις πολλάκις λαβόντων, ἀνάλωμα δ' εἰς ἑκάϛην ἡμέραν ἐννέα ὀβολȣ̀ς τάξαντες· εἰσηγȣμένȣ ταῦτα Ποπλίȣ Νασικᾶ [6], καὶ δεδωκότος ἑαυτὸν εἰς τὴν πρὸς ἐκεῖνον ἔχθραν ἀφειδῶς. πλείϛην γὰρ ἐκέκτητο γῆν δημοσίαν, καὶ χαλεπῶς ἔφερεν ἐκβαίνειν αὐτοῖς ἀναγκαζόμενος. ὁ δὲ δῆμος ἔτι μᾶλλον ἐξεκάετο· καὶ φίλȣ τινὸς τῷ Τιβερίῳ τελευτήσαντος αἰφνιδίως, καὶ σημείων τῷ νεκρῷ μοχθηρῶν ἐπιδραμόντων [7], βοῶντες, ὑπὸ φαρμάκων ἀνῃρῆσθαι τὸν ἄνθρωπον, ἐπὶ τὴν ἐκφορὰν συνέδραμον, καὶ τὸ λέχος

ἦραν-

1 scil. e rostris. R.

2 Τὴν abest a SG. & B. 5.

3 abest ὁ a SG.

4 Post h. v. inserit V. ϛρατείαν, & B. 5. ϛρατιάν.

5 App. de Bell. civ. l. Q. Mummium appellat. Xyl.

6 Super priori α hujus vocis in SG. h. l. & in seqq. uno loco excepto, scriptum est υ.

7 Suspecta fuit haec vox Mosi Dus. pro qua fuisse credidit ἐπιφανέντων, aut ἐπιπαρόντων. Eandem tamen iterum adhiberi in C. Gracch. c. 10. observat.

ῄραντο, καὶ θαπτομένῳ παρέστησαν, ȣ̓ φαύλως ὑπονοῆσαι τὴν φαρμακείαν δόξαντες. ἐῤῥάγη γὰρ ὁ νεκρὸς, καὶ διεφθορότων ὑγρῶν πλῆθος ἐξέβλυσεν, ὥς' ἀποσβέσαι τὴν φλόγα. καὶ φερόντων ἄλλην, αὖθις ȣ̓κ ἐκάετο, πρὶν εἰς ἕτερον τόπον μετακομισθῆναι. καὶ πολλὰ πραγματευσαμένων, μόλις ἥψατο τὸ πῦρ αὐτȣ̃. πρὸς ταῦτα τȣ̀ς πολλȣ̀ς ἔτι μᾶλλον ὁ Τιβέριος παροξύνων, μετέβαλε τὴν ἐσθῆτα, καὶ τȣ̀ς παῖδας προαγαγὼν, ἐδεῖτο τȣ̃ δήμȣ τȣ́των κήδεσθαι καὶ τῆς μητρὸς, ὡς αὐτὸς ἀπεγνωκὼς ἑαυτόν.

XIV. Ἐπεὶ δὲ, τȣ̃ Φιλοπάτορος [1] Ἀττάλȣ τελευτήσαντος, Εὔδημος ὁ Περγαμηνὸς ἀνήνεγκε διαθήκην, ἐν ᾗ κληρονόμος ἐγέγραπτο τȣ̃ βασιλέως ὁ Ῥωμαίων δῆμος· ευθὺς ὁ Τιβέριος δημαγωγῶν εἰσήνεγκε νόμον, ὅπως τὰ βασιλικὰ χρήματα κομισθέντα τοῖς τὴν χώραν διαλαγχάνȣσι τῶν πολιτῶν ὑπάρχοι πρὸς κατασκευὴν καὶ γεωργίας ἀφορμήν. περὶ δὲ τῶν πόλεων, ὅσαι τῆς Ἀττάλȣ βασιλείας ἦσαν, ȣ̓δὲν ἔφη τῇ συγκλήτῳ βȣλεύεσθαι προσήκειν, ἀλλὰ τῷ δήμῳ γνώμην αὐτὸς προθήσειν [2]. ἐκ τȣ́τȣ μάλιςα προσέκρȣσε τῇ βȣλῇ· καὶ Πομπήϊος μὲν ἀνας ὰς ἔφη γειτνιᾶν τῷ Τιβερίῳ, καὶ διὰ τȣ̃το γινώσκειν Εὔδημον αὐτῷ τὸν Περγαμηνὸν τῶν βασιλικῶν διάδημα δεδωκότα καὶ πορφύραν, ὡς μέλλοντι βασιλεύειν ἐν Ῥώμῃ· Κόϊντος δὲ Μέτελλος ὠνείδισε τὸν Τιβέριον, ὅτι, τȣ̃ μὲν πατρὸς αὐτȣ̃ τιμητεύοντος, ὁσάκις ἀναλύοι μετὰ δεῖπνον οἴκαδε, τὰ φῶτα κατεσβέννυσαν οἱ πολῖται, φοβȣ́μενοι, μὴ πόῤῥωτέρω τȣ̃ μετρίȣ δόξωσιν ἐν συνȣσίαις εἶναι καὶ πότοις· τȣ́τῳ δὲ παραφαίνȣσι νύκτος οἱ θρασύτατοι καὶ ἀπορώτατοι τῶν δημοτῶν. Τίτος δ' Ἄννιος, ȣ̓κ ἐπιεικὴς μὲν, ȣ̓δὲ σώφρων ἄνθρωπος, ἐν δὲ λόγῳ περὶ τὰς ἐρωτήσεις καὶ [3] ἀπο-

1 Dacer. legi vult Φιλομήτορος, uti est in SG.
2 Super hoc verbo in SG. scriptum est προσθήσειν.
3 SG. ȣ̓δὲ λόγοις πρὸς τὰς ἐρωτήσεις καὶ τὰς ἀποκρ.

ἀποκρίσεις ἄμαχος εἶναι δοκῶν, εἰς ὁρισμόν [1] τινα προὐκαλεῖτο τὸν Τιβέριον, ἦ μὴν ἱερὸν ὄντα καὶ ἄσυλον ἐκ τῶν νόμων ἠτιμωκέναι [2] τὸν συνάρχοντα. θορυβούντων δὲ πολλῶν, ἐκπηδήσας ὁ Τιβέριος τόν τε δῆμον συνεκάλει, καὶ τὸν Ἄννιον [3] ἀχθῆναι κελεύσας ἐβούλετο κατηγορεῖν. ὁ δὲ, καὶ τῷ λόγῳ [4] καὶ τῇ δόξῃ πολὺ λειπόμενος, εἰς τὴν ἑαυτοῦ δεινότητα κατεδύετο, καὶ παρεκάλει μικρὰ πρὸ τῶν λόγων ἀποκρίνασθαι τὸν Τιβέριον. συγχωροῦντος δ' ἐρωτᾷν ἐκεῖνον, καὶ σιωπῆς γενομένης, εἶπεν ὁ Ἄννιος· Ἂν σὺ μὲν ἀτιμοῦν με βούλῃ καὶ προπηλακίζειν, ἐγὼ δέ τινα τῶν σῶν ἐπικαλέσωμαι συναρχόντων, ὁ δ' ἀναβῇ βοηθήσων, σὺ δ' ὀργισθῇς· ἆρά γ' αὐτοῦ τὴν ἀρχὴν ἀφαιρήσῃ; πρὸς ταύτην λέγεται τὴν ἐρώτησιν οὕτω διαπορηθῆναι τὸν Τιβέριον, ὥστε, πάντων ὄντα καὶ τῷ λέγειν ἑτοιμότατον, καὶ τῷ θαῤῥεῖν ἰταμότατον, ἀποσιωπῆσαι.

XV. Τότε μὲν οὖν διέλυσε τὴν ἐκκλησίαν. αἰσθανόμενος δὲ τῶν πολιτευμάτων [5] τὸ περὶ τὸν Ὀκτάβιον οὐ τοῖς δυνατοῖς μόνον, ἀλλὰ καὶ τοῖς πολλοῖς [6], ἐκπαθέστερον, (μέγα γάρ τι καὶ καλὸν ἐδόκει τὸ τῶν δημάρχων ἀξίωμα μέχρι τῆς ἡμέρας ἐκείνης διατετηρημένον ἀνῃρῆσθαι [7] καὶ καθυβρίσθαι) λόγον ἐν τῷ δήμῳ διεξῆλθεν,

οὐ

1 H. Steph. & Bigot. apud Dacer. ὁρκισμὸν reponi volunt. Br. susp. ἐρισμόν. Dus. tuetur vulgatam.

2 R. sic de suo dedisse monet pro vulg. ἠτιμηκέναι. Haec autem lectio non nisi in Br. vitiose. Omnes rel. edd. ἠτιμωκέναι habent.

3 B. 5. ἄνθρωπον.

4 ponderibus & veritate atque evidentia rerum dicendarum. R.

5 R. susp. τῶν αὐτοῦ πολιτευμάτων.

6 Post h. v. deesse videtur, R. judice, δοκεῖν.

7 R. mavult ἀνῃρῆσθαι in sensu activo accipi pro *sustulisse*, *abolevisse*, & legi καθυβρίσαι, *contumelia violasse*.

ȣ μικρὰ παραθέσθαι τῶν ἐπιχειρημάτων ȣκ ἄτοπον ἦν [1], ὥςε ὑπονοηθῆναι [2] τὴν πιθανότητα καὶ πυκνότητα τȣ ἀνδρός. ἔφη γὰρ, ἱερὸν τὸν δήμαρχον εἶναι καὶ ἄσυλον, ὅτι τῷ δήμῳ καθωσίωται, καὶ τȣ δήμȣ προέςηκεν. ἂν ȣν μεταβαλλόμενος [3] τὸν δῆμον ἀδικῇ, καὶ τὴν ἰχὺν κολέῃ, καὶ παραιρῆται τὴν ψῆφον, αὐτὸς ἑαυτὸν ἀπεςέρηκε τῆς τιμῆς, ἐφ' οἷς ἔλαβεν, ȣ ποιῶν. ἐπεὶ καὶ τὸ Καπετώλιον κατασκάπτοντα, καὶ τὸ νεώριον ἐμπιπράντα δήμαρχον ἐᾶν δεήσει [4]. καὶ ταῦτα μὲν ποιῶν δήμαρχός ἐςι πονηρός· ἐὰν δὲ καταλύῃ τὸν δῆμον, ȣδὲ [5] δήμαρχός ἐςι. πῶς ȣν ȣ δεινὸν, εἰ τὸν μὲν ὕπατον ὁ δήμαρχος ἄξει, τὸν δὲ δήμαρχον ȣκ ἀφαιρήσεται τὴν ἐξȣσίαν ὁ δῆμος, ὅταν αὐτῇ κατὰ τȣ δεδωκότος χρῆται; καὶ γὰρ ὕπατον καὶ δήμαρχον ὁμοίως δῆμος αἱρεῖται. καὶ μὴν ἥ γε βασιλεία, πρὸς τῷ πᾶσαν ἀρχὴν ἔχειν ἐν ἑαυτῇ συλλαβȣσα, καὶ ταῖς μεγίςαις ἱερȣργίαις καθωσίωται πρὸς τὸ θεῖον· ἀλλὰ Ταρκύνιον ἐξέβαλεν ἡ πόλις ἀδικȣντα, καὶ δι' ἑνὸς ἀνδρὸς ὕβριν ἡ πάτριος ἀρχὴ καὶ κλίσασα τὴν Ῥώμην κατελύθη. τί δ' [6] ȣτως ἅγιον ἐν Ῥώμῃ καὶ σεμνὸν, ὡς αἱ περιέπȣσαι παρθένοι καὶ φυλάττȣσαι τὸ ἄφθιτον πῦρ; ἀλλ' εἴ τις ἂν ἁμάρτῃ αὐτῶν, ζῶσα κατορύσσεται [7]. τὸ γὰρ ἄσυλον ȣ φυλάττȣσιν ἀσεβȣσαι εἰς τȣς θεȣς, ὃ διὰ τȣς θεȣς ἔχȣσιν. ȣκȣν ȣδὲ δήμαρχος, ἀδικῶν δῆμον, ἔχειν τὴν διὰ τὸν δῆμον [8] ἀσυλίαν δίκαιός ἐςιν· ᾗ γὰρ ἰχύει δυνάμει,

1 Br. susp. εἶεν. H. Steph. εἴη reponi jubet. R. legi posse censet ᾖ in subjunct. *sit, fuerit*; vulgatam esse pro ἔδοξεν ἐμοὶ εἶναι, monet.

2 Crat. post h. v. inserit τῷ.

3 SG. μεταβαλόμενος. In seq. R. dedit κολέῃ cum Anon. & B. 5. pro vulg. κωλύει. V. κολέει. Junt. κελεύει.

4 B. 5. SG. δεήσῃ. Sic & paulo infra B. 5. ἄξῃ pro ἄξει.

5 Sic cum Anon. Duf. dari voluit, deditque R. pro vulg. ȣ.

6 B. 5. τί δ' ἄν.

7 V. κατορύσηται.

8 V. B. 5. SG. διὰ τῶν δήμων. Sic & Junt. In seq. V. δίκαιον.

νάμει, ταύτην ἀναιρεῖ. καὶ μὴν εἰ δικαίως ἔλαβε τὴν δημαρχίαν, τῶν πλείςων φυλῶν ψηφισαμένων, πῶς ȣχὶ καὶ ἀφαιρεθείη δικαιότερον, πασῶν ἀποψηφισαμένων; ἱερὸν δὲ καὶ ἄσυλον ȣδὲν ȣτως ἐςὶν, ὡς τὰ τῶν θεῶν ἀναθήματα· χρῆσθαι δὲ τȣτοις, καὶ κινεῖν καὶ μεταφέρειν, ὡς βȣλεται, τὸν δῆμον ȣδεὶς κεκώλυκεν. ἐξῆν ȣν αὐτῷ καὶ τὴν δημαρχίαν ὡς ἀνάθημα μετενεγκεῖν εἰς ἕτερον. ὅτι δ' ȣκ ἄσυλον, ȣδ' ἀναφαίρετον ἡ ἀρχὴ, δῆλόν ἐςι τῷ πολλάκις ἔχοντας τινὰς ἀρχὴν [1] ἐξόμνυσθαι καὶ παραιτεῖσθαι δι' αὐτῶν.

XVI. Τοιαῦτα μὲν ἦν τὰ κεφάλαια τῆς τȣ Τιβερίȣ δικαιολογίας. ἐπεὶ δὲ συνορῶντες οἱ φίλοι τὰς ἀπειλὰς καὶ τὴν σύςασιν, ᾤοντο δεῖν ἑτέρας περιέχεσθαι δημαρχίας εἰς τὸ μέλλον, αὖθις ἄλλοις νόμοις ἀνελάμβανε τὸ πλῆθος, τȣς τε χρόνȣς [2] τῶν ςρατειῶν ἀφαιρῶν, καὶ διδȣς ἐπικαλεῖσθαι τὸν δῆμον ἀπὸ τῶν δικαςῶν [3]. καὶ τοῖς κρίνȣσι τότε [4], συγκλητικοῖς ȣσι, καταμιγνὺς ἐκ τῶν ἱππέων τὸν ἴσον ἀριθμὸν [5], καὶ πάντα τρόπον [6] ἤδη τῆς βȣλῆς τὴν ἰσχὺν κολȣων, πρὸς ὀργὴν καὶ φιλονεικίαν μᾶλλον, ἢ τὸν τȣ δικαίȣ καὶ συμφέροντος λογισμόν. ἐπεὶ δὲ, τῆς ψήφȣ φερομένης, ᾔσθοντο [7] τȣς ἐναντίȣς κρατȣντας, (ȣ γὰρ παρῆν ἅπας ὁ δῆμος) πρῶτον μὲν εἰς βλασφημίας τραπόμενοι τῶν συν-

1 SG. ἀρχὴν τινας. Seq. καὶ παραιτεῖσθαι ex vetuſtis codd. ſe addidiſſe, obſervat H. Steph.

2 Duſ. ſcribi vult τȣ τε χρόνȣ. Seq. τῶν ςρατειῶν dedit H. Steph. pro τῶν ςρατιωτῶν, quod antea legebatur. V. & SG. ςρατιῶν.

3 H. Steph. adnotat, in vet. cod. pro δῆμον ſcriptum eſſe δήμαρχον, & ὑπὸ pro ἀπὸ.

4 Junt. Ald. Crat. τȣτο.

5 Epit. Livii habet *duplicem numerum*. Cruſer.

6 R. poſt h. v. deeſſe videtur φανερῶς vel ἐξεπίτηδες, *jam palam & ex profeſſo*.

7 cum Tib. Graccho facientes; ut *adverſariorum* appellatio factionem optimatum deſignat. R.

συναρχόντων, εἶλκον τὸν χρόνον. ἔπειτα τὴν ἐκκλησίαν ἀφῆκαν, εἰς τὴν ὑςεραίαν ἀπαντᾷν κελεύσαντες. καὶ πρῶτον μὲν εἰς τὴν ἀγορὰν καταβὰς ὁ Τιβέριος, ἱκέτευε τὰς ἀνθρώπας ταπεινὸς καὶ δεδακρυμένος, ἔπειτα δεδοικέναι φήσας, μὴ νυκτὸς ἐκκόψωσι τὴν οἰκίαν οἱ ἐχθροὶ, καὶ διαφθείρωσιν αὐτὸν, ὅτως τὰς ἀνθρώπας διέθηκεν, ὥςε περὶ τὴν οἰκίαν αὐτᾶ παμπόλλας τινὰς αὐλίσασθαι καὶ διανυκτερεῦσαι παραφυλάττοντας.

XIV. Ἅμα δ' ἡμέρᾳ παρῆν ὁ τὰς ὄρνιθας, αἷς διαμαντεύονται, κομίζων, καὶ προέβαλε [1] τροφὴν αὐταῖς. αἱ δ' ὰ προῆλθον, εἰ μὴ μία μόνη, διασείσαντος εὖ μάλα τᾶ ἀνθρώπα τὸ ἀγγεῖον. ὰδ' αὕτη γε [2] τῆς τροφῆς ἔθιγεν, ἀλλ' ἐπᾶρασα τὴν ἀριςερὰν πτέρυγα, καὶ παρατείνασα τὸ σκέλος, πάλιν εἰς τὸ ἀγγεῖον κατέφυγε. τᾶτο καὶ τᾶ προτέρα σημεία τὸν Τιβέριον ἀνέμνησεν. ἦν γὰρ αὐτῷ κράνος, ᾧ πρὸς τὰς μάχας ἐχρῆτο, κεκοσμημένον ἐκπρεπῶς [3] καὶ διάσημον· εἰς τᾶτο καταδύντες ὄφεις, ἔλαθον ἐντεκόντες ὠὰ, καὶ ταῦτα ἐξεγλύψαντο [4]. διὸ καὶ μᾶλλον ὁ Τιβέριος τοῖς περὶ τὰς ὄρνιθας ἐταράττετο. προῄει [5] δ' ὅμως ἄνω, τὸν δῆμον ἠθροῖσθαι περὶ τὸ Καπετώλιον πυνθανόμενος· καὶ πρὶν ἐξελθεῖν, προσέπταισε πρὸς τὸν ὰδὸν, σφοδρᾶς ὅτω πληγῆς γενομένης, ὥςε τὸν μὲν ὄνυχα τᾶ μεγάλα δακτύλα ῥαγῆναι, τὸ δ' αἷμα διὰ τᾶ ὑποδήματος ἔξω φέρεσθαι. μικρὸν δ' αὐτᾶ προελθόντος, ὤφθησαν

1 SG. προέβαλλε.

2 Sic R. cum B. 5. dedit pro vulg. δὲ. In SG. ab initio scriptum αὐτὴ δὲ, pro δὲ autem postea correctum γε.

3 B. 5. εὐπρεπῶς.

4 Corruptam hanc vocem censet Duf. & scribi vult ἐξέκλεψαν, vel ἐξεκόλαψαν, utpote quae sint voces hujus rei propriae.

5 Sic cum V. & SG. dedit R. probante Duf. pro vulg. προσήει. Per seq. ἄνω innuitur *in Capitolium*, quo populus coierat: alias dicitur in forum descendere. R.

σαν δ' ὑπὲρ κεράμυ μαχόμενοι κόρακες ἐν ἀριςερᾷ· καὶ πολλῶν, ὡς εἰκὸς, ἀνθρώπων παρερχομένων, κατ' αὐτὸν τὸν Τιβέριον λίθος ἀπωσθεὶς ὑπὸ θατέρυ τῶν κοράκων ἔπεσε παρὰ τὸν πόδα. τῦτο καὶ τὺς θρασυτάτυς τῶν περὶ αὐτὸν ἐπέςησεν [1]. ἀλλὰ Βλόσσιος ὁ Κυμαῖος παρὼν, αἰσχύνην ἔφη καὶ κατήφειαν παρεῖναι πολλὴν, εἰ Τιβέριος, Γράκχυ μὲν υἱὸς, Ἀφρικανῦ δὲ Σκιπίωνος θυγατριδῦς, προςάτης δὲ τῦ Ῥωμαίων δήμυ, κόρακα δείσας, ὐχ ὑπακύσειε τοῖς πολίταις καλῦσι· τῦτο μέντοι τὸ αἰσχρὸν ὐκ ἐν γέλωτι θήσεσθαι τὺς ἐχθρὺς, ἀλλ' ὡς τυραννῦντος καὶ τρυφῶντος ἤδη καταβοήσεσθαι πρὸς τὸν δῆμον. ἅμα δὲ καὶ προσέθεον πολλοὶ τῷ Τιβερίῳ παρὰ τῶν ἐν Καπετωλίῳ φίλων, ἐπείγεσθαι κελεύοντες, ὡς τῶν ἐκεῖ καλῶς ἐχόντων. καὶ τά γε πρῶτα λαμπρῶς ἀπήντα τῷ Τιβερίῳ, φανέντι μὲν εὐθὺς ἀραμένων βοὴν φίλιον, ἀναβαίνοντα δὲ προθύμως δεχομένων, καὶ περὶ αὐτὸν ὡς μηδεὶς πελάσειεν ἀγνὼς, πραττομένων [2].

XVIII. Ἀρξαμένυ δὲ πάλιν τῦ Μυκίυ τὰς φυλὰς ἀναγορεύειν, ὐδὲν ἐπεραίνετο τῶν εἰωθότων, διὰ τὸν ἀπὸ τῶν ἐσχάτων θόρυβον, ὠθυμένων καὶ ὠθύντων τὺς ἐναντίυς εἰσβιαζομένυς καὶ ἀναμιγνυμένυς. ἐν δὲ τύτῳ Φλάβιος [3] Φλάκκος, ἀπὸ βυλῆς ἀνὴρ, εἰς [4] ἐμφανὲς καταςὰς, ὡς ὐκ ἦν φθεγγόμενον ἐφικέσθαι, διεσήμηνε τῇ χειρὶ φράσαι τι βυλόμενον αὐτὸν ἰδίᾳ τῷ Τιβερίῳ. καὶ κελεύσαντος ἐκείνυ διασχεῖν τὸ πλῆθος, ἀναβὰς μόλις καὶ προσελθὼν, ἀπήγγειλεν, ὅτι, τῆς βυλῆς συγκαθεζομένης, οἱ πλύσιοι, τὸν ὕπατον μὴ πείθοντες, αὐτοὶ διανοῦνται καθ' αὑτὺς ἀποκτιννύναι τὸν Τιβέριον,

1 V. ἀπέςησεν. Seq. Βλόσσιος scribi voluit Xyl. vertuntque Interpp. & habet Anon. R. dedit pro vulg. Βλάσος.

2 R. susp. προτατομένων, vel παρατατομένων.

3 Anon. Φύλβιος, quod Xyl. sequitur & Dacer.

4 B. 5. ὡς.

ριον, πολλὲς ἐπὶ τέτῳ [1] δέλες καὶ φίλες ὡπλισμένες ἔχοντες.

XIX. Ὡς ὖν ταῦτα τοῖς περὶ αὐτον ἐξήγγειλεν ο Τιβέριος, ὗτοι μὲν εὐθὺς τάς τε τηβέννες περιεζώννυντο, καὶ τὰ τῶν ὑπηρετῶν δόρατα συγκλῶντες, οἷς ἀνείργεσι τὸν ὄχλον, διελάμβανον, ὡς ἀμυνέμενοι τοῖς κλάσμασι τὲς ἐπερχομένες. τῶν δ' ἀπωτέρω θαυμαζόντων τὰ γινόμενα, καὶ πυνθανομένων, ὁ Τιβέριος ἥψατο τῇ χειρὶ τῆς κεφαλῆς, ἐνδεικνύμενος τῇ ὄψει τὸν κίνδυνον, ἐπεὶ τῆς φωνῆς ὐκ ἐπήκεον. οἱ δ' ἐναντίοι τῦτ' ἰδόντες, ἔθεον πρὸς τὴν βελὴν, ἀπαγγέλλοντες αἰτεῖν διάδημα τὸν Τιβέριον· καὶ τέτε [2] σημεῖον εἶναι τὸ τῆς κεφαλῆς ἐπιθιγγάνειν. πάντες μὲν ὖν ἐθορυβήθησαν [3]. ὁ δὲ Νασικᾶς ἠξίε τὸν ὕπατον τῇ πόλει βοηθεῖν, καὶ καταλύειν τὸν τύραννον. ἀποκριναμένε δὲ πρᾴως ἐκείνε, βίας μὲν ὐδεμιᾶς ὑπάρξειν, ὐδ' ἀναιρήσειν ὐδένα τῶν πολιτῶν ἄκριτον, εἰ μέντοι [4] ψηφίσαιτό τι τῶν παρανόμων ὁ δῆμος ὑπὸ τῦ Τιβερίε πεισθεὶς, ἢ βιασθεὶς, τῦτο κύριον μὴ φυλάξειν· ἀναπηδήσας ὁ Νασικᾶς· Ἐπεὶ τοίνυν, ἔφη, προδίδωσιν ὁ ἄρχων τὴν πόλιν, οἱ βελόμενοι τοῖς νόμοις βοηθεῖν ἀκολεθεῖτε. καὶ ταῦτα λέγων ἅμα, καὶ τὸ κράσπεδον τῦ ἱματίε θέμενος ἐπὶ τῆς κεφαλῆς ἐχώρει πρὸς τὸ Καπετώλιον. ἕκαςος δὲ τῶν ἑπομένων αὐτῷ, τῇ χειρὶ τὴν τήβεννον περιελίξας, ὤθει [5] τὲς ἐμποδὼν, ὐδενὸς ἐνιςαμένε πρὸς τὸ ἀξίωμα τῶν ἀνδρῶν, ἀλλὰ φευγόντων καὶ πατέντων ἀλλήλες. οἱ μὲν ὖν περὶ αὐτὲς [6] ῥόπαλα καὶ σκυτάλας

1 SG. ἐπὶ τῦτο.

2 Sic ex conjectura Mosis Duf. dedit R. pro vulg. τῦτο.

3 V. ἐθορύβησαν.

4 Sic B. 5. & SG. deditque R. Dacerio probante & Br. pro vulg. μέν τι.

5 V. B. 5. & SG. ἐώθει.

6 R. monente αὐτὲς redit ad Scipionem, globumque optimatum,

λας ἐκόμιζον οἴκοθεν· αὐτοὶ δὲ τῶν δίφρων, καταγνυμένων ὑπὸ τοῦ φεύγοντος ὄχλου, τὰ κλάσματα καὶ τοὺς πόδας λαμβάνοντες, ἀνέβαινον ἐπὶ τὸν Τιβέριον, ἅμα παίοντες τοὺς προτεταγμένους. καὶ τούτων μὲν ἦν τροπὴ καὶ φόνος· αὐτοῦ δὲ τοῦ Τιβερίου φεύγοντος ἀντελάβετό τις τῶν ἱματίων. ὁ δὲ τὴν τήβεννον ἀφεὶς, καὶ φεύγων ἐν τοῖς χιτῶσιν, ἐσφάλη, καὶ κατηνέχθη περί τινας τῶν πρὸ αὐτοῦ πεπτωκότας. ἀνιστάμενον δ' αὐτὸν ὁ μὲν ἐμφανῶς καὶ πρῶτος εἰς [1] τὴν κεφαλὴν πατάξας ποδὶ δίφρου Πόπλιος ἦν Σατουρήϊος, εἷς τῶν συναρχόντων· τῆς δὲ δευτέρας ἀντεποιεῖτο πληγῆς Λεύκιος Ῥοῦφος, ὡς ἐπὶ καλῷ τινι σεμνυνόμενος. τῶν δ' ἄλλων ἀπέθανον ὑπὲρ τριακοσίους ξύλοις καὶ λίθοις συγκοπέντες, σιδήρῳ δ' οὐδείς.

XX. Ταύτην πρώτην ἱστοροῦσιν ἐν Ῥώμῃ στάσιν, ἀφ' οὗ τὸ βασιλεύεσθαι κατέλυσαν, αἵματι καὶ φόνῳ πολιτῶν διακριθῆναι· τὰς δ' ἄλλας, οὔτε μικρὰς, οὔτε περὶ μικρῶν γενομένας, ἀνθυπείκοντες ἀλλήλοις, φόβῳ μὲν οἱ δυνατοὶ τῶν πολλῶν, αἰδούμενοι δὲ τὴν βουλὴν ὁ δῆμος, ἔπαυον. δοκεῖ [2] δὲ καὶ τότε μὴ χαλεπῶς ἂν ἐνδοῦναι παρηγορηθεὶς ὁ Τιβέριος. ἔτι δὲ ῥᾷον εἶξε [3] δίχα φόνου καὶ τραυμάτων ἐπιοῦσιν· οὐ γὰρ πλείονες, ἢ τρισχίλιοι, περὶ αὐτὸν ἦσαν. ἀλλ' ἔοικεν ὀργῇ τῶν πλουσίων, καὶ μίσει, πλέον, ἢ δι' ἃς ἐσκήπτοντο, προφάσεις, ἡ σύστασις ἐπ' αὐτὸν γενέσθαι· καὶ τούτου μέγα τεκμήριον, ὠμῶς καὶ παρανόμως ὑβρισθεὶς ὁ νεκρός. οὐ γὰρ ἐπέτρεψαν ἀνελέσθαι τὸ σῶμα τῷ ἀδελφῷ δεομένῳ, καὶ

timatum, e curia cum ipso proruentem; οἱ περὶ αὐτοὺς sunt plebeji servique ipsis addicti; αὐτοὶ δὲ lin. seq. iterum sunt Scipio cum amicis.

1 V. ἐπί. SG. lin. seq. Σατυρήϊος pro Σατουρ.

2 Sic R. de suo dedit pro vulg. ἐδόκει.

3 Br. susp. εἶξαι, quod SG. habet, & Dus. probat. Hic idem susp. pro ἔτι δὲ ῥᾷον scriptum fuisse ἢ ἀριθμῷ ἡττηθείς. R. εἶξε bene habere censet. Pro φόνου V. φόβου.

καὶ θάψαι νυκτὸς, ἀλλὰ μετὰ τῶν ἄλλων νεκρῶν εἰς τὸν ποταμὸν ἔῤῥιψαν. καὶ τοῦτο πέρας οὐκ ἦν, ἀλλὰ καὶ τῶν Φίλων αὐτοῦ τοὺς μὲν ἐξεκήρυττον ἀκρίτους, τοὺς δὲ συλλαμβάνοντες ἀπεκτίννυσαν. ἐν οἷς καὶ Διοφάνης, ὁ ῥήτωρ, ἀπώλετο. Γάϊον δέ τινα Βίλλιον [1] εἰς ἀγγεῖον καθείρξαντες, καὶ συνεμβαλόντες ἐχίδνας καὶ δράκοντας, οὕτω διέφθειραν. ὁ δὲ Κυμαῖος Βλόσσιος ἀνήχθη μὲν ἐπὶ τοὺς ὑπάτους, ἐρωτώμενος δὲ περὶ τῶν γεγονότων, ὡμολόγει πεποιηκέναι πάντα, Τιβερίου κελεύοντος. εἰπόντος δὲ τοῦ Νασικᾶ [2] πρὸς αὐτόν· Τί οὖν, εἴ σε Τιβέριος ἐκέλευσεν [3] ἐμπρῆσαι τὸ Καπετώλιον; τὸ μὲν πρῶτον ἀντέλεγεν, ὡς οὐκ ἂν τοῦτο Τιβερίου κελεύσαντος [4]· πολλάκις δὲ καὶ πολλῶν τὸ αὐτὸ πυνθανομένων, ἀλλ' ἐκείνου γε προστάσσοντος, ἔφη, καλῶς κἀμοὶ τοῦτο πρᾶξαι ἔχειν [5]. οὐ γὰρ ἂν Τιβέριος τοῦτο προσέταξεν, εἰ μὴ τῷ δήμῳ συνέφερεν. οὗτος μὲν οὖν [6] διαφυγὼν, ὕστερον ᾤχετο πρὸς Ἀριστόνικον εἰς Ἀσίαν· καὶ τῶν ἐκείνου πραγμάτων διαφθαρέντων, ἑαυτὸν ἀνεῖλεν.

XXI. Ἡ δὲ βουλὴ, θεραπεύουσα τὸν δῆμον ἐκ τῶν παρόντων, οὔτε πρὸς τὴν διανομὴν ἔτι τῆς χώρας ἠναντιοῦτο, καὶ Τίτον [7] ἀντὶ τοῦ Τιβερίου προὔθηκε τοῖς πολλοῖς ὁριστὴν ἑλέσθαι. λαβόντες δὲ τὰς ψήφους, εἵλοντο Πόπλιον Κράσσον, οἰκεῖον ὄντα Γράκχῳ. θυγάτηρ γὰρ αὐτοῦ, Λικιννία, Γαΐῳ Γράκχῳ συνῴκει. καίτοι Νέ-



1 Supplem. Liv. recte *Villium* ſcribunt, male Interpp. omnes *Billium*. Duſ.

2 Cicero & Valer. Max. haec verba Laelio tribuunt. Cruſer.

3 Sic extat in omnibus edd. & reſtituere haud dubitavi pro ἐκέλευεν, quod ſola Br. quam R. ſequitur, habet.

4 Moſ. Duſ. ſcribi vult κελεύσοντος. R. tuetur vulgatam.

5 Steph. reponi voluit εἶχεν, vel ἔχοι. Anon. εἶχεν. Si ſervatur ἔχειν, R. monente, neceſſe eſt δοκεῖ addi. SG. verba ſic ordinat: ἔφη, κἀμοὶ τοῦτο πρᾶξαι καλῶς ἔχειν.

6 R. ſuſp. οὗτος μὲν οὖν τότε.

7 Anon. ἕτερον. Br. τρίτον fuiſſe ſcriptum cenſet. Xyl. ſcribi vult καί τινα ἀντὶ. — A SG. Τίτον plane abeſt.

πως ὁ Κορνήλιος Φησὶν, ȣ̓ Κράσσȣ, Βρȣ́τȣ δὲ τȣ͂ θριαμβεύσαντος ἀπὸ Λυσιτανῶν, θυγατέρα γῆμαι Γάϊον. ἀλλ᾽ οἱ πλείȣς [1], ὡς ἡμεῖς γράφομεν, ἱςορȣ͂σιν. ἐπεὶ δὲ χαλεπῶς μὲν ὁ δῆμος εἶχε τῷ θανάτῳ τȣ͂ Τιβερίȣ, καὶ Φανερὸς ἦν ἀμύνης περιμένων καιρὸν, ἤδη δὲ καὶ δίκαι τῷ Νασικᾷ προσανεσείοντο, δείσασα περὶ τȣ͂ ἀνδρὸς ἡ βȣλὴ, ψηφίζεται μηδὲν δεομένη, πέμπειν αὐτὸν εἰς Ἀσίαν. ȣ̓ γὰρ ἀπεκρύπτοντο κατὰ τὰς ἀπαντήσεις οἱ ἄνθρωποι τὴν δυσμένειαν, ἀλλ᾽ ἐξηγριαίνοντο, καὶ κατεβόων, ὅπȣ προστύχοιεν, ἐναγῆ καὶ τύραννον καὶ μεμιαγκότα Φόνῳ σώματος ἀσύλȣ καὶ ἱερȣ͂ τὸ ἁγιώτατον καὶ Φρικωδέςατον ἐν τῇ πόλει τῶν ἱερῶν ἀποκαλȣ͂ντες. ȣ̔́τω μὲν ȣ͂ν [2] ὑπεξῆλθε τῆς Ἰταλίας ὁ Νασικᾶς, καίπερ ἐνδεδεμένος [3] ταῖς μεγίςαις ἱερȣργίαις. ἦν γὰρ ὁ μέγιςος καὶ πρῶτος τῶν ἱερέων. ἔξω δ᾽ ἀλύων καὶ πλανώμενος ἄλλως [4], ȣ̓ μετὰ πολὺν χρόνον κατέςρεψε περὶ Πέργαμον. ȣ̓ δεῖ δὲ θαυμάζειν, εἰ Νασικᾶν μεμίσηκεν ȣ̔́τως ὁ δῆμος, ὅπȣ καὶ Σκιπίων ὁ Ἀφρικανὸς, ὃν δοκȣ͂σι Ῥωμαῖοι μηδένα δικαιότερον, μηδὲ μᾶλλον, αγαπῆσαι, παρὰ μικρὸν ἦλθεν ἐκπεσεῖν καὶ ςέρεσθαι τῆς πρὸς τὸν δῆμον εὐνοίας, ὅτι πρῶτον μὲν [5] ἐν Νομαντίᾳ τὴν τελευτὴν τȣ͂ Τιβερίȣ πυθόμενος, ἀνεφώνησεν ἐκ τῶν Ὁμηρικῶν·

Ὡς ἀπόλοιτο καὶ ἄλλος, ὅ τις τοιαῦτά γε ῥέζοι [6].

ἔπειτα τῶν περὶ Γάϊον καὶ Φȣ́λβιον [7] αὐτȣ͂ δι᾽ ἐκκλη-

1 B. 5. πλείονες. Pro seq. ἱςορȣ͂σιν V. ἱςορήκασιν.

2 Sic cum V. & B. 5. R. dedit. Vulgo deest ȣ͂ν.

3 Sic cum V. & B. 5. Br. dedit pro ἐνδεδυμένος, quod in prioribus edd. legitur.

4 Teste H. Steph. etiam legitur ἀδόξως. Sic V. & SG.

5 abest μὲν a B. 5.

6 Hom. Odyss. l. I. v. 47. Pro ὅ τις SG. Junt. Ald. Crat. ὅς τις.

7 SG. Φȣ́λιον. A Carbone, trib. pl. hoc factum scribit Vellej. Paterc. & Val. Max. l. 6. c. 2. Xyl.

κλησίας πυνθανομένων, τί Φρονοίη περὶ τῆς Τιβερίȣ τελευτῆς, ἐκ ἀρεσκομένην [1] τοῖς ὑπ' ἐκείνȣ πεπολιτευμένοις ἀπόκρισιν ἔδωκεν. ἐκ τȣ́τȣ γὰρ ὁ μὲν δῆμος ἀντέκρȣσεν αὐτῷ λέγοντι, μηδέπω τȣτὶ ποιήσας πρότερον· αὐτὸς δὲ τὸν δῆμον εἰπεῖν κακῶς προήχθη. περὶ μὲν ȣ̃ν [2] τȣ́των ἐν τῷ Σκιπίωνος βίῳ τὰ καθ' ἕκαστα γέγραπται.

## Γ. ΓΡΑΚΧΟΣ.

Γάϊος δὲ Γράκχος, ἐν ἀρχῇ μὲν, ἢ δεδιὼς τȣ̀ς ἐχθρȣ̀ς, ἢ Φθόνον συνάγων ἐπ' αὐτȣ̀ς, ὑπεξέση τε τῆς ἀγορᾶς, καὶ καθ' ἑαυτὸν ἡσυχίαν ἔχων διέτριβεν, ὡς ἂν τις ἔν τε τῷ παρόντι ταπεινὰ πράττων, καὶ τὸ λοιπὸν ȣ̔́τως ἀπραγμόνως βιωσόμενος· ὥστε καὶ λόγον τισὶ κατ' αὐτȣ̃ παραχεῖν, ὡς δυσχεραίνοντος καὶ προβεβλημένȣ τὴν τȣ̃ Τιβερίȣ πολιτείαν. ἦν δὲ καὶ μειράκιον παντάπασιν. ἐννέα γὰρ ἐνιαυτοῖς ἐλείπετο τἀδελφȣ̃ καθ' ἡλικίαν· ἐκεῖνος δ' ȣ̓́πω τριάκοντα γεγονὼς ἀπέθανεν. ἐπεὶ δὲ [3], προϊόντος τȣ̃ χρόνȣ, τόν τε τρόπον ἡσυχῆ διέΦαινεν, ἀργίας καὶ μαλακίας καὶ πότων καὶ χρηματισμῶν ἀλλότριον ὄντα, καὶ τὸν λόγον, ὥσπερ ὠκύπτερα, κατασκευαζόμενος ἐπὶ τὴν πολιτείαν, δῆλος ἦν ȣ̓κ ἠρεμήσων, δίκην τε τινὶ τῶν Φίλων Φεύγοντι, Βεττίῳ, συνειπὼν, τȣ̃ δήμȣ [4] συνενθȣσιῶντος ὑΦ' ἡδονῆς καὶ βακχεύοντος περὶ αὐτὸν, ἀπέδειξε τȣ̀ς ἄλλȣς ῥήτορας παίδων μηδὲν διαΦέροντας· εἰς Φόβον αὖθις οἱ δυνατοὶ καθίσαντο, καὶ πολὺς ἦν ἐν αὐτοῖς λόγος,



1 R. susp. ȣ̓κ ἀρέσκομαι, haud acquiesco, mihi non arrident *Tiberii in rep. instituta & gesta.*

2 abest ȣ̃ν a SG.

3 Apodosin incipere a vocibus *εἰς Φόβον αὖθις*, l. pen. hujus pag., adnotat R.

4 Sic R. restituit e Junt. omisso *καὶ*, quod vulgo ante τȣ̃ δήμȣ extat secundum Ald. Idem *καὶ* abest quoque a B. 5. & SG. Pro seq. *βακχεύοντος* V. & SG. *βάκχȣ ὄντος*.

γος, ὅπως ἐκ ἐάσωσιν [1] ἐπὶ δημαρχίαν τὸν Γάϊον προελθεῖν. συντυγχάνει [2] δ' ἀπὸ ταυτομάτε λαχεῖν αὐτῷ εἰς Σαρδὼ ταμίαν Ὀρέσῃ, τῷ ὑπάτῳ, καὶ τἔτο τοῖς μὲν ἐχθροῖς καθ' ἡδονὴν ἐγεγόνει, τὸν δὲ Γάϊον ἐκ ἐλύπησεν. ἅτε γὰρ ὢν πολεμικὸς, καὶ χεῖρον ἐδὲν πρὸς ϛρατείας ἠϛκημένος, ἢ δίκας, ἔτι δὲ τὴν πολιτείαν καὶ τὸ βῆμα φρίττων, ἀντέχειν δὲ καλἕντι τῷ δήμῳ καὶ τοῖς φίλοις ἐ δυνάμενος, παντάπασι τὴν ἀποδημίαν ἐκείνην ἠγάπησε. καίτοι κρατεῖ δόξα πολλὴ, τἕτον ἄκρατον γενέσθαι δημαγωγὸν, καὶ πολὺ τἕ Τιβερίε λαμπρότερον πρὸς τὴν ἀπὸ τῶν ὄχλων δόξαν. ἐκ ἔχει δ' ἕτω τὸ ἀληθές· ἀλλ' ἔοικεν ὑπ' ἀνάγκης τινὸς μᾶλλον ἕτος, ἢ προαιρέσεως, ἐμπεσεῖν εἰς τὴν πολιτείαν. ἱϛορεῖ δὲ καὶ Κικέρων, ὁ ῥήτωρ, ὡς ἄρα φεύγοντι πᾶσαν ἀρχὴν τῷ Γαΐῳ, καὶ μεθ' ἡσυχίας ᾑρημένῳ ζῆν, ὁ ἀδελφὸς ὄναρ φανεὶς, καὶ προσαγορεύσας· Τί δῆτα, φαίη, Γαϊε, βραδύνεις; ἐκ ἔϛιν ἀπόδρασις, ἀλλ' εἷς μὲν ἡμῖν ἀμφοτέροις βίος, εἷς δὲ θάνατος, ὑπὲρ τἕ δήμε πολιτευομένοις [3] πέπρωται.

II. Γενόμενος γἕν [4] ὁ Γάϊος ἐν Σαρδόνι, πᾶσαν ἀρετῆς ἀπόδειξιν ἐδίδε, καὶ πολὺ πάντων διέφερε τῶν νέων ἐν τοῖς πρὸς τὲς πολεμίες ἀγῶσι, καὶ ἐν τοῖς πρὸς τὲς ὑπηκόες δικαίοις, καὶ ἐν τῇ πρὸς τὸν ϛρατηγὸν εὐνοίᾳ καὶ τιμῇ. σωφροσύνῃ δὲ καὶ λιτότητι καὶ φιλοπονίᾳ παρήλλαττε καὶ τὲς πρεσβυτέρες. ἰϛχυρἕ δὲ καὶ νοσώδες ἅμα χειμῶνος ἐν Σαρδόνι γενομένε, καὶ τἕ ϛρατηγἕ τὰς πόλεις ἐσθῆτα τοῖς ϛρατιώταις αἰτἕντος,

1 SG. ὡς ἐκ ἐάσεσιν.

2 V. τυγχάνει. Cf. de hac Gracchi quaeſtura Gellius, l. XV. c. 12.

3 B. 5. πεπολιτευμένοις.

4 B. 5. & SG. ἕν, quod Duſ. probat. R. judice, poteſt hactenus recte habere videri, ſi referatur ad cap. praemiſſi ἠγάπησε, cum eoque arcte connectatur, tanquam ſi nihil aliud interjectum ſit.

τος, ἔπεμψαν εἰς Ῥώμην παραιτούμενοι. δεξαμένης δὲ τῆς βουλῆς τὴν παραίτησιν αὐτῶν, καὶ τὸν στρατηγὸν ἄλλοθεν ἀμφιέζειν τοὺς στρατιώτας κελευούσης· ἀποροῦντός τ' [1] ἐκείνου, καὶ τῶν στρατιωτῶν κακοπαθούντων, ἐπελθὼν τὰς πόλεις ὁ Γάϊος, αὐτοὺς ἀφ' ἑαυτῶν ἐποίησεν [2] ἐσθῆτα πέμψαι, καὶ βοηθῆσαι τοῖς Ῥωμαίοις. ταῦτα πάλιν εἰς Ῥώμην ἀπαγγελλόμενα, καὶ δοκοῦντα δημαγωγίας προάγωνες εἶναι, διετάραττε τὴν βουλήν. καὶ πρῶτον μὲν ἐκ Λιβύης παρὰ Μικιψᾶ, τοῦ βασιλέως, πρέσβεις παραγενομένους, καὶ λέγοντας, ὡς ὁ βασιλεὺς χάριτι Γαΐου Γράκχου πέμψειεν [3] εἰς Σαρδόνα σῖτον τῷ στρατηγῷ, δυσχεραίνοντες ἐξέβαλον· ἔπειτα δόγμα ποιοῦνται, τοῖς μὲν στρατιώταις διαδοχὴν ἀποσταλῆναι, τὸν δ' Ὀρέστην ἐπιμένειν, ὡς δὴ καὶ τοῦ Γαΐου διὰ τὴν ἀρχὴν παραμενοῦντος. ὁ δὲ, τούτων αὐτῷ [4] προσπεσόντων, εὐθὺς ἐξέπλευσε πρὸς ὀργὴν, καὶ φανεὶς ἐν Ῥώμῃ παρ' ἐλπίδας, οὐ μόνον ὑπὸ τῶν ἐχθρῶν αἰτίαν εἶχεν, ἀλλὰ καὶ τοῖς πολλοῖς ἀλλόκοτον ἐδόκει, τὸ ταμίαν ὄντα προαποστῆναι τοῦ ἄρχοντος. οὐ μὴν ἀλλὰ κατηγορίας αὐτῷ γενομένης ἐπὶ τῶν τιμητῶν, αἰτησάμενος λόγον, οὕτω μετέστησε τὰς γνώμας τῶν ἀκουσάντων, ὥστ' ἀπελθεῖν ἠδικῆσθαι τὰ μέγιστα δόξας. ἐστρατεῦσθαι μὲν γὰρ ἔφη δώδεκα ἔτη, τῶν ἄλλων δέκα στρατευομένων ἐν ἀνάγκαις [5]· ταμιεύων δὲ τῷ στρατηγῷ παραμεμενηκέναι τριετίαν [6], τοῦ νόμου μετ' ἐνιαυτὸν ἐπανελθεῖν διδόντος. μόνος δὲ τῶν στρατευσαμένων πλῆρες τὸ βαλλάντιον εἰσενηνοχὼς κενὸν ἐξενηνοχέναι [7], τοὺς δ' ἄλλους ἐκπιόντας ὃν εἰσήνεγκαν



1 Sic R. de suo dedit pro vulg. δὲ. ἐκείνου ad Orestem redit.

2 R. mavult ἔπεισεν.

3 B. 5. πέμψαι.

4 V. αὐτῶν, αὐτόν.

5 Anon. ἐξ ἀνάγκης, quod Duf. probat.

6 Anon. διετίαν, quod firmat Gell. l. XV. c. 12. & Xyl. legendum putat.

7 Zonam rursus ex Insula in urbem retulisse inanem, quam

οἶνον, ἀργυρίου καὶ χρυσίου μεστοὺς δεῦρο τοὺς ἀμφορεῖς ἥκειν κομίζοντας.

III. Ἐκ τούτου πάλιν ἄλλας αἰτίας αὐτῷ καὶ δίκας ἐπῆγον, ὡς τοὺς συμμάχους ἀφιστάντι [1] καὶ κεκοινωνηκότι τῆς περὶ Φρέγελλαν ἐνδειχθείσης συνωμοσίας. ὁ δὲ πᾶσαν ὑποψίαν ἀπολυσάμενος, καὶ φανεὶς καθαρος, εὐθὺς ἐπὶ δημαρχίαν ὥρμησε, τῶν μὲν γνωρίμων ἀνδρῶν ὁμαλῶς ἁπάντων ἐναντιουμένων πρὸς αὐτὸν, ὄχλου δὲ τοσούτου συῤῥέοντος εἰς τὴν πόλιν ἐκ τῆς Ἰταλίας, καὶ συναρχαιρεσιάζοντος, ὡς πολλοῖς μὲν οἰκήσεις ἐπιλιπεῖν· τοῦ δὲ πεδίου μὴ δεξαμένου τὸ πλῆθος, ἀπὸ τῶν τεγῶν καὶ καὶ τῶν κεράμων τὰς φωνὰς συνηχεῖν. τοσοῦτον δ᾽ οὖν ἐξεβιάσαντο τὸν δῆμον οἱ δυνατοὶ, καὶ τῆς ἐλπίδος τοῦ Γαΐου καθεῖλον, ὅσον οὐχ, ὡς προσεδόκησε, πρῶτον, ἀλλὰ τέταρτον, ἀναγορευθῆναι. παραλαβὼν δὲ τὴν ἀρχὴν, εὐθὺς ἦν ἁπάντων πρῶτος, ἰσχύων τε τῷ λέγειν, ὡς ἄλλος οὐδεὶς, καὶ τοῦ πάθους αὐτῷ παῤῥησίαν πολλὴν διδόντος ἀνακλαιομένῳ τὸν ἀδελφόν. ἐνταῦθα γὰρ ἐξ ἁπάσης προφάσεως περιῆγε τὸν δῆμον, ἀναμιμνήσκων τῶν γεγονότων, καὶ παρατιθεὶς τὰ τῶν προγόνων, ὡς ἐκεῖνοι μὲν καὶ Φαλίσκοις ἐπολέμησαν ὑπὲρ Γενυκίου [2] τινὸς, δημάρχου, λοιδορηθέντος, καὶ Γαΐου Βουτουρίου [3] θάνατον

in Insulam retulerit plenam. Textum in Steph. corrupte datum, sic restituit R. ex Junt. Ald. Crat. B. 5. & SG. Vulgo extat τὸ βαλλ. εἰσενηνοχέναι. Ex Anon. enotatur in ind. Frft. „Supple νηνοχῶς, κενὸν ἔξενη μόνος. Cui adnotat lect. var. collector: quae tamen, ut de voce penultima accentum perperam in antepenultima notatum habente, nihil dicam, quid sibi volunt?"

1 V. B. 5. ἀφιστῶντι.

2 Sic & in SG. a manu prima scriptum, ab altera correctum Γενακίου

3 B. 5. Βετουρίου. Eandem dare vocem Anonymum, est in nota R. & in ind. var. Br. — At in Frft. Βεπτουρίου, adjectis hisce: nam & pro Βουτουρίου legit Βουπτουρίου. Cruser. facit *Vulturium*,

νατον κατέγνωσαν, ὅτι δημάρχῳ πορευομένῳ δι' ἀγορᾶς ἐχ ὑπεξέςη μόνος· Ὑμῶν δ' ὁρώντων, ἔφη, Τιβέριον ξύλοις συνέκοπτον ἐτοι, καὶ διὰ μέσης τῆς πόλεως ἐσύρετο νεκρὸς ἐκ Καπετωλίε, ῥιφησόμενος εἰς τὸν ποταμόν· οἱ δ' ἁλισκόμενοι τῶν φίλων ἀπέθνησκον ἄκριτοι. καίτοι πάτριόν ἐςιν ἡμῖν, εἴ τις ἔχων δίκην θανατικὴν μὴ ὑπακέη [1], τέτε πρὸς τὰς θύρας ἕωθεν ἐλθόντα σαλπιγκτὴν, ἀνακαλεῖσθαι τῇ σάλπιγγι, καὶ μὴ πρότερον ἐπιφέρειν ψῆφον αὐτῷ τὲς δικαςάς. ἕτως εὐλαβεῖς καὶ πεφυλαγμένοι περὶ τὰς κρίσεις ἦσαν.

IV. Τοιέτοις λόγοις προανασείσας τὸν δῆμον (ἦν δὲ καὶ μεγαλοφωνότατος καὶ ῥωμαλεώτατος ἐν τῷ λέγειν) δύο νόμες εἰσέφερε, τὸν μὲν, εἴ τινος ἄρχοντος ἀφῄρητο τὴν ἀρχὴν ὁ δῆμος, ἐκ ἐῶντα τέτῳ δευτέρας ἀρχῆς μετεσίαν εἶναι· τὸν δ', εἴ τις ἄρχων ἄκριτον ἐκκεκηρύχοι πολίτην, κατὰ τέτε κρίσιν διδόντα [2] τῷ δήμῳ. τέτων τῶν νόμων ἄντικρυς ὁ μὲν Μάρκον Ὀκτάβιον ἠτίμε, τὸν ὑπὸ Τιβερίε τῆς δημαρχίας ἐκπεσόντα· τῷ δ' ἐνείχετο Ποπίλλιος. ἕτος γὰρ ςρατηγῶν τὲς [3] Τιβερίε φίλες ἐξεκήρυξε. καὶ Ποπίλλιος μὲν ἐχ ὑποςὰς τὴν κρίσιν, ἔφυγεν ἐξ Ἰταλίας· τὸν δ' ἕτερον νόμον Γάϊος αὐτὸς ἐπανείλετο [4], φήσας, τῇ μητρὶ Κορνηλίᾳ δεηθείσῃ χαρίζεσθαι τὸν Ὀκτάβιον. καὶ ὁ δῆμος ἠγάσθη καὶ συνεχώρησε, τιμῶν τὴν Κορνηλίαν ἐδὲν ἧττον ἀπὸ τῶν παίδων, ἢ τε πατρός. ἧς γε [5] χαλκῆν εἰκόνα

 ςήσας

*rium*, Br. judice, prave. In SG. est Βετερίε. Xyl. *C. Biturium* vertit.

1 Sic R. de suo dedit pro vulg. ὑπακέει.

2 V. & B. 5. δίκην pro κρίσιν. SG. κατ' αὐτε διδόντα κρίσιν.

3 SG. τὲς τε Τ.

4 Fraudi fuisse hanc vocem omnibus Interpp. qui *antiquare* vertunt, cum *mittere* tantum significet, adnotat Duf.

5 V. & B. 5. ἧς γε καὶ, quod Duf. elegantius & verius censet.

ςήσας ὕςερον, ἐπέγραψε Κορνηλίαν, μητέρα Γράκχων. ἀπομνημονεύεται δὲ καὶ τȣ̃ Γαΐȣ πολλὰ ῥητορικῶς καὶ ἀγοραίως ὑπὲρ αὐτῆς εἰρημένα πρός τινα τῶν ἐχθρῶν· Σὺ γὰρ, ἔφη, Κορνηλίαν λοιδορεῖς, τὴν Τιβέριον τεκȣ̃σαν; ἐπεὶ δὲ διαβεβλημένος ἦν εἰς μαλακίαν ὁ λοιδορηθείς· Τίνα δ᾽, εἶπεν, ἔχων παῤῥησίαν, συγκρίνεις Κορνηλίαν σεαυτῷ [1]; ἔτεκες γὰρ, ὡς ἐκείνη; καὶ μὴν πάντες ἴσασι Ῥωμαῖοι, πλείω χρόνον ἐκείνην ἀπ᾽ ἀνδρὸς ȣ̃σαν, ἤ σε, τὸν ἄνδρα. Τοιαύτη μὲν ἡ πικρία τῶν λόγων ἦν αὐτȣ̃, καὶ πολλὰ λαβεῖν ἐκ τῶν γεγραμμένων ἐςὶν ὅμοια.

V. Τῶν δὲ νόμων, ȣ̃ς εἰσέφερε, τῷ δήμῳ χαριζόμενος, καὶ καταλύων τὴν σύγκλητον, ὁ μὲν ἦν κληρȣχικὸς, ἅμα νέμων [2] τοῖς πένησι τὴν δημοσίαν· ὁ δὲ ςρατιωτικὸς, ἐσθῆτά τε κελεύων δημοσίᾳ [3] χορηγεῖσθαι, καὶ μηδὲν εἰς τȣ̃το τῆς μισθοφορᾶς ὑφαιρεῖσθαι τῶν ςρατευομένων, καὶ νεώτερον ἑπτὰ ἐτῶν καὶ δέκα μὴ καταλέγεσθαι ςρατιώτην· ὁ δὲ συμμαχικὸς ἰσοψήφȣς ποιῶν τοῖς πολίταις τȣ̀ς Ἰταλιώτας· ὁ δὲ σιτικὸς ἐπευωνίζων τοῖς πένησι τὴν ἀγοράν· ὁ δὲ δικαςικὸς, ᾧ τὸ πλεῖςον ἀπέκοψε [4] τῆς τῶν συγκλητικῶν δυνάμεως. μόνοι γὰρ ἔκρινον τὰς δίκας, καὶ διὰ τȣ̃το φοβεροὶ τῷ δήμῳ καὶ τοῖς ἱππεῦσιν ἦσαν· ὁ δὲ τριακοσίȣς [5] τῶν ἱππέων προσκατ-

1 V. B. 5. & SG. Κορνηλία σεαυτὸν, quod Duf. probat.

2 Duf. fufp. ἀναν(έ)μων pro ἅμα ν. R. judice, fententia poftulat χώραν, aut ἀνάδαςον νέμων.

3 SG. δημοσίαν. Id. paulo poft ἐτῶν ἑπτακαίδεκα.

4 B. 5. ἐξέκοψε. Pro feq. ἔκρινον SG. Junt. Ald. Crat. ἔκριναν; & pro τῷ δήμῳ SG. τῷ τε δήμῳ.

5 Rualdus ad hunc locum obfervat, longe falli Plutarchum, qui referat, C. Gracchum judicia aequaliter inter Senatores & Equites partitum effe; Gracchana lege totum fuiffe munus judicandi folius ordinis equeftris; nec hunc illud cum Senatu commune habuiffe, nifi ferme triginta poft necem C. Gracchi annis, auftore M. Livio Drufo. Profert teftimonia ex Vellej. Paterc.

κατέλεξεν αὐτοῖς, ἔσι τριακοσίοις, καὶ τὰς κρίσεις κοινὰς τῶν ἑξακοσίων ἐποίησε. τἕτον τὸν νόμον εἰσφέρων, τά τ' ἄλλα λέγεται σπεδάσαι διαφερόντως, καὶ τῶν πρὸ αὐτἕ πάντων δημαγωγῶν πρὸς τὴν [1] σύγκλητον ἀφορώντων καὶ τὸ καλέμενον κομίτιον, πρῶτον τότε ςραφεὶς ἔξω πρὸς τὴν ἀγορὰν δημηγορῆσαι, καὶ τὸ λοιπὸν ἕτω ποιεῖν ἐξ ἐκείνε, μικρᾶ παρεγκλίσει καὶ μεταθέσει σχήματος μέγα πρᾶγμα κινήσας, καὶ μετενεγκὼν τρόπον τινὰ τὴν πολιτείαν ἐκ τῆς ἀριςοκρατίας εἰς τὴν δημοκρατίαν· ὡς τῶν πολλῶν δέον, ἐ τῆς βελῆς, ςοχάζεσθαι τὰς λέγοντας.

VI. Ἐπεὶ δ' ἐ μόνον ἐδέξατο τὸν νόμον τἕτον ὁ δῆμος, ἀλλὰ κἀκείνῳ τὲς κρίνοντας ἐκ τῶν ἱππέων ἔδωκε καταλέξαι, μοναρχική τις ἰσχὺς ἐγεγόνει περὶ αὐτόν· ὥςε καὶ τὴν σύγκλητον ἀνέχεσθαι συμβελεύοντος αὐτἕ. συνεβέλευε δ' ἀεί τι τῶν ἐκείνῃ πρεπόντων εἰσηγέμενος· οἷον ἦν καὶ τὸ περὶ τἕ σίτε δόγμα μετριώτατον καὶ κάλλιςον, ὃν ἔπεμψε μὲν ἐξ Ἰβηρίας Φάβιος ἀντιςράτηγος· ἐκεῖνος δ' ἔπεισε τὴν βελὴν ἀποδομένην τὸν σῖτον, ἀναπέμψαι ταῖς πόλεσι τὸ ἀργύριον, καὶ προσεπαιτιάσασθαι τὸν Φάβιον, ὡς ἐπαχθῆ καὶ ἀφόρητον ποιἕντα τὴν ἀρχὴν τοῖς ἀνθρώποις. ἐφ' ᾧ μεγάλην ἔσχε δόξαν μετ' εὐνοίας ἐν ταῖς ἐπαρχίαις. ἔγραψε δὲ καὶ πόλεις ἀποικίδας ἐκπέμπεσθαι, καὶ τὰς ὁδὲς ποιεῖσθαι, καὶ κατασκευάζεσθαι σιτοβόλια. τἕτοις ἅπασι πραττομένοις αὐτὸν ἄρχοντα καὶ διοικητὴν ἐφιςὰς [2], καὶ πρὸς μηδὲν ἀποτρυόμενος τῶν τοσἕτων καὶ τηλικἕτων, ἀλλὰ καὶ θαυμαςῷ τινι τάχει καὶ πόνῳ [3], τῶν γινομένων, ὡς μό-

Paterc. Hiſt. l. II. c. 6, 13, 32. Plin. H. N. l. 33, c. 2. Appian. I. de B. civ. Flor. l. 3, c. 17. & Varrone.

1 Junt. εἰς πρὸς τὴν σ. Seq. lin. SG. πρῶτος pro πρῶτον.

2 V. ὑφιςὰς; Pro ſeq. μηδὲν SG. ἐδὲν; in eodem ſyllabae τρυ in voce ἀποτρυόμενος ſuperſcriptum eſt κρε; B. 5. ἀποτρυόμενος.

3 R. ſuſp. ἀπόνως.

μόνον, ἕκαστον ἐξεργαζόμενος· ὥστε καὶ τοὺς πάνυ μισοῦντας αὐτὸν καὶ δεδοικότας ἐκπλήττεσθαι τὸ διὰ πάντων ἀνύσιμον καὶ τελεσιουργόν. οἱ δὲ πολλοὶ καὶ τὴν ὄψιν αὐτὴν ἐθαύμαζον, ἐξηρτημένον ὁρῶντες αὐτοῦ πλῆθος ἐργολάβων, τεχνιτῶν, πρεσβευτῶν, ἀρχόντων, στρατιωτῶν, φιλολόγων· οἷς πᾶσιν ἐντυγχάνων μετ' εὐκολίας, καὶ τὸ σεμνὸν ἐν τῷ φιλανθρώπῳ διαφυλάττων, καὶ νέμων αὐτοῦ τὸ ἁρμόττον οἰκείως ἑκάστῳ, χαλεποὺς ἀπεδείκνυε συκοφάντας, τοὺς φοβερὸν αὐτὸν, ἢ φορτικὸν ὅλως, ἢ βίαιον, ἀποκαλοῦντας. οὕτω δεινότερος ἦν ἐν ταῖς ὁμιλίαις καὶ ταῖς πράξεσιν, ἢ τοῖς ἀπὸ τοῦ βήματος λόγοις δημαγωγός.

VII. Ἐσπούδασε δὲ μάλιστα περὶ τὴν ὁδοποιΐαν, τῆς τε χρείας ἅμα καὶ τοῦ πρὸς χάριν καὶ κάλλος ἐπιμεληθείς. εὐθεῖαι γὰρ ἤγοντο διὰ τῶν χωρίων ἀτρεμεῖς [1]· καὶ τὸ μὲν ἐσόρνυτο πέτρᾳ ξεστῇ, τὸ δ' ἄμμου χώμασι συνακτοῖς [2] ἐπυκνοῦτο. πιμπλαμένων δὲ τῶν κοίλων, καὶ ζευγνυμένων γεφύραις [3], ὅσα χείμαῤῥοι διέκοπτον, ἢ φάραγγες, ὕψος δὲ [4] τῶν ἑκατέρωθεν ἴσον καὶ παράλληλον λαμβανόντων, ὁμαλὴν καὶ καλὴν ὄψιν εἶχε διόλου τὸ ἔργον. πρὸς δὲ τούτοις διαμετρήσας κατὰ μίλιον ὁδὸν πᾶσαν (τὸ δὲ μίλιον ὀκτὼ σταδίων ὀλίγον ἀποδεῖ) κίονας λιθίνους σημεῖα τοῦ μέτρου κατέστησεν. ἄλλους δὲ λίθους ἔλαττον ἀπέχοντας ἀλλήλων ἑκα-

1 Minus commoda haec vox Br. & Mosi Duſ. videtur. Ille mavult *ἀσραβεῖς*, hic *ἀτραποί*. R. judice, *ἀτρεμεῖς* recte habere videtur: *nusquam titubantes*, *immobiles*, *rigide procurrentes*, ita ut neutram in partem inclinent. Si quid tamen mutandum ſit, mavult *ἀτρεκεῖς*. E V. enotatur *ἀφόβους*.

2 Sic R. dedit de ſuo — *aggeribus conſtipatis*, *eingerammelten*, *eingeſtampften*, a *νάσσειν* — pro vulg. *χώμασιν ἀκτοῖς*. Potuiſſe quoque dari *χώμασι συνακτοῖς*, monet. V. B. 5. SG. *ἀκτῆς*.

3 Subaudi *τέκτων*. R.

4 SG. *τε*. Id. paulo poſt duabus vocibus *δι' ὅλου*.

ἑκατέρωθεν τῆς ὁδȣ͂ διέθηκεν, ὡς εἴη ῥᾳδίως τοῖς ἵπποις ἔχȣσιν ἐπιβαίνειν ἀπ᾽ [1] αὐτῶν, ἀναβολέως μὴ δεομένοις.

VIII. Ἐπὶ τȣ́τοις τȣ͂ δήμȣ μεγαλύνοντος [2] αὐτὸν, καὶ πᾶν ὁτιȣ͂ν ἑτοίμως ἔχοντος ἐνδείκνυσθαι πρὸς εὔνοιαν, ἔφη ποτὲ δημηγορῶν αὐτὸς αἰτήσειν χάριν, ἣν λαβὼν μὲν, ἀντὶ παντὸς ἕξειν. εἰ δ᾽ ἀποτύχοι, μηδὲν ἐκείνοις μεμψιμοιρήσειν. τȣ͂το ῥηθὲν ἔδοξεν αἴτησις ὑπατείας εἶναι, καὶ προσδοκίαν πᾶσιν, ὡς ἅμα μὲν ὑπατείαν, ἅμα δὲ δημαρχίαν μετιὼν, παρέχεν. ἐνςάντων δὲ τῶν ὑπατικῶν ἀρχαιρεσιῶν, καὶ μετεώρων ὄντων ἁπάντων, ὤφθη Γάϊον Φάννιον κατάγων [3] εἰς τὸ πεδίον, καὶ συναρχαιρεσιάζων ἐκείνῳ μετὰ τῶν φίλων. τȣ͂το ῥοπὴν ἤνεγκε τῷ Φαννίῳ μεγάλην. κἀκεῖνος μὲν ὕπατος, Γάϊος δὲ δήμαρχος ἀπεδείχθη τὸ δεύτερον· ȣ̓ παραγγέλλων, ȣ̓δὲ μετιὼν, ἀλλὰ τȣ͂ δήμȣ σπȣδάσαντος. ἐπεὶ δ᾽ ἑώρα τὴν μὲν σύγκλητον ἐχθρὰν ἄντικρυς, ἀμβλὺν δὲ τῇ πρὸς αὐτὸν εὐνοίᾳ τὸν Φάννιον, αὖθις ἑτέροις νόμοις ἀπήρτησε [4] τὸ πλῆθος· ἀποικίας μὲν εἰς Τάραντα καὶ Καπύην πέμπεσθαι γράφων, καλῶν δ᾽ ἐπὶ κοινωνίᾳ πολιτείας τȣ̀ς Λατίνȣς. ἡ δὲ βȣλὴ, δείσασα, μὴ παντάπασιν ἄμαχος γένηται, καινὴν καὶ ἀσυνήθη πεῖραν ἐπῆγε τοῖς πολλοῖς ἀποτροπῆς, ἀντιδημαγωγȣ͂σα καὶ χαριζομένη παρὰ τὸ βέλτιςον. ἦν γὰρ εἷς τῶν τȣ͂ Γαΐȣ συναρχόντων Λίβιος Δρȣ͂σος, ἀνὴρ ȣ̓́τε γεγονὼς τινὸς Ῥωμαίων, ȣ̓́τε τεθραμμένος χεῖρον· ἤδη [5] δὲ

1 Sic R. cum SG. dedit. Vulgo ἐπ᾽ αὐτῶν. Pro seq. ἀναβολέως V. ἀναβιβάζοντος.

2 Junt. Ald. Crat. μεγαλȣ͂ντος. Lin. seq. SG. ἔχων pro ἔχοντος.

3 Teste H. Steph. etiam legitur κατατάττων. Sic est in margine SG. cum praemisso γρ. in ipso codicis texto κατάγων.

4 R. mavult ἀνηρτήσατο, *a se suspendebat, sibi obstringebat.* SG. ἀπήρτιζε. In Junt. Ald. Crat. ἀπήρτησε.

5 V. Anon. & B. 5. ἤθει, quod Br. probat. R. vulgatam tue-

δὲ καὶ λόγῳ καὶ πλύτῳ [ἐν] τοῖς μάλιςα τιμωμένοις καὶ δυναμένοις ἀπὸ τύτων ἐνάμιλλος [1]. ἐπὶ τῦτον μὲν ὖν οἱ γνωριμώτατοι τρέπονται· καὶ παρεκάλυν αὐτὸν ἅψαϑαι τῦ Γαΐυ, καὶ μετ' αὐτῶν ἐπὶ τὸν ἄνδρα συςῆναι, μὴ βιαζόμενον, μηδ' ἀντικρύοντα τοῖς πολλοῖς, ἀλλὰ πρὸς ἡδονὴν ἄρχοντα, καὶ χαριζόμενον, ὑπὲρ ὧν καὶ ἀπεχϑάνεϑαι καλῶς εἶχεν.

IX. Ἐπιδὺς ὖν ὁ Λίβιος [2] εἰς ταῦτα τῇ βυλῇ τὴν ἑαυτῦ δημαρχίαν, νόμυς ἔγραψεν, ὔτε τῶν καλῶν τινας, ὔτε τῶν λυσιτελῶν ἐχόμενος [3], ἀλλ' ἓν μόνον, ὑπερβαλέϑαι τὸν Γάϊον ἡδονῇ καὶ χάριτι τῶν πολλῶν, ὥσπερ ἐν κωμῳδίᾳ, σπεύδων καὶ διαμιλλώμενος. ᾧ καὶ καταφανεςάτην ἐποίησεν ἑαυτὴν ἡ σύγκλητος, ὐ δυσχεραίνυσα τοῖς τῦ Γαΐυ πολιτεύμασιν, ἀλλ' αὐτὸν ἐκεῖνον ἀνελεῖν, ἢ ταπεινῶσαι παντάπασι, βυλομένη [4]. τὸν μὲν γὰρ ἀποικίας δύο γράψαντα, καὶ τὺς χαριεςάτυς τῶν πολιτῶν [5] εἰσάγοντα, δημοκοπεῖν ᾐτιῶντο· Λιβίῳ δὲ, δώδεκα κατοικίζοντι, καὶ τρισχιλίυς εἰς ἑκάςην ἀποςέλλοντι τῶν ἀπόρων, συνελαμβάνοντο. κἀκείνῳ μὲν, ὅτι χώραν διένειμε τοῖς πένησι, προστάξας ἑκάςῳ τελεῖν ἀποφορὰν εἰς τὸ δημόσιον, ὡς κολακεύοντι τὺς πολλὺς ἀπηχϑάνοντο· Λίβιος δὲ καὶ τὴν ἀποφορὰν ταύτην

tuetur, particula ἤδη significante processum narrantis a nativitate & educatione ad rationes vitae civilis a Livio Druso in luce reip. actae. Si quid mutandum, mavult ᾔδει, *norat Livius Drusus*, *se esse aequipollentem*, & addi ὢν pone τύτων lin. seq. Praepositionem ἐν post πλύτῳ delendam censuit Steph. & R. uncis inclusit.

1 Pro hac voce V. ἀνταγωνιςής.

2 V. Λύϊος. R. notante, e Junt. At hoc loco perspicue extat Λίβιος in ea; in fine autem capitis legitur Λύϊος.

3 Sic R. de suo dedit pro vulg. ἐχομένυς.

4 H. Steph. maluit δυσχεραίνυσαν & βυλομένην, ut ad ἑαυτὴν jungantur. R. tuetur vulgatam, idem valentem, atque ὅτι δυσχεραίνει & ὅτι βύλεται.

5 V. τῶν πολλῶν.

την τῶν νειμαμένων ἀφαιρῶν, ἤρεσκεν αὐτοῖς. ἔτι δ', ὁ μὲν τοῖς Λατίνοις ἰσοψηφίαν διδȣς ἐλύπει· τȣ δ', ὅπως μηδ' ἐπὶ ςρατείας ἐξῇ τινὰ Λατίνων ῥάβδοις αἰκίσασθαι, γράψαντος, ἐβοήθȣν τῷ νόμῳ. καὶ μέντοι καὶ αὐτὸς ὁ Λίβιος ἀεὶ δημηγορῶν ἔλεγεν, ὡς γράφει [1] ταῦτα τῇ βȣλῇ δοκȣ̃ντα κηδομένῃ τῶν πολλῶν· ὃ δὴ καὶ μόνον ἀπὸ τῶν πολιτευμάτων αὐτȣ̃ χρήσιμον ὑπῆρχεν. ἡμερώτερον γὰρ ἔσχε πρὸς τὴν βȣλὴν ὁ δῆμος, καὶ τȣ̀ς γνωριμωτάτȣς αὐτȣ̃ πρότερον ὑφορωμένȣ καὶ μισȣ̃ντος, ἐξέλυσε καὶ κατεπράϋνε τὴν μνησικακίαν καὶ χαλεπότητα ταύτην ὁ Λίβιος, ὡς ἐκ τῆς ἐκείνων ὁρμώμενος [2] γνώμης ἐπὶ τὸ δημαγωγεῖν καὶ χαρίζεσθαι τοῖς πολλοῖς.

X. Μεγίςη δὲ τῷ Δρȣ́σῳ πίςις εὐνοίας πρὸς τὸν δῆμον ἐγίνετο καὶ δικαιοσύνης, τὸ μηδὲν αὐτῷ, μηδ' ὑπὲρ ἑαυτȣ̃, φαίνεσθαι γράφοντα. καὶ γὰρ οἰκιςὰς ἑτέρȣς ἐξέπεμπε τῶν πόλεων, καὶ διοικήσεσι χρημάτων ȣ̓ προσῄει, τȣ̃ Γαΐȣ τὰ πλεῖςα καὶ μέγιςα τῶν τοιȣ́των αὐτῷ προστιθέντος. ἐπεὶ δὲ, Ῥȣβρίȣ, τῶν συναρχόντων ἑνὸς, οἰκίζεσθαι Καρχηδόνα γράψαντος, ἀνῃρημένην ὑπὸ Σκιπίωνος, κλήρῳ λαχὼν ὁ Γάϊος ἐξέπλευσεν εἰς Λιβύην ἐπὶ τὸν κατοικισμὸν, ἔτι μᾶλλον ἐπιβὰς ὁ Δρȣ̃σος ἀπόντος αὐτȣ̃, τὸν δῆμον ὑπελάμβανε καὶ προσήγετο, μάλιςα ταῖς κατὰ [3] τȣ̃ Φȣλβίȣ διαβολαῖς. ὁ δὲ Φȣ́λβιος ȣ̓̃τος ἦν τȣ̃ Γαΐȣ φίλος, καὶ συνάρχων ἐπὶ τὴν διανομὴν τῆς χώρας ᾑρημένος· ἦν δὲ θορυβώδης, καὶ μισȣ́μενος μὲν ὑπὸ τῆς βȣλῆς ἄντικρυς, ὕποπτος δὲ καὶ τοῖς ἄλλοις, ὡς τὰ συμμαχικὰ διακινῶν, καὶ παροξύνων κρύφα τȣ̀ς Ἰταλιώτας πρὸς ἀπόςασιν. οἷς ἀναποδείκτως καὶ ἀνελέγκτως λεγομένοις αὐτὸς προσετίθει πίςιν ὁ Φȣ́λβιος, ȣ̓χ ὑγιαινȣ́σης, ȣ̓δ' εἰρηνικῆς, ὧν προ-

1 SG. γράφοι.
2 SG. ὁρμώμενον.
3 Praepos. hanc sola Br. omisit; R. restituit.

προαιρέσεως. τȣ̃το μάλιϛα κατέλυε τὸν Γάϊον, ἀπολαύονῖα τȣ̃ μίσȣς. καὶ ὅτε Σκιπίων Ἀφρικανὸς ἐξ ȣ̓δενὸς αἰτίȣ προφανȣ̃ς ἐτελεύτησε, καὶ σημεῖά τινα τῷ νεκρῷ πληγῶν καὶ βίας ἐπιδραμεῖν ἔδοξεν, ὡς ἐν τοῖς περὶ ἐκείνȣ γέγραπῖαι· τὸ μὲν πλεῖϛον ἐπὶ τὸν Φȣ́λβιον ἦλθε τῆς διαβολῆς, ἐχθρὸν ὄνῖα, καὶ τὴν ἡμέραν ἐκείνην ἐπὶ τȣ̃ βήματος τῷ Σκιπίωνι λελοιδορημένον· ἥψατο δὲ καὶ τȣ̃ Γαΐȣ ἡ [1] ὑπόνοια. καὶ δεινὸν ȣ̓́τως ἔργον, ἐπ' ἀνδρὶ τῷ πρώτῳ καὶ μεγίϛῳ Ῥωμαίων τολμηθὲν, ȣ̓κ ἔτυχε δίκης, ȣ̓δ' εἰς ἔλεγχον προῆλθεν. ἐνέϛησαν γὰρ οἱ πολλοὶ, καὶ κατέλυσαν τὴν κρίσιν, ὑπὲρ τȣ̃ Γαΐȣ φοβηθένῖες, μὴ περιπετὴς τῇ αἰτίᾳ τȣ̃ φόνȣ ζητȣμένȣ γένηται. τὰ μὲν [2] ȣ̓̃ν ἐγεγόνει πρότερον.

XI. Ἐν δὲ τῇ Λιβύῃ περὶ τὸν τῆς Καρχηδόνος [3] κατοικισμὸν, ἣν ὁ Γάϊος Ἰȣνωνίαν, ὅπερ ἐϛὶν Ἡραίαν, ὠνόμασε, πολλὰ κωλύματα γενέϑαι παρὰ τȣ̃ δαιμονίȣ λέγȣσιν. ἥ τε γὰρ πρώτη σημαία, πνεύματος ἀφαρπάζονῖος αὐτὴν, τȣ̃ δὲ φέρονῖος ἐγκρατῶς ἀντεχομένȣ, συνετρίβη· καὶ τὰ ἱερὰ τοῖς βωμοῖς ἐπικείμενα διεσκέδασεν ἀνέμȣ θύελλα, καὶ διέῤῥιψεν ὑπὲρ τȣ̀ς ὅρȣς τῆς γεγενημένης ὑπογραφῆς. αὐτȣ̀ς δὲ τȣ̀ς ὅρȣς ἀνέσπασαν ἐπελθόνῖες λύκοι, καὶ μακρὰν ᾤχονῖο φέροντες. ȣ̓ μὴν ἀλλὰ πάντα συντάξας καὶ διακοσμήσας ὁ Γάϊος ἡμέραις ἑβδομήκονῖα ταῖς πάσαις, ἐπανῆλθεν εἰς Ῥώμην, πιέζεϑαι τὸν Φȣ́λβιον ὑπὸ τȣ̃ Δρȣ́σȣ πυνθανόμενος, καὶ τῶν πραγμάτων τῆς αὐτȣ̃ παρȣσίας δεομένων. Λεύκιος γὰρ Ὀπίμιος [4], ἀνὴρ ὀλιγαρχικὸς καὶ δυνατὸς ἐν τῇ βȣλῇ, πρότερον μὲν ἐξέπεσεν, ὑπατείαν παραγγέλ-

1 Articulum hunc de ſuo addidit R.

2 V. Anon. B. 5. SG. ταῦτα μὲν, quod Br. probat.

3 R. poſt h. v. deeſſe cenſet ὄντι. Suband. C. Graccho.

4 Sic Aretinus, Sigonius, Xylander aliique reponi voluerunt, & ſic cum Anon. dedit R. pro vulg. Ὀϛίλιος.

ἀγγέλλων, τοῦ Γαΐου τὸν Φάννιον προαγαγόντος [1], ἐκεῖνον δὲ καταρχαιρεσιάσαντος· τότε δὲ πολλῶν βοηθούντων, ἐπίδοξος ἦν ὑπατεύσειν, ὑπατεύων δὲ, καταλύσειν τὸν Γάϊον, ἤδη τρόπον τινὰ τῆς δυνάμεως αὐτοῦ μαραινομένης, καὶ τοῦ δήμου μεστοῦ γεγονότος τῶν τοιούτων πολιτευμάτων, διὰ τὸ πολλοὺς τοὺς πρὸς χάριν δημαγωγοῦντας εἶναι, καὶ τὴν βουλὴν ὑπείκειν ἑκοῦσαν.

XII. Ἐπανελθὼν δὲ, πρῶτον μὲν ἐκ τοῦ Παλατίου μετῴκησεν [2] εἰς τὸν ὑπὸ τὴν ἀγορὰν τόπον, ὡς δημοτικώτερον, ὅπου πλείστοις [3] τῶν ταπεινῶν καὶ πενήτων συνέβαινεν οἰκεῖν· ἔπειτα τῶν νόμων ἐξέθηκε τοὺς λοιποὺς, ὡς ἐπάξων τὴν ψῆφον αὐτοῖς. ὄχλου δὲ πανταχόθεν αὐτῷ συνιόντος, ἔπεισεν ἡ βουλὴ τὸν ὕπατον, Φάννιον, ἐκβαλεῖν τοὺς ἄλλους, πλὴν Ῥωμαίων, ἅπαντας. γενομένου δὲ κηρύγματος ἀήθους καὶ ἀλλοκότου, μηδένα τῶν συμμάχων, μηδὲ τῶν φίλων, ἐν Ῥώμῃ φανῆναι περὶ τὰς ἡμέρας ἐκείνας, ἀντεξέθηκεν ὁ Γάϊος διάγραμμα, κατηγορῶν τοῦ ὑπάτου, καὶ τοῖς συμμάχοις, ἂν μένωσι, βοηθήσειν ἐπαγγελλόμενος. οὐ μὴν ἐβοήθησεν, ἀλλ' ὁρῶν ἕνα τῶν ξένων αὐτοῦ καὶ συνήθων ἑλκόμενον ὑπὸ τῶν ὑπηρετῶν [4] τοῦ Φαννίου, παρῆλθε, καὶ οὐ προσήμυνεν· εἴτε τὴν ἰσχὺν, ἐπιλείπουσαν ἤδη, δεδιὼς ἐλέγχειν, εἴτε μὴ βουλόμενος, ὡς ἔλεγεν, ἀψιμαχίας αὐτὸς καὶ συμπλοκῆς ἀρχὰς ζητοῦσι τοῖς ἐχθροῖς παρασχεῖν. συνέτυχε δ' αὐτῷ καὶ πρὸς τοὺς συνάρχοντας ἐν ὀργῇ γενέσθαι διὰ τοιαύτην αἰτίαν. ἔμελλεν ὁ δῆμος θεᾶσθαι μονομάχους ἐν ἀγορᾷ, καὶ τῶν ἀρχόντων οἱ πλεῖστοι [5] θεωρητήρια κύκλῳ κατασκευάσαντες ἐξεμίσθουν.

1 B. 5. προσαγαγόντος.
2 V. & SG. μετῴκισεν.
3 Hanc lectionem R. e Junt. revocavit. Vulgo πλείστους.
4 SG. repetit τῶν post hanc vocem.
5 Teste H. Steph. etiam legitur οἱ πρῶτοι. Sic V. & B. 5.

θου. ταῦτα ὁ Γάϊος ἐκέλευεν αὐτοὺς καθαιρεῖν, ὅπως οἱ πένητες ἐκ τῶν τόπων ἐκείνων ἀμισθὶ θεάσασθαι δύνωνται [1]. μηδενὸς δὲ προσέχοντος, ἀναμείνας τὴν πρὸ τῆς θέας νύκτα, καὶ τῶν τεχνιτῶν, ὅσους εἶχεν ἐργολάβους ὑφ' ἑαυτῷ, παραλαβὼν, τὰ θεωρητήρια καθεῖλε, καὶ τῷ δήμῳ σχολάζοντα μεθ' ἡμέραν ἀπέδειξε τὸν τόπον. ἐφ' ᾧ τοῖς μὲν πολλοῖς ἀνὴρ ἔδοξεν εἶναι, τοὺς δὲ συνάρχοντας, ὡς ἰταμὸς καὶ βίαιος, ἐλύπησεν. ἐκ τούτου καὶ τὴν τρίτην ἔδοξε δημαρχίαν ἀφῃρῆσθαι [2], ψήφων μὲν αὐτῷ πλείστων γενομένων, ἀδίκως δὲ καὶ κακούργως τῶν συναρχόντων ποιησαμένων τὴν ἀναγόρευσιν καὶ ἀνάδειξιν. ἀλλὰ ταῦτα μὲν ἀμφισβήτησιν εἶχεν. ἤνεγκε δ' οὐ μετρίως ἀποτυχὼν, καὶ πρός γε τοὺς ἐχθροὺς ἐπεγγελῶντας αὐτῷ λέγεται θρασύτερον τοῦ δέοντος εἰπεῖν, ὡς Σαρδόνιον [3] γέλωτα γελῶσιν, οὐ γινώσκοντες, ὅσον αὐτοῖς σκότος ἐκ τῶν αὐτοῦ περικέχυται πολιτευμάτων.

XIII. Ἐπεὶ δὲ καὶ τὸν Ὀπίμιον καταστήσαντες ὕπατον, τῶν νόμων πολλοὺς διέγραφον, καὶ τὴν Καρχηδόνος ἐκίνουν διάταξιν, ἐρεθίζοντες τὸν Γάϊον, ὡς ἂν αἰτίαν ὀργῆς παρασχὼν ἀναιρεθείη, τὸν μὲν πρῶτον χρόνον ἐκαρτέρει, τῶν δὲ φίλων, καὶ μάλιστα τοῦ Φουλβίου παροξύνοντος, ὥρμησε πάλιν συνάγειν τοὺς ἀντιταξομένους πρὸς τὸν ὕπατον. ἐνταῦθα καὶ τὴν μητέρα λέγουσιν αὐτῷ συστασιάσαι, μισθουμένην ἀπὸ τῆς ξένης κρύφα καὶ πέμπουσαν εἰς Ῥώμην ἄνδρας, ὡς δὴ θεριστάς. ταῦτα γὰρ ἐν τοῖς ἐπιστολίοις αὐτῆς ᾐνιγμένα γεγράφθαι πρὸς τὸν υἱόν. ἕτεροι δὲ, καὶ πάνυ τῆς Κορνηλίας δυσχεραινούσης, ταῦτα πράττεσθαι λέγουσιν. ᾗ δ' οὖν ἔμελλον ἡμέρᾳ τοὺς νόμους λύσειν οἱ περὶ τὸν Ὀπίμιον, κατειλη-

1 SG. δύνανται.

2 SG. ἀφαιρεῖσθαι.

3 Cum ω scribi, tum apud alios, tum apud Plut. alibi, annotat Duf.

εἴληπτο μὲν ὑπ' ἀμφοτέρων ἕωθεν εὐθὺς τὸ Καπετώλιον· θύσαντος δὲ τῦ ὑπάτυ, τῶν ὑπηρετῶν τις αὐτῦ, Κόϊντος Ἀντύλλιος [1], διαφέρων ἑτέρωσε τὰ σπλάγχνα πρὸς τὺς περὶ τὸν Φύλβιον, εἶπε· Δότε τόπον ἀγαθοῖς, κακοὶ πολῖται. τινὲς δέ φασιν, ἅμα τῇ φωνῇ ταύτῃ καὶ τὸν βραχίονα γυμνὸν οἷον ἐφ' ὕβρει σχηματίζοντα παρενεγκεῖν. ἀποθνήσκει γῦν εὐθὺς ὁ Ἀντύλλιος ἐκεῖ, μεγάλοις γραφείοις κεντύμενος, ἐπ' αὐτὸ τῦτο [2] πεποιῆσθαι λεγομένοις. καὶ τὸ μὲν πλῆθος διεταράχθη πρὸς τὸν φόνον, ἐναντία δὲ τὺς ἡγεμόνας ἔσχε διάθεσις. ὁ μὲν γὰρ Γάϊος ἤχθετο, καὶ κακῶς ἔλεγε τὺς περὶ αὐτὸν, ὡς αἰτίαν [3] δεομένοις πάλαι καθ' ἑαυτῶν τοῖς ἐχθροῖς δεδωκότας· ὁ δ' Ὀπίμιος, ὥσπερ ἐνδόσιμον λαβὼν, ἐπῆρτο, καὶ παρώξυνε τὸν δῆμον ἐπὶ την ἄμυναν.

XIV. Καὶ τότε μὲν, ὄμβρυ γενομένυ, διελύθησαν· ἅμα δ' ἡμέρᾳ τὴν μὲν βυλὴν ὁ ὕπατος συναγαγὼν, ἔνδον ἐχρημάτιζεν, ἕτεροι δὲ τὸ τῦ Ἀντυλλίυ σῶμα γυμνὸν ἐπὶ κλίνης προθέμενοι, δι' ἀγορᾶς ἐπὶ [4] τὸ βυλευτήριον ἐπίτηδες παρεκόμιζον, οἰμωγῇ χρώμενοι καὶ θρήνῳ, γινώσκοντος μὲν τῦ Ὀπιμίυ τὰ πραττόμενα, προσποιυμένυ δὲ θαυμάζειν· ὥστε καὶ τὺς βυλευτὰς προελθεῖν. κατατεθείσης δὲ τῆς κλίνης εἰς μέσον, οἱ μὲν ἐσχετλίαζον, ὡς ἐπὶ δεινῷ καὶ μεγάλῳ πάθει· τοῖς δὲ πολλοῖς ἐπῄει μισεῖν καὶ προβάλλεσθαι [5] τὺς ὀλιγαρχικὺς, ὡς Τιβέριον μὲν Γράκχον ἐν Καπετωλίῳ φονεύσαντες αὐτοὶ, δήμαρχον ὄντα, καὶ τὸν νεκρὸν προσεξέβαλον· ὁ δ' ὑπηρέτης, Ἀντύλλιος, ὐ δίκαια μὲν ἴσως πεπον-



1 Appian. *Attilium* vocat. *Xyl.* Aur. Victor. *Atilium.*

2 SG. ἐπ' αὐτῷ τῦτῳ.

3 Hanc lectionem e Junt. se revocasse monet R. pro vulg. *αἰτίας*. Sic autem non nisi in Br. extat.

4 V. & SG. παρὰ.

5 Pro προβάλλ. V. ἀναμιμνήσκειν.

πεπονθὼς, τὴν δὲ πλείςην αἰτίαν εἰς τὸ παθεῖν αὐτῷ παραχὼν, ἐν ἀγορᾷ πρόκειται, καὶ περιέςηκεν ἡ Ῥωμαίων βȣλὴ θρηνȣ̃σα, καὶ συνεκκομίζȣσα [1], μισθωτὸν ἄνθρωπον ἐπὶ τῷ τὸν ἔτι λειπόμενον ἀνελεῖν τῶν τȣ̃ δήμȣ κηδομένων. ἐκ τȣ́τȣ πάλιν εἰς τὸ βȣλευτήριον ἀπελθόντες, ἐψηφίσαντο καὶ προσέταξαν Ὀπιμίῳ, τῷ ὑπάτῳ, σώζειν τὴν πόλιν, ὅπως δύναιτο, καὶ καταλύειν τȣ̀ς τυράννȣς. ἐκείνȣ δὲ προειπόντος [2], ἐπὶ τὰ ὅπλα χωρεῖν τȣ̀ς συγκλητικȣ̀ς, καὶ τῶν ἱππέων ἑκάςῳ παράγγελμα δόντος, ἄγειν ἕωθεν οἰκέτας δύο καθωπλισμένȣς, ὁ μὲν Φȣ́λβιος ἀντιπαρεσκευάζετο, καὶ συνῆγεν ὄχλον· ὁ δὲ Γάϊος, ἐκ τῆς ἀγορᾶς ἀπερχόμενος, ἔςη κατὰ τὸν τȣ̃ πατρὸς ἀνδριάντα, καὶ πολὺν χρόνον ἐμβλέψας εἰς αὐτὸν, ȣ̓δὲν ἐφθέγξατο, δακρύσας δὲ καὶ ςενάξας ἀπῄει. τȣ̃το πολλοῖς τῶν ἰδόντων οἶκτεῖραι τὸν Γάϊον ἐπῆλθε· καὶ κακίσαντες αὑτȣ̀ς, ὡς ἐγκαταλείποντες τὸν ἄνδρα καὶ προδιδόντες, ἧκον ἐπὶ τὴν οἰκίαν, καὶ παρενυκτέρευον ἐπὶ τῶν θυρῶν, ȣ̓χ ὁμοίως τοῖς τὸν Φȣ́λβιον φυλάττȣσιν. ἐκεῖνοι μὲν γὰρ ἐν κρότοις καὶ ἀλαλαγμοῖς πίνοντες καὶ θρασυνόμενοι διετέλεσαν, αὐτȣ̃ τȣ̃ Φȣλβίȣ πρώτȣ μεθυσκομένȣ, καὶ πολλὰ φορτικῶς παρ' ἡλικίαν φθεγγομένȣ καὶ πράττοντος· οἱ δὲ περὶ τὸν Γάϊον ὡς ἐπὶ συμφορᾷ κοινῇ τῆς πατρίδος ἡσυχίαν ἄγοντες, καὶ περισκοπȣ́μενοι τὸ μέλλον, ἐν μέρει φυλάττοντες καὶ ἀναπαυόμενοι διῆγον.

XV. Ἅμα δ' ἡμέρᾳ τὸν μὲν Φȣ́λβιον, ἐκ τȣ̃ ποτȣ̃ [3] καθεύδοντα, μόλις ἐπεγείραντες, ὡπλίζοντο τοῖς περὶ τὴν οἰκίαν [4] λαφύροις, ἃ Γαλάτας νενικηκὼς, ὅτε ὑπάτευεν, εἰλήφει, καὶ μετὰ πολλῆς ἀπειλῆς καὶ κραυγῆς ἐχώρȣν καταληψόμενοι τὸν Ἀβεντῖνον λόφον. ὁ δὲ

1 Sola Br. συνεγκομίζȣσα. R. reſtituit priorem lectionem.
2 SG. προσειπόντος.
3 Junt. ſola ποταμȣ̃.
4 V. & SG. poſt h. v. inſerunt αὐτȣ̃.

δὲ Γάϊος ὁπλίσαθαι μὲν ἐκ ἠθέλησεν, ἀλλ', ὥσπερ εἰς ἀγορὰν, ἐν τηβέννῳ προῄει, μικρὸν ἐπεζωσμένος ἐγχειρίδιον. ἐξιόντι δ' αὐτῷ περὶ τὰς θύρας ἡ γυνὴ προσπεσᾶσα, καὶ καταχᾶσα [1] τῶν χειρῶν τῇ μὲν αὐτὸν ἐκεῖνον, τῇ δὲ τὸ παιδίον· Οὐκ ἐπὶ τὸ βῆμά σε, εἶπεν, ὦ Γάϊε, προπέμπω [2] δήμαρχον, ὡς πρότερον, καὶ νομοθέτην, ἐδ' ἐπὶ πόλεμον ἔνδοξον, ἵνα μοι καὶ παθών τι τῶν κοινῶν [3] ἀπολίπῃς τιμώμενον γᾶν πένθος· ἀλλὰ τοῖς Τιβερίε φονεῦσιν ὑποβάλλεις σεαυτὸν [4], ἄνοπλον μὲν καλῶς, ἵνα πάθῃς τι μᾶλλον, ἢ δράσῃς, πρὸς ἐδὲν δὲ τοῖς κοινοῖς ὄφελος ἀπολῇ. κεκράτηκεν ἤδη τὰ χείρω, βίᾳ καὶ σιδήρῳ τὰς δίκας ἤδη [5] πράττεσιν. εἰ περὶ Νομαντίαν ὁ σὸς ἀδελφὸς ἔπεσεν, ὑπόσπονδος ἂν ἡμῖν ἀπεδόθη νεκρός· νῦν δ' ἴσως κἀγὼ ποταμᾶ τινος, ἢ θαλάσσης, ἱκέτις [6] ἔσομαι, φῆναί ποτε τὸ σὸν σῶμα φρερέμενον. τί γὰρ ἢ νόμοις ἔτι πιςὸν, ἢ θεοῖς, μετὰ τὸν Τιβερίε φόνον; Τοιαῦτα τῆς Λικιννίας ὀδυρομένης, ἀτρέμα τὰς περιβολὰς ἀπολυσάμενος αὐτῆς ὁ Γάϊος, ἐχώρει σιωπῇ μετὰ τῶν φίλων. ἡ δὲ τᾶ ἱματίε λαβέθαι γλιχομένη, καταῤῥυεῖσα πρὸς τὔδαφος, ἔκειτο πολὺν χρόνον ἄναυδος· ἄχρις ἃ [7] λειποθυμήσασαν αὐτὴν οἱ θεράποντες ἀράμενοι, πρὸς Κράσσον ᾤχοντο, τὸν ἀδελφὸν, κομίζοντες.

XVI. Ὁ δὲ Φέλβιος, ὡς ἐγένοντο πάντες ἀθρόοι, πεισθεὶς ὑπὸ τᾶ Γαΐε, πέμπει τῶν υἱῶν τὸν νεώτερον, ἔχον-



1 SG. περιπλύξασα.
2 B. 5. simplex πέμπω.
3 Fatorum nulli non homini nato communium. R.
4 SG. ἑαυτόν.
5 abest ἤδη a SG. & B. 5.
6 Sic cum Junt. & SG. dedit R. pro vulg. ἱκέτης. Est quoque ἱκέτις in Ald. & Crat. Pro seq. φῆναι, H. Steph. teste, etiam legitur ἀφεῖναι.
7 SG. μέχρι ἃ.

ἔχοντα κηρύκιον, εἰς ἀγοράν. ἦν δὲ κάλλιϛος ὁ νεανίσκος ὀφθῆναι· καὶ τότε καταϛὰς κοσμίως καὶ μετ' αἰδοῦς δεδακρυμένος, ἐποιήσατο συμβατικοὺς λόγους πρὸς τὸν ὕπατον καὶ τὴν σύγκλητον. οἱ μὲν οὖν πολλοὶ τῶν παρόντων οὐκ ἀηδῶς πρὸς τὰς διαλύσεις εἶχον· ὁ δ' Ὀπίμιος οὐ δι' ἀγγέλων ἔφη χρῆναι πείθειν τὴν σύγκλητον, ἀλλὰ καταβάντας, ὡς ὑπευθύνους πολίτας, ἐπὶ κρίσιν, καὶ παραδόντας αὑτοὺς οὕτως παραιτεῖσθαι τὴν ὀργήν. τῷ δὲ μειρακίῳ καὶ διηγόρευσεν ἐπὶ τούτοις μὴ κατιέναι πάλιν [1]. Γάϊος μὲν οὖν, ὥς φασιν, ἐβούλετο βαδίζειν καὶ πείθειν τὴν σύγκλητον· οὐδενὸς δὲ τῶν ἄλλων συγχωροῦντος, αὖθις ἔπεμψεν ὁ Φούλβιος τὸν παῖδα διαλεξόμενον ὑπὲρ αὐτῶν ὅμοια τοῖς προτέροις. ὁ δ' Ὀπίμιος σπεύδων μάχην συνάψαι, τὸ μὲν μειράκιον εὐθὺς συνέλαβε καὶ παρέδωκεν εἰς φυλακήν. τοῖς δὲ περὶ τὸν Φούλβιον ἐπῄει μετὰ πολλῶν ὁπλιτῶν, καὶ τοξοτῶν Κρητῶν, οἳ μάλιϛα βάλλοντες αὐτοὺς καὶ κατατραυματίζοντες [2] συνετάραξαν. γενομένης δὲ τῆς τροπῆς, ὁ μὲν Φούλβιος, εἴς τι βαλανεῖον ἠμελημένον καταφυγὼν, καὶ μετὰ μικρὸν ἀνευρεθεὶς, κατεσφάγη [3] μετὰ τοῦ πρεσβυτέρου παιδός· ὁ δὲ Γάϊος ὤφθη μὲν ὑπ' οὐδενὸς μαχόμενος, ἀλλὰ δυσαναχετῶν τοῖς γινομένοις [4], ἀνεχώρησεν εἰς τὸ τῆς Ἀρτέμιδος ἱερόν· ἐκεῖ δὲ βουλόμενος ἑαυτὸν ἀνελεῖν, ὑπὸ τῶν πιϛοτάτων ἑταίρων ἐκωλύθη, Πομπωνίου καὶ Λικιννίου [5]. παρόντες γὰρ οὗτοι τό τε ξίφος ἀφείλοντο, καὶ φεύγειν [6] ἐπῆραν αὐτόν. ἔνθα δὴ

1 Vulgatae dant: ἐπὶ τούτοις κατιέναι πάλιν, ἢ μὴ κατιέναι. R. amputatis supervacaneis, dedit, quod nunc legitur. Pro αὐτοὺς lin. praeced. SG. αὑτούς.

2 SG. dat simplex τραυματίζοντες.

3 B. 5. ἀνεσφάγη.

4 V. τοῖς μαχομένοις.

5 Aur. Victor, monente Dacerio, & Val. Maximus vocant *Laetorium*.

6 SG. καὶ πάλιν φεύγειν.

δη λέγεται καθεθεὶς εἰς γόνυ, καὶ τὰς χεῖρας ἀνατείνας πρὸς τὴν θεὸν [1], ἐπεύξαθαι, τὸν Ῥωμαίων δῆμον ἀντὶ τῆς ἀχαρισίας ἐκείνης καὶ προδοσίας μηδέποτε παύσαθαι δελεύοντα. Φανερῶς γὰρ οἱ πλεῖσοι μετεβάλλοντο, κηρύγματι δοθείσης ἀδείας.

XVII. Φεύγοντι γὲν τῷ Γαΐῳ τῶν ἐχθρῶν ἐπιφερομένων, καὶ καταλαμβανόντων περὶ τὴν ξυλίνην γέφυραν, οἱ μὲν δύο φίλοι προχωρεῖν αὐτὸν [2] κελεύσαντες, αὐτοὶ τὲς διώκοντας ὑπέςησαν, καὶ μαχόμενοι πρὸ τῆς γεφύρας, ὐδένα παρῆκαν, ἕως ἀπέθανον. τῷ δὲ Γαΐῳ συνέφευγεν εἷς οἰκέτης, ὄνομα Φιλοκράτης [3], πάντων μὲν, ὥσπερ ἐν ἀμίλλῃ, παρακελευομένων, ὐδενὸς δὲ βοηθῦντος, ὐδ' ἵππον αἰτεμένῳ παραχεῖν ἐθελήσαντος. ἐπέκειντο γὰρ ἐγγὺς οἱ διώκοντες. ὁ δὲ φθάνει μικρὸν εἰς ἱερὸν ἄλσος Ἐριννύων καταφυγὼν, κἀκεῖ διαφθείρεται, τῦ Φιλοκράτες ἀνελόντος ἐκεῖνον, εἶτα ἑαυτὸν ἐπισφάξαντος. ὡς δ' ἔνιοι φασὶν, ἀμφότεροι μὲν ὑπὸ τῶν πολεμίων κατελήφθησαν ζῶντες· τῦ δὲ θεράποντος τὸν δεσπότην περιβαλόντος, ὐδεὶς ἐκεῖνον ἠδυνήθη πατάξαι πρότερον, ἢ τῦτον ὑπὸ πολλῶν [4] παιόμενον ἀναιρεθῆναι. τὴν δὲ κεφαλὴν τῦ Γαΐυ λέγεσιν ἄλλον μὲν ἀποκόψαι καὶ κομίζειν, ἀφελέθαι δὲ τύτε φίλον Ὀπιμίυ [5] τινὰ, Σεπτεμυλήϊον. ἦν γὰρ προκεκηρυγμένον ἐν ἀρχῇ τῆς μάχης ἰσοςάσιον χρυσίον τοῖς ἀνενεγκῦσι [6] την Γαΐυ καὶ Φυλβίυ κεφαλήν. ἀν-

 ηνέχθη

1 Junt. πρὸς τὸν θεόν.

2 B. 5. ἐκεῖνον.

3 Vell. Paterc. *Euporum* vocat; Aur. Victor *Euphorum*; Val. Max. *Philocratem & Euporum*.

4 scil. ἀνθρώπων, vel, χειρῶν, vel, ut R. suspicatur, τραυμάτων.

5 Plin. & Val. Max. *familiarem Gracchi* vocant. Aur Victor *Septimulejum* scribit, quem Plut. Σεπτιμυλήϊον vocat.

6 V. & B. 5. ἐνεγκῦσι.

ηνέχθη δὲ ὑπὸ τῦ Σεπ]υμυληΐυ περιπεπαρμένη [1] δόρατι πρὸς τὸν Ὀπίμιον, καὶ ζυγῦ κομιθέντος ἐντεθεῖσα λίτρας ἑπ]ακαίδεκα καὶ δίμοιρον [2] εἵλκυσε· τῦ Σεπ]υμυληΐυ καὶ περὶ τῦτυ [3] μικρῦ γενομένυ καὶ κακυργήσαντος. ἐξελὼν γὰρ τὸν ἐγκέφαλον, ἐνέτηξε μόλιβδον. οἱ δὲ τῦ Φυλβΐυ τὴν κεφαλὴν κομίσαντες (ἦσαν γὰρ τῶν ἀσημοτέρων) ὐδὲν ἔλαβον. τὰ δὲ σώματα καὶ τύτων καὶ τῶν ἄλλων εἰς τὸν ποταμὸν ἐῤῥίφη, τρισχιλίων ἀναιρεθέντων· καὶ τὰς ὐσίας αὐτῶν ἀπέδοντο πρὸς τὸ δημόσιον. ἀπεῖπαν [4] δὲ πενθεῖν ταῖς γυναιξὶ, τὴν δὲ Γαΐυ Λικιννίαν καὶ τῆς προικὸς ἀπεστέρησαν. ὠμότατα [5] δὲ προσειργάσαντο τῦ Φυλβΐυ τὸν νεώτερον υἱὸν, ὔτε χεῖρας ἀνταράμενον, ὔτ' ἐν τοῖς [6] μαχομένοις γενόμενον, ἀλλ' ἐπὶ σπονδὰς ἐλθόντα πρὸ τῆς μάχης συλλαβόντες, καὶ μετὰ τὴν μάχην ἀνελόντες. ὐ μὴν ἀλλὰ καὶ τύτυ καὶ τῶν ἄλλων ἁπάντων μᾶλλον ἠνίασε τὺς πολλὺς τὸ κατασκευασθὲν Ὁμονοίας ἱερὸν ὑπὸ τῦ Ὀπιμΐυ. σεμνύνεσθαι γὰρ ἐδόκει καὶ μέγα φρονεῖν, καὶ τρόπον τινὰ θριαμβεύειν ἐπὶ φόνοις τοσύτοις πολιτῶν. διὸ καὶ νυκ]ὸς ὑπὸ τὴν ἐπιγραφὴν [7] τῦ νεὼ παρενέγραψάν τινες τὸν στίχον τῦτον·

Ἔργον ἀπονοίας ναὸν Ὁμονοίας ποιεῖ.

XVIII.

1 Junt. Ald. Crat. περιπιπ]αμένη.

2 SG. δισμύριον.

3 R. susp. περὶ ]ῦτον, *etiam circa hunc*, C. Gracchum, aut περὶ ]ῦτο, *etiam hac in re.* In SG. ab initio scriptum fuit ]ύτυ, sed deinde emendatum ]ῦτο. Id. cod. paulo post μόλυβδον pro μόλιβδον.

4 Br. mavult ἀπεῖπον.

5 V. B. 5. SG. ὠμότατον.

6 SG. ὔτε ]οῖς, omisso ἐν. Idem fere Junt. — ὔτε ἐτοῖς.

7 SG. ὑπογραφήν.

XVIII. Οὗτος [1] μέντοι πρῶτος ἐξουσίᾳ δικτάτωρος ἐν ὑπατείᾳ χρησάμενος, καὶ κατακρίνας ἀκρίτους ἐπὶ τρισχιλίοις πολίταις Γάϊον Γράκχον καὶ Φούλβιον Φλάκκον, ὧν ὁ μὲν ἦν ὑπατικὸς καὶ θριαμβικὸς, ὁ δὲ τῆς καθ' αὐτὸν ἡλικίας ἀρετῇ καὶ δόξῃ πεπρωτευκὼς, Ὀπίμιος [2] οὐκ ἀπέσχετο κλοπῆς, ἀλλὰ πεμφθεὶς ὡς Ἰουγούρθαν τὸν Νομάδα πρεσβευτὴς, διεφθάρη χρήμασιν ὑπ' αὐτοῦ· καὶ δίκην ὄφλων αἰσχίστην δωροδοκίας, ἐν ἀτιμίᾳ κατεγήρασε, μισούμενος καὶ προπηλακιζόμενος ὑπὸ τοῦ δήμου, παρ' αὐτὰ μὲν τὰ πραχθέντα ταπεινοῦ γενομένου καὶ συσταλέντος, ὀλίγῳ δ' ὕστερον ἐκφήναντος, ὅσον εἶχεν ἵμερον καὶ πόθον [3] τῶν Γράκχων. εἰκόνας τε γὰρ αὐτῶν ἀναδείξαντες, ἐν φανερῷ προὐτίθεντο, καὶ τοὺς τόπους, ἐν οἷς ἐφονεύθησαν, ἀφιερώσαντες, ἀπήρχοντο μὲν, ὧν ὧραι φέρουσι, πάντων· ἔθυον δὲ καθ' ἡμέραν πολλοὶ καὶ προσέπιπτον, ὥσπερ θεῶν ἱεροῖς ἐπιφοιτῶντες.

XIX. Καὶ μέντοι καὶ ἡ Κορνηλία λέγεται τα τ' ἄλλα τῆς συμφορᾶς εὐγενῶς καὶ μεγαλοψύχως ἐνεγκεῖν, καὶ περὶ τῶν ἱερῶν, ἐν οἷς ἀνῃρέθησαν, εἰπεῖν, ὡς ἀξίους οἱ νεκροὶ τάφους ἔχουσιν. αὕτη δὲ περὶ τοὺς καλουμένους Μισηνοὺς διέτριβεν, οὐδὲν μεταλλάξασα τῆς συνήθους διαίτης. ἦν δὲ καὶ πολύφιλος, καὶ διὰ φιλοξενίαν εὐτράπεζος, ἀεὶ μὲν Ἑλλήνων καὶ φιλολόγων περὶ αὐτὴν ὄντων, ἁπάντων δὲ τῶν βασιλέων καὶ δεχομέ-



1 redit ad Ὀπίμιος, quod paulo infra ſequitur, ubi oratio hic coepta continuatur. *At hic tamen Opimius*, tantae vir auctoritatis & potentiae & acerbitatis in opinatos patriae hoſtes — *nihilominus tamen furti reus factus eſt.* R.

2 Vulgo poſt h. v. δὲ legitur, quod R. expunxit, & ſimul punctum, quod in vulgatis ante h. v. cernitur, cum commate mutavit. A B. 5. & SG. abeſt Ὀπίμιος cum partic. δέ.

3 Sic R. de ſuo dedit. Vulgo ἱμέρου καὶ πόθου.

χομένων παρ' αὐτῆς δῶρα καὶ πεμπόντων. ἡδίστη μὲν οὖν [1] αὕτη τοῖς ἀφικνουμένοις καὶ συνοῦσι διηγουμένη τον τοῦ πατρὸς Ἀφρικανοῦ βίον καὶ δίαιταν, θαυμασιωτάτη δὲ, τῶν παίδων ἀπενθὴς καὶ ἀδάκρυτος μνημονεύουσα, καὶ πάθη καὶ πράξεις αὐτῶν [2], ὥσπερ ἀρχαίων τινῶν [3], ἐξηγουμένη τοῖς πυνθανομένοις. ὅθεν ἔδοξεν ἐνίοις ἐκ νοῦς ὑπὸ γήρως, ἢ μεγέθους κακῶν, γεγονέναι, καὶ τῶν ἀτυχημάτων ἀναίσθητος· αὐτοῖς ὡς ἀληθῶς ἀναισθήτοις οὖσιν, ὅσον ἐξ εὐφυΐας καὶ τοῦ γεγονέναι καὶ τετράφθαι καλῶς ὄφελός ἐστι πρὸς ἀλυπίαν ἀνθρώποις, καὶ ὅτι τῆς ἀρετῆς ἡ τύχη φυλαττομένης [4] μὲν τα κακα [5] πολλάκις περίεστιν, ἐν δὲ τῷ πταῖσαι τὸ φέρειν εὐλογίστως οὐ παραιρεῖται [6].

# COMPARATIO AGIDIS ET CLEOMENIS CVM GRACCHIS.

Ἡμῖν δὲ καὶ ταύτης πέρας ἐχούσης τῆς διηγήσεως, ὑπολείπεται λαβεῖν ἐκ παραλλήλου τῶν βίων τὴν ἀποθεώρησιν. τοὺς μὲν οὖν Γράκχους οὐδ' οἱ πάνυ τἆλλα κακῶς λέγοντες καὶ μισοῦντες, ἐτόλμησαν εἰπεῖν, ὡς οὐκ εὐφυέστατοι πρὸς ἀρετὴν ἐγένοντο Ῥωμαίων ἁπάντων, καὶ τροφῆς τε καὶ παιδεύσεως ἐκπρεποῦς ἔτυχον· ἡ δ' Ἀγι-

1 Post h. v. SG. inserit ἦν.

2 R. hanc vocem restituit, sola a Br. omissam.

3 R. post h. v. videtur deesse ἡρώων.

4 Sic cum Iunt. V. Anon. & SG. dari voluit Duſ. deditque R. pro vulg. φυλαττομένοις.

5 Sic cum Anon. probante Mose Duſ. dedit R. pro vulg. τὰ καλά.

6 Sic Br. cum Iunt. dari voluit, deditque R. pro vulg. παραιτεῖται. Est quoque παραιρ. in Ald. Crat. & SG. Ante οὐ addi voluit Duſ. τὰ κακά.

Ἄγιδος καὶ Κλεομένους φύσις ἐῤῥωμενεστέρα φαίνεται τῆς ἐκείνων γενομένη, παρ᾽ ὅσον οὔτε παιδείας μεταλαβόντες ὀρθῆς, ἔθεσί τε καὶ διαίταις ἐντραφέντες, ὑφ᾽ ὧν οἱ πρεσβύτεροι πάλαι διεφθάρησαν [1], αὑτοὺς ἡγεμόνας εὐτελείας καὶ σωφροσύνης παρέσχον. ἔτι δ᾽ οἱ μὲν, ὅτε λαμπρότατον εἶχεν ἡ Ῥώμη καὶ μέγιστον ἀξίωμα, καὶ καλῶν ἔργων ζῆλον, ὥσπερ διαδοχὴν ἀρετῆς πατρώας καὶ προγονικῆς ᾐσχύνθησαν ἐγκαταλιπεῖν· οἱ δὲ καὶ πατέρων τἀναντία προῃρημένων γεγονότες, καὶ τὴν πατρίδα μοχθηρὰ πράττουσαν καὶ νοσοῦσαν παραλαβόντες, οὐδέν τι διὰ ταῦτα τὴν πρὸς τὸ καλὸν ἀπήμβλυναν ὁρμήν. καὶ μὴν τῆς γε Γράκχων ἀφιλοχρηματίας καὶ πρὸς ἀργύριον ἐγκρατείας μέγιστόν ἐστιν, ὅτι λημμάτων ἀδίκων καθαροὺς ἐν ἀρχαῖς καὶ πολιτείαις διεφύλαξαν ἑαυτούς· Ἆγις δὲ κἂν διηγανάκτησεν ἐπὶ τῷ μηδὲν ἀλλότριον λαβεῖν ἐπαινούμενος, ὃς τὴν οὐσίαν τὴν ἑαυτοῦ τοῖς πολίταις ἐπέδωκεν, ἄνευ τῶν ἄλλων κτημάτων, ἑξακόσια τάλαντα νομίσματος ἔχουσαν. πηλίκον ἂν [2] οὖν ἐνόμιζε κακὸν εἶναι τὸ κερδαίνειν ἀδίκως, ὁ καὶ δικαίως πλέον ἔχειν ἑτέρου πλεονεξίαν ἡγούμενος;

II. Ἥ γε μὲν ἐπιβολὴ [3] καὶ τόλμα τῶν καινοτομουμένων πολὺ τῷ μεγέθει παρήλλαττεν. ἐπολιτεύοντο γὰρ ὁ μὲν ὁδῶν κατασκευὰς καὶ πόλεων κτίσεις· καὶ τὸ πάντων νεανικώτατον ἦν Τιβερίῳ μὲν ἀνασῶσαι δημοσίους ἀγροὺς, Γαΐῳ δὲ μῖξαι τὰ δικαστήρια, προσεμβαλόντι τῶν ἱππικῶν τριακοσίους· ὁ δ᾽ Ἄγιδος καὶ Κλεομένους νεωτερισμὸς, τὸ μικρὰ καὶ [4] κατὰ μέρος τῶν ἡμαρτημένων ἰᾶσθαι καὶ ἀποκόπτειν, ὕδραν τινὰ τέμνοντος,

1 SG. διεφθόρεισαν.
2 R. addidit ἂν de suo.
3 B. 5. ἡ βουλή. SG. ἐπιβουλή.
4 abest καὶ a B. 5. Pro ἡμαρτημένων V. ἁμαρτημάτων.

τος, ὥς φησιν ὁ Πλάτων, ἡγησάμενος εἶναι. τὴν ἅμα πάντα ἀπαλλάξαι κακὰ καὶ παρασκευάσαι [1] δυναμένην μεταβολὴν ἐπῆγε τοῖς πράγμασιν. ἀληθέστερον δ' ἴσως εἰπεῖν ἐστιν, ὅτι τὴν πάντα ἀπεργασαμένην κακὰ μεταβολὴν ἐξήλαυνεν, ἀπάγων [2] καὶ καθιστὰς εἰς τὸ οἰκεῖον σχῆμα τὴν πόλιν. ἐπεὶ καὶ τοῦτ' ἄν τις εἴποι [3], τῇ μὲν Γράκχων πολιτείᾳ τοὺς μεγίστους ἐνίστασθαι Ῥωμαίων, οἷς δ' Ἆγις [4] ἐνεχείρησε, Κλεομένης δὲ τὸ ἔργον [5] ἐπέθηκε, τῶν παραδειγμάτων τὸ κάλλιστον ὑπέκειτο καὶ μεγαλοπρεπέστατον, αἱ πάτριοι ῥῆτραι περὶ σωφροσύνης καὶ ἰσότητος· ὧν τούτοις [6] μὲν ὁ Λυκοῦργος, ἐκείνοις δὲ ὁ Πύθιος βεβαιωτής. ὃ δὲ μέγιστον, ὅτι τοῖς μὲν ἐκείνων πολιτεύμασιν εἰς οὐδὲν ἡ Ῥώμη μεῖζον ἐπέδωκε τῶν ὑπαρχόντων· ἐκ δ' ὧν ὁ Κλεομένης ἔπραξεν, ὀλίγου χρόνου τὴν Σπάρτην τῆς Πελοποννήσου κρατοῦσαν ἡ Ἑλλὰς ἐπεῖδε, καὶ τοῖς τότε μέγιστον δυναμένοις διαγωνιζομένην ἀγῶνα τὸν περὶ τῆς ἡγεμονίας· οὗ τέλος ἦν, ἀπαλλαγεῖσαν Ἰλλυρικῶν ὅπλων καὶ Γαλατικῶν [7] τὴν Ἑλλάδα, κοσμεῖσθαι πάλιν ὑφ' Ἡρακλείδαις.

III. Οἶμαι δὲ καὶ [8] τὰς τελευτὰς τῶν ἀνδρῶν ἐμφαί-

1 Tan. Faber susp. ἀνασκευάσαι; Dacer. κατασκευάσαι; SG. μετασκευάσαι, quod Br. & Duſ. probant. B. 5. παρασκευάσασθαι.

2 R. susp. ἀνάγων, aut ἐπανάγων.

3 nam praeter iſtam a me prolatam differentiam inter iſtos Spartanos cum his Romanis poſſis etiam hanc commemorare, quod —. SG. εἴπῃ.

4 B. 5. ὁ Ἆγις.

5 Moſ. Duſ. mavult τὸ τέλος.

6 his poſterioribus Spartanis, aequalibus Agidis & Cleomenis. — ἐκείνοις δὲ, quod ſequitur, illis vetuſtioribus, Lycurgi aequalibus.

7 Moſ. Duſ. suſp. Αἰτωλικῶν.

8 abeſt καὶ a B. 5.

φαίνειν τινὰ τῆς ἀρετῆς διαφοράν. ἐκεῖνοι μὲν γὰρ μαχόμενοι [1] πρὸς τὰς πολίτας, εἶτα φεύγοντες ἐτελεύτησαν. τούτων δ' Ἆγις μὲν ὑπὲρ τοῦ μηδένα κτεῖναι τῶν πολιτῶν ὀλίγου δεῖν ἑκὼν ἀπέθανε· Κλεομένης δὲ προπηλακισθεὶς καὶ ἀδικηθεὶς, ὥρμησε μὲν ἀμύνασθαι, τοῦ δὲ καιροῦ μὴ παρασχόντος, αὑτὸν εὐτόλμως ἀνεῖλε. πάλιν δὲ τἀναντία σκοποῦσιν, Ἆγις μὲν οὐδὲν ἀπεδείξατο στρατηγίας ἔργον, ἀλλὰ προανῃρέθη· ταῖς δὲ Κλεομένους νίκαις [2], πολλαῖς καὶ καλαῖς γενομέναις, παραβαλεῖν ἐστι Τιβερίου τὴν ἐν Καρχηδόνι τοῦ τείχους κατάληψιν, οὐ μικρὸν ἔργον, καὶ τὰς ἐν Νομαντίᾳ σπονδὰς, αἷς δισμυρίους στρατιώτας Ῥωμαίων [3], οὐκ ἔχοντας ἄλλην ἐλπίδα σωτηρίας, περιεποίησε. καὶ Γάϊος δὲ [4] πολλὴν μὲν αὐτόθι, πολλὴν δ' ἐν Σαρδόνι στρατευόμενος ἀνδραγαθίαν ἔφηνεν [5]. ὥστε τοῖς πρώτοις [6] ἐναμίλλους Ῥωμαίων γενέσθαι στρατηγοῖς, εἰ μὴ προανῃρέθησαν.

IV. Τῆς δὲ πολιτείας ὁ μὲν Ἆγις ἔοικεν ἅψασθαι μαλακώτερον, ἐκκρουσθεὶς ὑπ' Ἀγησιλάου, καὶ ψευσάμενος τὸν ἀναδασμὸν τοῖς πολίταις, καὶ ὅλως ἐλλειπὴς [7] καὶ ἀτελὴς, ὧν προείλετο καὶ κατήγγειλεν, ὑπ' ἀτολμίας διὰ τὴν ἡλικίαν [8] γενόμενος· ὁ δὲ Κλεομένης τοὐναντίον θρασύτερον καὶ βιαιότερον ἐπὶ τὴν μεταβολὴν ἦλθε τῆς πολιτείας, ἀποκτείνας [9] τοὺς Ἐφόρους παρανόμως, οὓς καὶ προσαγαγέσθαι τοῖς ὅπλοις κρατοῦντα, καὶ μεταστῆσαι ῥᾴδιον ἦν, ὥσπερ οὐκ ὀλίγους ἄλλους μετ-

1 De Cajo hoc dici poſt, de Tiberio non item. *Duſ.*
2 SG. non poteſt *νίκαις*, ſed poſt *πολλαῖς* comma ponit.
3 SG. hoc ordine *δισμυρίους Ῥωμαίων στρατιώτας.*
4 Br. ſuſp. *δή*; Duſ. mavult *γε.*
5 Anon. *ἀνέφηνεν*, quod Moſi Duſ. genuinum videtur.
6 Poſt *πρώτοις* aut *Ῥωμαίων* R. deeſſe cenſet *ἄν.*
7 SG. *ἐλλιπής.* Xylandro locus hic videtur mendoſus.
8 Anon. *μαλακίαν*, quod Duſ. ampleſtitur.
9 Poſt h. v. B. 5. inſerit *ἄν.*

μετέστησαν [1] ἐκ τῆς πόλεως. τὸ γὰρ ἄνευ τῆς ἐσχάτης ἀνάγκης ἐπιφέρειν σίδηρον, οὔτ' ἰατρικὸν, οὔτε πολιτικὸν, ἀλλ' ἀτεχνίας μὲν ἀμφότερα· τούτῳ δὲ καὶ τὸ ἀδικεῖν μετ' ὠμότητος πρόσεστι [2]. τῶν δὲ Γράκχων οὐδέτερος μὲν ἦρξατο σφαγῆς ἐμφυλίου· Γάϊος δὲ λέγεται μηδὲ βαλλόμενος ὁρμῆσαι πρὸς ἄμυναν, ἀλλὰ λαμπρότατος ὢν ἐν τοῖς πολεμικοῖς, ἀργότατος ἐν τῇ στάσει γενέσθαι. καὶ γὰρ προῆλθεν ἄνοπλος [3], καὶ μαχομένων ἀνεχώρησε, καὶ ὅλως πλείονα τοῦ μή τι δρᾶσαι πρόνοιαν, ἢ τοῦ μὴ παθεῖν, ἔχων ἑωρᾶτο. διὸ καὶ τὴν φυγὴν αὐτῶν οὐκ ἀτολμίας σημεῖον, ἀλλ' εὐλαβείας, ποιητέον. ἔδει γὰρ ὑπεῖξαι τοῖς ἐπιφερομένοις, ἢ μένοντας ὑπὲρ τοῦ μὴ παθεῖν τῷ δρᾶν [4] ἀμύνασθαι.

V. Τῶν τοίνυν ἐγκλημάτων τῶν κατὰ Τιβερίου μέγιστόν ἐστιν, ὅτι τὸν συνάρχοντα τῆς δημαρχίας ἐξέβαλε, καὶ δευτέραν αὐτὸς τῷ Γαΐῳ [5] δημαρχίαν μετῄει· Γαΐῳ

1 R. fubaudiri vult *Ephori.* Anon. & SG. μετέστησεν, quod Duf. probat.

2 R. ad hunc locum haec habet: „Ita loquitur Plutarchus, ac fi ferro fecans medicus aut in artem peccaret, aut crudelis quidem, verumtamen non injuftus, fed juftus fit. Nam fi ferro in civium corpora graffari non folum crudele, fed etiam iniquum eft, erit medicorum graffatio crudelis quidem, verumtamen jufta & aequa; quafi crudele idem juftumque poffit effe."

3 SG. ἄοπλος.

4 R. mavult τὸ δρῶν (in acc. partic.) partem eam, a qua injuria offertur. SG. τὸ δρᾶν. Huc quoque mihi τὸ δρᾶν referendum videtur, quod in Frft. ind. var. absque nota codicis exhibetur, in Br. autem & nota R. ad vix praemiffum δρᾶσαι refertur, & Vulcobio tribuitur.

5 Deeffe in quodam codice τῷ Γαΐῳ, obfervat Dacer. nomine codicis non addito. Anon. αὐτῷ τῷ Γαΐῳ. De loco ipfo, ut

Γαΐῳ δὲ τὸν Ἀντυλλίου φόνον οὐ δικαίως, οὐδ' ἀληθῶς, προσετρίβοντο· διεφθάρη γὰρ, ἄκοντος αὐτοῦ καὶ ἀγανακτοῦντος. Κλεομένης δ', ἵνα τὰς σφαγὰς [1] τῶν Ἐφόρων ἐάσωμεν, ἠλευθέρωσε μὲν ἅπαντας τοὺς οἰκέτας, ἐβασίλευσε δὲ τῷ μὲν ἔργῳ μόνος, τῷ δ' ὀνόματι δεύτερος, Εὐκλείδαν, τὸν ἀδελφὸν, ἐκ μιᾶς οἰκίας αὐτῷ προσελόμενος. Ἀρχίδαμον δ', ᾧ προσῆκον ἦν, ἀπὸ τῆς ἑτέρας οἰκίας ὄντι, βασιλεύειν [2], ἔπεισε μὲν ἐκ Μεσσήνης κατελθεῖν, ἀποθανόντος δὲ τὸν φόνον οὐκ ἐπεξελθὼν, ἐβεβαίωσε τὴν αἰτίαν καθ' αὑτοῦ τῆς ἀναιρέσεως. καίτοι Λυκοῦργος, ὃν προσεποιεῖτο μιμεῖσθαι, τὴν μὲν βασιλείαν ἑκὼν ἀπέδωκε τῷ παιδὶ τοῦ ἀδελφοῦ, Χαρίλλῳ· φοβούμενος δὲ, μὴ, κἂν ἄλλως ἀποθάνῃ τὸ μειράκιον, αἰτία τις ἐπ' αὐτὸν ἔλθῃ, πολὺν χρόνον ἔξω πλανηθεὶς, οὐ πρότερον ἐπανῆλθεν, ἢ παῖδα τῷ Χαρίλλῳ γενέσθαι, διάδοχον τῆς ἀρχῆς. ἀλλὰ Λυκούργῳ μὲν οὐδ' ἄλλος τις Ἑλλήνων παραβλητὸς οὐδείς. ὅτι δὲ τοῖς Κλεομένους πολιτεύμασι καινοτομίαι καὶ παρανομίαι μείζονες ἔνεισι, δεδήλωται. καὶ μὴν οἵ γε τὸν τρόπον αὐτῶν ψέγοντες, τοῦτον [3] μὲν ἐξ ἀρχῆς τυραννικὸν καὶ πολεμοποιὸν αἰτιῶνται γενέσθαι, τῇ δ' ἐκείνων φύσει φιλοτιμίας ἀμετρίαν,

ut facile patet, corrupto, hanc profert conjecturam Dufoul καὶ ἀντ' αὐτοῦ Μουκίῳ δημαρχίαν μετῄει, aut, missis τῷ Γαΐῳ, δευτέραν αὐτῷ. Hoc posterius amplectitur Kind. R. ita fusp. καὶ Γαΐου (scil. μέγιστόν ἐστι τῶν ἁμαρτημάτων) ὅτι δευτέραν αὐτὸς αὑτῷ δημαρχίαν μετῄει — *Caji autem in peccatis hoc est maximum, quod secundum tribunatum ambiit.* Ita vertit Schiach.

1 B. 5. τὰς φυγάς.

2 H. Steph. cod. & SG. συμβασιλεύειν.

3 Junt. Ald. Crat. B. 5. & SG. τούτοις exhibent, quod & Interpretes omnes sequuntur. Steph. prima dedit τοῦτον, ut Cleomenes solus innuatur; id quod Mosi Duf. probandum videtur, phrasin τρόπον πολεμοποιὸν duram censenti.

τρίαν, ἄλλο δ' ἐδὲν οἱ φθονᾶντες ἐπικαλεῖν εἶχον· ἐκριπιθέντας δὲ τῷ πρὸς τὲς ἐνιςαμένες ἀγῶνι καὶ θυμῷ παρὰ τὴν αὐτῶν [1] φύσιν, ὥσπερ πνοαῖς ἐφεῖναι περὶ τὰ ἔχατα τὴν πολιτείαν ὡμολόγεν. ἐπεὶ τῆς γε πρώτης ὑποθέσεως τί κάλλιον, ἢ δικαιότερον, ἦν, εἰ μὴ κατὰ βίαν καὶ δυναςείαν ἐπιχειρήσαντες ἐξῶσαι τὸν νόμον οἱ πλέσιοι, περιέςησαν ἀμφοτέροις ἀγῶνας, τῷ μὲν φοβεμένῳ ὑπὲρ αὐτὲ, τῷ δ' ἐκδικᾶντι τὸν ἀδελφὸν ἄνευ δίκης καὶ δόγματος, ἐδ' ὑπ' ἄρχοντος [2] ἀναιρεθέντα; συνορᾷς μὲν ἐν καὶ αὐτὸς [3] ἐκ τῶν εἰρημένων τὴν διαφοράν. εἰ δὲ δεῖ καὶ καθ' ἕκαςον [4] ἀποφήναθαι, Τιβέριον μὲν ἀρετῇ πεπρωτευκέναι τίθημι πάντων, ἐλάχιςα δὲ τὸ μειράκιον ἡμαρτηκέναι Ἆγιν [5], πράξει δὲ καὶ τόλμῃ Γάϊον ἐκ ὀλίγῳ Κλεομένες ὕςερον γεγονέναι.

ΔΗΜΟ-

1 In ind. Frft. extat lect. var. absque nota codicis παρὰ τὴν αὐτᾶ, quae in Br. ind. Anon. tribuitur. Pari modo enotatur in priori ἀφεῖναι pro seq. ἐφεῖναι, absque cod. nota; in posteriori autem una cum seq. lect. var. Anon. πρὸς pro περὶ ejusdem esse innuitur. Probat autem Duf. ἀφεῖναι πρὸς τ. ἐ.

2 Sic R. dedit — *ne a magistratu quidem*, vel *ne a viro quidem honorem gerente*, pro vulg. ὑπάρχοντος una voce.

3 Sic legi in quibusdam, H. Steph. testatur, & est in SG. nec non in Frft. absque nota codicis, in Br. autem V. — & sic R. dedit pro vulg. ἐν αὐτὸς, omisso καὶ. Compellat in his Plut. Sossium Senecionem.

4 SG. uno vocabulo καθέκαςον.

5 SG. ἐλάχιςα δὲ ἡμαρτηκέναι τὸ μειράκιον Ἆγιν.

# ΔΗΜΟΣΘΕΝΗΣ. [1]

Ὁ μὲν γράψας τὸ ἐπὶ τῇ νίκῃ τῆς Ὀλυμπιάσιν ἱπποδρομίας εἰς Ἀλκιβιάδην ἐγκώμιον, εἴτ' Εὐριπίδης [2], (ὡς ὁ πολὺς κρατεῖ λόγος) εἴθ' ἕτερός τις ἦν, Σόσσιε, φησὶ χρῆναι τῷ εὐδαίμονι πρῶτον ὑπάρξαι τὴν πόλιν εὐδόκιμον [3]. ἐγὼ δὲ τῷ μὲν εὐδαιμονήσειν μέλλοντι τὴν ἀληθινὴν εὐδαιμονίαν, ἧς ἐν ἤθει καὶ διαθέσει τὸ πλεῖστόν ἐστιν, οὐδὲν διαφέρειν [4] ἡγοῦμαι, ἀδόξου καὶ ταπεινῆς πατρίδος, ἢ μητρὸς ἀμόρφου καὶ μικρᾶς γενέσθαι. γελοῖον γάρ, εἴ τις οἴοιτο, τὴν Ἰουλίδα [5], μέρος μικρὸν οὖσαν οὐ μεγάλης νήσου, τῆς Κέω, καὶ τὴν Αἴγιναν [6], ἣν τῶν Ἀττικῶν [7] τις ἐκέλευεν ὡς λήμην ἀφαι-

1 Philippi & Alexandri M. aetate vixisse Demosthenem, Athenlensem oratorem, neque multo post hujus obitum tempore periisse, res est non obscura. *Xyl.*

2 Alcibiades ad ludos Olympicos septem currus misit, palmasque retulit primam secundam & tertiam, secundum Euripidis carmen Epinicium, quod iterum citat Noster in *Alcibiade*, (c. XI. cf. T. II. p. 13.) Sententiam hic memoratam Amm. Marcellinus *Simonidi* tribuit. B.

3 In quibusdam legi εὐδαίμονα, testis est H. Steph.

4 R. susp. οὐδὲν μᾶλλον διαφέρειν.

5 Cei, insulae in mari Aegeo, & ex earum numero, quae Cyclades vocantur, urbs praecipua erat Iulis, patria Simonidis & Bacchylidis, Poëtarum. B. Hinc Aristo Ceus Diogeni Laërtio Ἰουλιήτης dicitur, L. VII. Br. & Dus.

6 In Aegina natus est Polus histrio, & (ut quibusdam videtur) Aristophanes Comicus. Insula est in sinu Saronico, inter Athenas & Epidaurum sita. Porro Aegina illa ἀρίστους ἥρωας θρέψασα apud *Pindar. Pyth.* 8. Plutarchi temporibus infamis erat. Cf. Plut. Sympos. l. 5. B.

7 Pericles scilicet, testibus *Aristot.* Rhet. 3. c. 10. & *Plutarcho* in Pericle (T. I. c. 8. pag. 390.) Dubitari interea potest, utrum Plutarchus mentem Periclis satis assecutus fuerit; qui fortasse non tam Aeginam notare voluit, ut insulam vilem &

ἀφαιρεῖν τῆ Πειραιῶς, ὑποκριτὰς μὲν ἀγαθὲς τρέφειν καὶ ποιητὰς, ἄνδρα δ' ὲκ ἄν ποτε δύναθαι δίκαιον καὶ αὐτάρκη καὶ νῦν ἔχοντα καὶ μεγαλόψυχον προενεγκεῖν [1]. τὰς γὰρ ἄλλας τέχνας εἰκός ἐςι πρὸς ἐργασίαν, ἢ δόξαν, συνιςαμένας [2] ἐν ταῖς ἀδόξοις καὶ ταπειναῖς πόλεσιν ἀπομαραίνεθαι, τὴν δ' ἀρετὴν, ὥσπερ ἰχυρὸν καὶ διαρκὲς Φυτὸν, ἐν ἅπαντι ῥιζῦθαι τόπῳ, Φύσεώς τε [3] χρηςῆς καὶ Φιλοπόνε ψυχῆς ἐπιλαμβανομένην. ὅθεν ὐδ' ἡμεῖς, εἰ τῦ Φρονεῖν, ὡς δεῖ, καὶ βιῦν ἐλλείπομεν, τῦτο τῇ σμικρότητι τῆς πατρίδος, ἀλλ' αὐτοῖς δικαίως αναθήσομεν.

II. Τῷ μέντοι σύνταξιν ὑποβεβλημένῳ καὶ ἱςορίαν ἐξ ὐ προχείρων, ὐδ' οἰκείων, ἀλλὰ ξένων τε τῶν πολλῶν καὶ διεσπαρμένων ἐν ἑτέροις συνιῦσαν ἀναγνωσμάτων, τῷ ὄντι χρὴ πρῶτον ὑπάρχειν καὶ μάλιςα τὴν πόλιν εὐδόκιμον καὶ Φιλόκαλον καὶ πολυάνθρωπον, ὡς βιβλίων τε παντοδαπῶν ἀφθονίαν ἔχων [4], καὶ ὅσα τὺς γρά-

& exiguam, qua amota jucundior e Piraeo fieret profpectus, quam gentem rei nauticae peritiffimam, quae non femel Athenienfium claffem acie fuderat, longius amoliri, & tam molefta vicinitate Piraeum liberare. Certe conftat, Pericle adhuc vivo, anno belli Peloponnefiaci primo, expulfis incolis, coloniam Athenienfium fuiffe in Aeginam deductam. λῆμαι apud Hippocratem funt fordes oculorum lippientium, cum lachryma & pituita concrefcit. Lemae & gramiae Latinis dicuntur. Plin. H. N. l. 23. c. 1. & 25. c. 13. B. — E V. enotatur: ὡς λήμην τῦ Πειρεῶς περιελεῖν.

1 Sola in Barton. ed. προσενεγκεῖν, haud dubie ex mendo typographico.

2 R. ad haec ita: Artes, pro modo quaeftus, aut gloriae, coalefcentes, appellat eas, quae alicubi aut in ufu funt, modico, crebrove, aut nullo, prout illud oppidum aut negotiationis exercitatione fervet, caretve, aut gloria floret, aut inglorium & ignobile eft.

3 Br. mavult γε pro τε.

4 Sic R. de fuo dedit pro vulg. ἔχων, ut fit conftructio: ὡς (i. e. ὅπως) *quo fcriptor opus edat non prorfus macrum & parti-*

γράφοντας διαφεύγοντα [1] σωτηρίᾳ μνήμης ἐπιφανεστέραν [2] εἴληφε πίστιν, ὑπολαμβάνων ἀκοῇ καὶ διαπυνθανόμενος, μὴ πολλῶν, μηδ᾽ ἀναγκαίων ἐνδεὲς ἀποδιδοίη τὸ ἔργον. ἡμεῖς δὲ μικρὰν οἰκοῦντες πόλιν, καὶ, ἵνα μὴ μικροτέρα γένηται, φιλοχωροῦντες, ἐν δὲ Ῥώμῃ καὶ ταῖς περὶ τὴν Ἰταλίαν διατριβαῖς οὐ σχολῆς οὔσης γυμνάζεσθαι περὶ τὴν Ῥωμαϊκὴν διάλεκτον, ὑπὸ χρειῶν πολιτικῶν καὶ τῶν διὰ φιλοσοφίαν πλησιαζόντων, ὀψέ ποτε καὶ πόῤῥω τῆς ἡλικίας ἠρξάμεθα [3] Ῥωμαϊκοῖς γράμμασιν ἐντυγχάνειν. καὶ πρᾶγμα θαυμαστὸν μὲν, ἀλλ᾽ ἀληθὲς ἐπάσχομεν. οὐ γὰρ οὕτως ἐκ τῶν ὀνομάτων τὰ πράγματα συνιέναι καὶ γνωρίζειν συνέβαινεν ἡμῖν, ὡς [4] ἐκ τῶν πραγμάτων, ὧν ἀμωσγέπως εἴχομεν ἐμπειρίαν, ἐπακολουθεῖν διὰ ταῦτα καὶ τοῖς ὀνόμασι. κάλλους δὲ Ῥωμαϊκῆς ἀπαγγελίας καὶ τάχους [5] αἰσθάνεσθαι, καὶ μεταφορᾶς ὀνομάτων καὶ ἁρμονίας, καὶ τῶν ἄλλων, οἷς ὁ

R 2 λόγος

*partibus omnibus defectum, sed paulo plenius atque copiosius, utpote copiis librorum affluens, & numero virorum doctorum, quorum ex ore excipiat atque eliciat ea, si quae memoriarum scriptarum auctores effugere.*

1 Anon. διαφυγόντα, quod Duf. probat.

2 R. mavult ἐπιφανεστέρας in gen. — *eo, quod a memoria illustriore* (h. e. a memoria viri illustrioris, illa adhuc infixa memoriae suae tenentis) *conservantur.*

3 Sic ex Br. conjectura R. dedit pro vulg. ἠψάμεθα. Idem in margine editionis hujus vitae per Lambin. Paris. 1570. notatum se vidisse, monet B.

4 Vulgo hic locus ita extat: ὡς ἐκ τῶν πραγμάτων ἀμωσγέπως εἴχομεν ἐμπειρίας. Stare non posse hanc lectionem, H. Steph. jam monuit, quaerens, num legendum: ὡς ἐξ ἧς τῶν πραγμάτων ἀμωσγέπως εἴχομεν ἐμπειρίας. R. de suo dedit, quod nunc legitur.

5 R. vox τάχος, si bene habeat, *numerum oratorium* significare videtur, quem tamen potius vocabulo ἁρμονίας designari monet. Quaerit, num τόνου, an βάθους sit legendum? — Bartono judice, τῆς ἀπαγγελίας τάχος est ipsius orationis rapiditas, cum numeris quam maxime dactylicis incedit.

λόγος ἀγάλλεται, χάριεν μὲν ἡγέμεθα καὶ ἐκ ἀτερπές· ἡ δὲ πρὸς τῦτο μελέτη καὶ ἄσκησις ἐκ εὐχερὴς, ἀλλ' οἷς τισι πλείων τε χολὴ καὶ τὰ τῆς ὥρας ἔτι πρὸς τὰς τοιαύτας ἐπιχωρεῖ Φιλοτιμίας.

III. Διὸ καὶ γράφοντες ἐν τῷ βιβλίῳ τέτῳ, τῶν παραλλήλων [βίων [1]] ὄντι πέμπτῳ, περὶ Δημοσθένες καὶ Κικέρωνος, ἀπὸ τῶν πράξεων καὶ τῶν πολιτειῶν τὰς Φύσεις αὐτῶν καὶ τὰς διαθέσεις πρὸς ἀλλήλας ἐπισκεψόμεθα· τὸ δὲ τὲς λόγες ἀντεξετάζειν, καὶ ἀποφαίνεσθαι, πότερος ἡδίων, ἢ δεινότερος εἰπεῖν, ἐάσομεν. Κἀκεῖ [2] γὰρ, ὥς Φησιν ὁ Ἴων, δελΦῖνος ἐν χέρσῳ βία. ἣν ὁ περιττὸς ἐν ἅπασι Καικίλιος [3] ἀγνοήσας, ἐνεανιεύσατο σύγκρισιν τῦ Δημοσθένες καὶ Κικέρωνος ἐξενεγκεῖν. ἀλλὰ γὰρ ἴσως, εἰ παντὸς ἦν τὸ Γνῶθι σαυτὸν ἔχειν πρόχειρον, ἐκ ἂν ἐδόκει πράσταγμα θεῖον εἶναι. Δημοσθένη γὰρ καὶ Κικέρωνα τὸν αὐτὸν [4] ἔοικε πλάττων ἀπ'

1 R. uncis inclufit hanc vocem, utpote quae abfit a Junt. & facile abeffe poffit. Nec eft in Ald. & Crat.

2 Grotius, notante Duf. maluit κεῖται; ipfe Duf. autem κακῇ legendum, & ἢ ante δελΦῖνος inferendum cenfuit. R. tuetur vulgatam, ita vertendo: *Etiam hic, etiam hoc in negotio, ufu venit Ionis: Delphin in terra continente* — hoc eft, homo verfans in negotio, feu fponte fua feu juffu & coactu alieno, cujus negotii eft alienus, h. e. ἀπορῶν καὶ ἀμηχανῶν. Xyl. his vocibus proverbium contineri annotat, quo uti poffumus, quoties rem nobis inauditam ea ratione recufamus, quod ad eam peragendam vires nobis aut peritia defit, aut ea a natura noftra, vel inftituto fit aliena. Delphinus, pifcis in mari praevalidus, in terra nihil valet. Proverbium fimile apud Livium: Cantherium in foffa. — *Ion*, Poëta & Philofophus Chius, Odas fcripfit & Tragoedias; floruit circa Olymp. 82. Cf. Aelian. V. H. 2, 41.

3 B. 3. Κεκίλιος. Sic quoque fcribitur in Ald. Junt. Crat. & apud Longinum. De hoc Caecilio Siculo vel Calantiano (eft Calantis urbs Siciliae) qui fub Augufto floruit, cf. Voff. de Hift. Gr. L. I. c. 178.

4 Duf. legendum cenfuit ὁ αὐτὸς, & ὁ ante Δαίμων tollendum,

ἀπ' ἀρχῆς ὁ δαίμων, πολλὰς μὲν ἐμβαλεῖν εἰς τὴν Φύσιν αὐτῶν τῶν ὁμοιοτήτων, ὥσπερ τὸ Φιλότιμον καὶ Φιλελεύθερον ἐν τῇ πολιτείᾳ, πρὸς δὲ κινδύνȣς καὶ πολέμȣς ἄτολμον· πολλὰ δ' ἀναμίξαι καὶ τῶν τυχηρῶν. δύο γὰρ ἑτέρȣς ἐκ ἂν εὑρεθῆναι δοκῶ ῥήτορας, ἐκ μὲν ἀδόξων καὶ μικρῶν ἰχυρȣ̀ς καὶ μεγάλȣς γενομένȣς, προσκρȣ́σαντας δὲ βασιλεῦσι καὶ τυράννοις, θυγατέρας δ' ἀποβαλόντας, ἐκπεσόντας δὲ τῆς πατρίδος, κατελθόντας δὲ μετὰ τιμῆς· ἀποδράντας δ' αὖθις, καὶ ληφθέντας ὑπὸ τῶν πολεμίων· ἅμα δὲ παυσαμένῃ τῇ τῶν πολιτῶν ἐλευθερίᾳ τὸν βίον συγκαταστρέψαντας. ὥστ', εἰ γένοιτο τῇ Φύσει καὶ τῇ τύχῃ [1], καθάπερ τεχνίταις, ἅμιλλα, χαλεπῶς μὲν ἂν διακριθῆναι, πότερον αὕτη [2] τοῖς τρόποις, ἢ τοῖς πράγμασιν ἐκείνη, τȣ̀ς ἄνδρας ὁμοιοτέρȣς ἀπείργασαι. λεκτέον δὲ περὶ τȣ̃ πρεσβυτέρȣ πρότερον.

IV. Δημοσθένης, ὁ πατὴρ Δημοσθένȣς, ἦν μὲν τῶν καλῶν καὶ ἀγαθῶν ἀνδρῶν [3], ὡς ἱστορεῖ Θεόπομπος· ἐπε-



dum, & pro γὰρ ſcribendum γȣ̃ν, aut ſaltim γε. Barton in textum recepit ὁ αὐτὸς ſalvis reliquis, haec annotans: ,,Codd. impreſſi (praeter unam editionem Feliciani) habent τὸν αὐτὸν, quae mea quidem ſententia (etiamſi per Ellipſin duriusculam τρόπον intelligas) locutio a Graecae linguae conſuetudine aliena eſt, & aliquod majus innuit, quam ea, quae ſequuntur, πολλὰς ὁμοιοτήτων. Locum ita emendandum viderunt etiam Wolfius & Duſoul.“ R. τὸν αὐτὸν tuetur, ſed ita ſcribendum ei videtur Δημοσθένει καὶ γὰρ Κικέρωνι νȣ̃ν τὸν αὐτὸν, *numen, vel genius, qui Demoſthenem, quique Ciceronem primitus formavit, eandem ambobus mentem videtur confinxiſſe, vel indidiſſe a ſe formatam.* Pro ſeq. αὐτῶν B. 3. αὐτῷ.

1 Vocabulum τύχῃ deeſt Juntinae.

2 αὕτη redit ad naturam; ἐκείνη, quod ſequitur, ad fortunam — ut interdum apud Plutarchum. R.

3 Xyl. monente, καλοὶ κἀγαθοὶ cives apud Athenienſes erant ii, quales Romani vocant optimates, a plebe ſejuncti, & in republ. priores. Ergo h. l. non tam vitae, quam ordinis in rep. ratio

ἐπεκαλεῖτο δὲ μαχαιροποιὸς, ἐργαςήριον ἔχων μέγα, καὶ δούλους τεχνίτας τοῦτο πράττοντας. ἃ δ' Αἰσχίνης, ὁ ῥήτωρ, εἴρηκε [1] περὶ τῆς μητρὸς, ὡς ἐκ Γύλωνός [2] τινος, ἐπ' αἰτίᾳ προδοσίας Φυγόντος ἐξ ἄςεος, ἐγεγόνει [3], καὶ βαρβάρου γυναικὸς, οὐκ ἔχομεν εἰπεῖν, εἴτ' ἀληθῶς εἴρηκεν, εἴτε βλασΦημῶν καὶ καταψευδόμενος. ἀπολειΦθεὶς [4] δ' ὁ Δημοσθένης ὑπὸ τοῦ πατρὸς ἑπταέτης ἐν εὐπορίᾳ (μικρὸν γὰρ ἀπέλιπεν ἡ σύμπασα τίμησις αὐτοῦ τῆς οὐσίας πεντεκαίδεκα ταλάντων) ὑπὸ τῶν ἐπιτρόπων ἠδικήθη, τὰ μὲν νοσΦισαμένων, τὰ δ' ἀμελησάντων· ὥςε καὶ τῶν διδασκάλων αὐτοῦ τὸν μισθὸν ἀποςερῆσαι. διά τε δὴ τοῦτο τῶν ἐμμελῶν καὶ προσηκόντων ἐλευθέρῳ παιδὶ μαθημάτων [5] ἀπαίδευτος δοκεῖ γενέσθαι, καὶ διὰ τὴν τοῦ σώματος ἀσθένειαν καὶ θρύψιν, οὐ προσιεμένης [6] τοῖς πόνοις τῆς μητρὸς αὐτὸν, οὐδὲ προσβιαζομένων τῶν παιδαγωγῶν. ἦν γὰρ ἐξ ἀρχῆς κάτισχνος καὶ νοσώδης, καὶ τὴν λοιδορουμένην ἐπωνυμίαν, τὸν Βάταλον [7], εἰς τὸ σῶμα λέγεται σκωπτόμενος ὑπὸ τῶν παί-

ratio indicatur. Ita saepius apud Plut. καλοὶ κἀγαθοὶ opponuntur τῷ δήμῳ, uti apud alios.

1 in orat. adv. Ctesiph. Xyl.

2 Gylon Ceramensis Demosthenis avus maternus capitis damnatus, quod Nymphaeum hostibus prodidisset, profugit ad Bosporum, ubi Scythicam mulierem magna cum dote uxorem duxit. Ea duas peperit filias, quarum alteram (Cleobulen) uxorem habuit Demosthenes pater. B.

3 V. & B. 3. γεγόνοι, quod B. rectius esse suspicatur.

4 Junt. Ald. Crat. ἀποληΦθεὶς. Steph. correxit.

5 Intelligendae sunt non tam artes liberales, Philosophiae & literarum studia (haec enim illi minime defuerunt) quam τὰ γυμνάσια. B. Pro ἐλευθέρῳ B. 3. ἐν ἐλευθέρῳ.

6 Sic R. de suo dedit pro vulg. προϊεμένης.

7 Bartono judice, veritati propius videtur, hoc nomen dictum fuisse in vestitum Demosthenis, si non prorsus muliebrem, molliorem tamen & nimis elegantem. Cf. Suid. & Scriptor vit. 10 Rhetorum; Aeschin. in Timarch. Gell. N. A. l. 1. c. 5. Lucian. πρ. ἀπαιδ. c. 23. Liban. in vita Demosth.

παίδων λαβεῖν. ἦν δ' ὁ Βάταλος, ὡς μὲν ἔνιοι φασὶν, αὐλητὴς τῶν κατεαγότων· καὶ δραμάτιον εἰς τȣτον [1], κωμῳδῶν αὐτὸν, Ἀντιφάνης πεποίηκεν. ἔνιοι δέ τινες [2] ὡς ποιητȣ τρυφερὰ καὶ παροίνια [3] γράφοντος τȣ Βατάλȣ μέμνηνται. δοκεῖ δὲ καὶ τῶν ȣκ εὐπρεπῶν τι λεχθῆναι τȣ σώματος μορίων παρὰ τοῖς Ἀττικοῖς τότε καλεῖσθαι βάταλος. ὁ δ' Ἄργας [4] (καὶ τȣτο γάρ φασι τῷ Δημοσθένει γενέσθαι παρώνυμον) ἢ πρὸς τὸν τρόπον, ὡς θηριώδη [5] καὶ πικρὸν, ἐτέθη· τὸν γὰρ ὄφιν ἔνιοι τῶν ποιητῶν ἄργαν ὀνομάζȣσιν· ἢ πρὸς τὸν λόγον, ὡς ανιῶντα τȣς ἀκροωμένȣς. καὶ γὰρ Ἄργας τȣ̓́νομα ποιητὴς [6] ἦν νόμων πονηρῶν καὶ ἀργαλέων. καὶ ταῦτα μὲν ταύτῃ [7], κατὰ Πλάτωνα.

V. Τῆς δὲ πρὸς τȣς λόγȣς ὁρμῆς ἀρχὴν αὐτῷ φασι τοιαύτην γενέσθαι. Καλλιςράτȣ [8], τȣ ῥήτορος, ἀγωνίζε-



1 *in hunc Batalum.* Sic R. de suo dedit pro vulg. εἰς τȣτο.

2 R. quaerit, num τινες delendum, an ἔνιοι cum τινες copulari soleat? Mihi quidem ἔνιοι ex praemissis male repetitum videtur, pro ἄλλοι.

3 R. quaerit, num πάροινα, cum hoc adject. norit, non παροίνιος? Eidem post γράφοντας videtur deesse ᾄσματα.

4 Cf. Hippocr. de morb. vulg. l. 5. & Hesych. in voc. Ἄργας & Ἀργὺς.

5 Veteres amaram & morosam indolem serpenti comparare soliti sunt. Aliam hujus cognominis causam excogitavit *Palmer.* Exerc. p. 281. Fabula, inquit, nos docet, serpentem gelu constrictum & fere mortuum a viatore acceptum & proprio sinu fotum, eum statim momordisse. Ideo Rhetor, qui tutores suos, statim ac vir factus est, accusavit, ita dictus est. Actionem in tutores ansam dedisse huic appellationi confirmat Aeschin. περὶ παραπ. c. 31. B.

6 Vid. Phaniae Eressii lib. contra Sophistas apud *Athenaeum Deipno.* l. 14. c. 9

7 Formula transitionis, qua & alibi Plut. utitur.

8 Callistratus Aphidnaeus, Callicratis filius, circa pugnam Leuctricam floruit, orator sui temporis praestantissimus, in accusan-

νίζεσθαι τὴν περὶ Ὠρωπȣ̃ [1] κρίσιν ἐν τῷ δικαςηρίῳ μέλλοντος, ἦν προσδοκία τῆς δίκης μεγάλη, διά τε τὴν τȣ̃ ῥήτορος δύναμιν, ἀνθȣ̃ντος τότε μάλιςα τῇ δόξῃ, καὶ διὰ τὴν πρᾶξιν, ȣ̃σαν περιβόητον. ἀκȣ́σας ȣ̃ν ὁ Δημοσθένης τῶν διδασκάλων καὶ τῶν παιδαγωγῶν συντιθεμένων τῇ δίκῃ παρατυχεῖν, ἔπεισε τὸν ἑαυτȣ̃ παιδαγωγὸν δεόμενος καὶ προθυμȣ́μενος, ὅπως αὐτὸν ἀγάγοι πρὸς τὴν ἀκρόασιν. ὁ δ' ἔχων πρὸς τȣ̀ς ἀνοίγοντας τὰ δικαςήρια δημοσίȣς συνήθειαν, εὐπόρησε χώρας, ἐν ᾗ καθήμενος ὁ παῖς ἀδήλως ἀκȣ́σεται τῶν λεγομένων. εὐημερήσαντος δὲ τȣ̃ Καλλιςράτȣ, καὶ θαυμασθέντος ὑπερφυῶς, ἐκείνȣ μὲν ἐζήλωσε τὴν δόξαν, ὁρῶν προπεμπόμενον ὑπὸ τῶν πολλῶν [2] καὶ μακαριζόμενον· τȣ̃ δὲ λόγȣ μᾶλλον ἐθαύμασε [3] τὴν ἰσχὺν, πάντα χειρȣ̃σθαι καὶ τιθασσεύειν πεφυκότος. ὅθεν ἐάσας τὰ λοιπὰ μαθήματα, καὶ τὰς παιδικὰς διατριβὰς, αὐτὸς αὐτὸν ἤσκει καὶ

cusando praecipue acerbus. Tandem communi oratorum Atheniensium fato in Macedonia exsulavit, & urbem in Thracia condidit. Delphico oraculo deceptus Athenas rediit. Sed eum populus ab asylo templi abreptum morte affecit. B.

1 Oropus urbs erat in Euripi littore sita, Atticae & Boetitiae media. Hanc Themison Eretriensis & Theodorus collecta exsulum manu occuparunt, & cum se ab Atheniensibus expulsos fore viderent, Thebanorum auxilium imploravere. Athenienses autem, jure potius, quam armis decernendum rati, oppidum Thebanorum fidei, tanquam depositum commendaverunt, donec in publico Graecorum concilio res judicaretur. Thebani urbe potiti, eam reddere recusarunt. Chabriam ergo accusavit Callistratus, ejus perfidia aut negligentia oppidum ab Atheniensibus ereptum suisse causatus. Dicta est haec causa Olymp. 103. An. 3. cum Demosthenes aetatis annum ageret decimum sextum.

2 Br. susp. πολιτῶν. Sed Bartono judice, nil opus mutatione.

3 V. & Anon. addunt καὶ κατενόησε, quod Duf. genuinum putat, utpote de Adolescentulo dictum.

καὶ διεπόνει ταῖς μελέταις, ὡς τῶν λεγόντων ἐσόμενος [1]. ἐχρήσατο δ' Ἰσαίῳ [2] πρὸς τὸν λόγον ὑφηγητῇ, καίπερ Ἰσοκράτȣς τότε σχολάζοντος [3], εἴτε, ὥς τινες λέγȣσι, τὸν ὡρισμένον μισθὸν Ἰσοκράτει τελέσαι μὴ δυνάμενος [4], τὰς δέκα μνᾶς, διὰ τὴν ὀρφανίαν· εἴτε μᾶλλον τȣ̃ Ἰσαίȣ τὸν λόγον, ὡς δραστήριον καὶ πανȣ̃ργον ἐπὶ τὴν χρείαν, ἀποδεχόμενος. Ἕρμιππος [5] δέ φησιν ἀδεσπότοις ὑπομνήμασιν ἐντυχεῖν, ἐν οἷς ἐγέγραπτο, τὸν Δημοσθένη συνεσχολακέναι Πλάτωνι [6], καὶ πλεῖστον εἰς τȣ̀ς λόγȣς ὠφελῆσθαι [7]. Κτησιβίȣ [8] δὲ μέμνηται λέγοντος, παρὰ Καλ-



1 V. addit καὶ αὐτὸς, quod addi vult Duſ. Eſt quidem haec ejusdem annotatio, quam R. repetit. At in ind. var. Frſt. e V. enotatur καὶ αὐτὸν, ex Anon. καὶ αὐτὸς; apud utrumque nec extat interpunctio ante, nec poſt has voces, cum ſeq. voce conjunctas. In Br. ind. utraque lectio Vulcobio tribuitur.

2 Iſaeus Demoſthenis praeceptor & hoc maxime nomine illuſtris, Chalcide, ut quibusdam videtur, oriundus, rhetor erat Athenis, unusque ex illis decem. Floruit poſt bellum Peloponneſiacum ad imperium usque Philippi. Extant ejus orationes decem. B.

3 R. judice, ſententia poſtulat ἀκμάζοντος, *florente*; niſi ſi σχολάζειν h. l. ſignificare contendamus *ſcholam aperire, profiteri rhetorem, vacare ſtudiis tironum erudiri cupientium*, quod frequentatum fuiſſe de magiſtro ludum vulgante, ex verbo infra obvio συσχολάζειν de tirone, operam illi magiſtro dante, colligi poteſt.

4 Non conveniunt huic loco ea, quae Plut. in vita Iſaei refert, Demoſthenem Iſaeo centum minas dediſſe, quem prius dixerat ne decem quidem habere, quas daret Iſocrati. *Dacer. Bart.*

5 Hermippus hiſtoricus, Smyrna oriundus, ſub Evergete Ptolemaeo floruiſſe creditur. Vitas ſcripſit hominum, eruditione inſignium. Cf. Voſſ. de Hiſt. Gr.

6 Idem affirmat Cicero pluribus locis.

7 Sic cum B. 3. dedit R. pro vulg. ὠφελεῖσθαι.

8 Cteſibii aetas incerta eſt. Ultra centum annos vixiſſe teſtatur *Lucian. in Macrob.* Scripſit περὶ φιλοσοφίας. B.

Καλλίȣ [1] τȣ̃ Συρακȣσίȣ, καί τινων ἄλλων, τὰς Ἰσοκράτȣς τέχνας καὶ τὰς Ἀλκιδάμαντος [2] κρύφα λαβόντα τὸν Δημοσθένη καταμαθεῖν.

VI. Ὡς γȣ̃ν ἐν ἡλικίᾳ γενόμενος τοῖς ἐπιτρόποις ἤρξατο δικάζεσθαι, καὶ λογογραφεῖν ἐπ' αὐτȣ̀ς, πολλὰς διαδύσεις καὶ παλινδικίας εὑρίσκοντας, ἐγγυμνασάμενος, κατὰ τὸν Θȣκυδίδην, ταῖς μελέταις [3], ȣ̓κ ἀκινδύνως, ȣ̓δ' ἀργῶς, κατευτυχήσας, ἐκπρᾶξαι μὲν ȣ̓δὲ πολλοσὸν ἠδυνήθη μέρος τῶν πατρῴων· τόλμαν δὲ πρὸς τὸ λέγειν καὶ συνήθειαν ἱκανὴν λαβὼν, καὶ γευσάμενος τῆς περὶ τȣ̀ς ἀγῶνας φιλοτιμίας καὶ δυνάμεως, ἐπεχείρησεν εἰς μέσον παριέναι, καὶ τὰ κοινὰ πράττειν. καὶ καθάπερ Λαομέδοντα τὸν Ὀρχομένιον λέγȣσι καχεξίαν τινὰ σπληνὸς ἀμυνόμενον δρόμοις μακροῖς χρῆσθαι, τῶν ἰατρῶν κελευσάντων, εἶθ' ȣ̔́τως διαπονήσαντα τὴν ἕξιν ἐπιθέσθαι τοῖς στεφανίταις ἀγῶσι, καὶ τῶν ἄκρων γενέσθαι δολιχοδρόμων· ȣ̔́τως τῷ Δημοσθένει συνέβη, τὸ πρῶτον ἐπανορθώσεως ἕνεκα τῶν ἰδίων ἀποδύντι πρὸς τὸ λέγειν, ἐκ δὲ τȣ́τȣ κλησαμένῳ δεινότητα καὶ δύναμιν, ἐν τοῖς πολιτικοῖς ἤδη, καθάπερ στεφανίταις, ἀγῶσι πρωτεύειν τῶν ἀπὸ τȣ̃ βήματος ἀγωνιζομένων πολιτῶν. καίτοι τὸ πρῶτον ἐντυγχάνων τῷ δήμῳ θορύβοις περιέπιπτε,

1 Bartono judice, ratio temporum vix patitur, ut Callias iste, qui res gestas Agathoclis descripsit, possit esse Demostheni puero familiaris. Probaret inde, quae reddit Interpres Anglicanus eo sensu: *Ctesibius retulit id quod a Callia aliisque scriptum accepit, Demosthenem* &c. nisi vulgatam interpretationem confirmaret *Scriptor vit.* 10. *Rhet.*

2 Alcidamas Eleates, Isocratis aequalis, quem Plato Palamedem appellavit, artem rhetoricam scripsit. Quintil. Inst. Or. l. 3. c. 1. Exstant sub ejus nomine oratiunculae duae.

3 Bart. leg. susp. ἐγγυμν. ταῖς εἰς τὸν Θȣκυδίδην μελέταις, ut sensus sit, *Demosthenem quo tempore tutores in judicium vocavit, summo studio in Thucydidis scriptis fuisse versatum.* Octies ab eo sua manu Thucydidem esse descriptum, testatur Lucian. πρ. ἀπαιδ.

πιπτε, καὶ κατεγελᾶτο δι' ἀήθειαν τȣ̃ λόγȣ, συγκεχύσθαι ταῖς περιόδοις καὶ βεβασανίσθαι τοῖς ἐνθυμήμασι πικρῶς [1] ἄγαν καὶ κατακόρως δοκȣ̃ντος. ἦν δέ τις, ὡς ἔοικε, καὶ φωνῆς ἀσθένεια, καὶ γλώττης ἀσάφεια, καὶ πνεύματος κολοβότης, ἐπιταράττȣσα τὸν νȣ̃ν τῶν λεγομένων τῷ διασπᾶσθαι τὰς περιόδȣς. τέλος δ' ἀποστάντα τȣ̃ δήμȣ, καὶ ῥεμβόμενον ἐν Πειραιεῖ δι' ἀθυμίαν, Εὔνομος ὁ Θριάσιος, ἤδη πάνυ γέρων, θεασάμενος ἐπετίμησεν, ὅτι τὸν λόγον ἔχων ὁμοιότατον τῷ Περικλέȣς, προδίδωσιν ὑπ' ἀτολμίας καὶ μαλακίας ἑαυτὸν, ȣ̃τε τȣ̀ς ὄχλȣς ὑφιστάμενος εὐθαρσῶς, ȣ̃τε τὸ σῶμα πρὸς τȣ̀ς ἀγῶνας ἐξαρτυόμενος, ἀλλὰ τρυφῇ περιορῶν μαραινόμενον.

VII. Πάλιν δέ ποτε φασὶν, ἐκπεσόντος αὐτȣ̃, καὶ ἀπιόντος οἴκαδε συγκεκαλυμμένȣ καὶ βαρέως φέροντος, ὑπακολȣθῆσαι Σάτυρον [2], τὸν ὑποκριτὴν, ἐπιτήδειον ὄντα, καὶ συνελθεῖν. ὀδυρομένȣ δὲ τȣ̃ Δημοσθένȣς πρὸς αὐτὸν, ὅτι πάντων φιλοπονώτατος ὢν τῶν λεγόντων, καὶ μικρȣ̃ δέων καταναλωκέναι τὴν τȣ̃ σώματος ἀκμὴν εἰς τȣ̃το, χάριν ȣ̓κ ἔχει πρὸς τὸν δῆμον, ἀλλὰ κραιπαλῶντες ἄνθρωποι ναῦται [3] καὶ ἀμαθεῖς ἀκȣ́ονται καὶ κατέχȣσι τὸ βῆμα, παρορᾶται δ' αὐτός· Ἀληθῆ λέγεις, ὦ Δημόσθενες, φάναι τὸν Σάτυρον· ἀλλ' ἐγὼ τὸ αἴτιον ἰάσομαι ταχέως, ἂν μοι τῶν Εὐριπίδȣ τινὰ ῥήσεων, ἢ Σοφοκλέȣς, ἐθελήσῃς εἰπεῖν ἀπὸ στόματος.

1 Bryano melius convenire videtur *πυκνῶς*. Iden amplectuntur Kind & Schirach.

2 Alii Demosthenem Neoptolemo histrioni, alii Andronico operam dedisse narrant. Satyrus erat patria Marathonius, Theogitonis filius. B.

3 Bartono monente, videtur his verbis rivalem suum Demadem perstringere, qui cum remigando sibi vitam comparasset, ingenii optimi beneficio orator summus evasit. Quam vero fuerit ebrietati deditus, testantur Pytheae verba apud *Athen. Deipn.* l. 2.

τος. εἰπόντος δὲ τοῦ Δημοσθένους, μεταλαβόντα τὸν Σάτυρον, οὕτω πλάσαι καὶ διεξελθεῖν ἐν ἤθει πρέποντι καὶ διαθέσει τὴν αὐτὴν ῥῆσιν, ὥσθ' ὅλως ἑτέραν τῷ Δημοσθένει φανῆναι. πεισθέντα δ', ὅσον ἐκ τῆς ὑποκρίσεως τῷ λόγῳ κόσμου καὶ χάριτος πρόσεσι, μικρὸν ἡγήσασθαι καὶ τὸ μηδὲν εἶναι τὴν ἄσκησιν, ἀμελοῦντι τῆς προφορᾶς καὶ διαθέσεως τῶν λεγομένων. ἐκ τούτου κατάγειον μὲν οἰκοδομῆσαι μελετητήριον, ὃ δὴ διεσώζετο καὶ καθ' ἡμᾶς· ἐνταῦθα δὲ πάντως μὲν ἑκάστης ἡμέρας προσιόντα πλάττειν τὴν ὑπόκρισιν, καὶ διαπονεῖν τὴν φωνήν· πολλάκις δὲ καὶ μῆνας ἑξῆς δύο καὶ τρεῖς συνάπτειν, ξυρούμενον τῆς κεφαλῆς θάτερον μέρος, ὑπὲρ τοῦ μηδὲ βουλομένῳ πάνυ προελθεῖν [1] ἐνδέχεσθαι δι' αἰσχύνην.

VIII. Οὐ μὴν ἀλλὰ καὶ τὰς πρὸς τοὺς ἐκτὸς ἐντεύξεις καὶ λόγους καὶ ἀσχολίας, ὑποθέσεις ἐποιεῖτο καὶ ἀφορμὰς τοῦ φιλοπονεῖν. ἀπαλλαγεὶς γὰρ αὐτῶν, τάχιστα κατέβαινεν εἰς τὸ μελετητήριον, καὶ διεξῄει τάς τε πράξεις ἐφεξῆς καὶ τοὺς ὑπὲρ αὐτῶν ἀπολογισμούς. ἔτι δὲ τοὺς λόγους, οἷς παρέτυχε λεγομένοις, ἀναλαμβάνων εἰς ἑαυτὸν, εἰς γνώμας ἀνῆγε καὶ περιόδους. ἐπανορθώσεις τε παντοδαπὰς καὶ μεταφράσεις ἐκαινοτόμει τῶν εἰρημένων ὑφ' ἑτέρων [2] πρὸς αὐτὸν, ἢ ὑφ' αὐτοῦ πάλιν πρὸς [3] ἄλλον. ἐκ τούτου δόξαν εἶχεν, ὡς οὐκ εὐφυὴς ὢν, ἀλλ' ἐκ πόνου συγκειμένῃ δεινότητι καὶ δυνάμει χρώμενος. ἐδόκει τε τούτου σημεῖον εἶναι μέγα, τὸ μὴ ῥᾳδίως ἀκοῦσαί τινα Δημοσθένους ἐπὶ καιροῦ λέγοντος, ἀλλὰ καὶ καθήμενον [4] ἐν ἐκκλησίᾳ πολλάκις τοῦ δήμου

1 Sic eum V. Duf. scribendum censuit, deditque B. & R. pro vulg. προσελθεῖν.

2 V. & I. 3. ὑφ' ἑτέρου.

3 Vulgo εἰς. B. & R. dederunt πρὸς cum V. secundum Ind. Var. Frft. Idem quoque esse in B. Ms. testatur Barton. Index Br. ἄλλον pro αὐτὸν positum esse, male profert, & soli V. hanc lectionem tribuit.

4 Junt. Ald. Crat. καθημένου. V. καθήμενος.

δήμȣ καλȣ̃ντος ὀνομαςὶ, μὴ παρελθεῖν, εἰ μὴ τύχοι πεφροντικὼς καὶ παρεσκευασμένος. εἰς τȣ̃το ἄλλοι [1] τε πολλοὶ τῶν δημαγωγῶν ἐχλεύαζον αὐτὸν, καὶ Πυθέας [2] ἐπισκώπτων, ἐλλυχνίων ἔφησεν ὄζειν αὐτȣ̃ τὰ ἐνθυμήματα. τȣ̃τον μὲν ȣ̃ν ἠμείψατο πικρῶς ὁ Δημοσθένης. Οὐ ταὐτὰ γὰρ, εἶπεν, ἐμοὶ καὶ σοὶ, ὦ Πυθέα, ὁ λύχνος σύνοιδε. πρὸς δὲ τȣ̀ς ἄλλȣς ȣ̓ παντάπασιν ἦν ἔξαρνος, ἀλλ᾽ ȣ̓́τε γράψας, ȣ̓́τ᾽ ἄγραφα κομιδῆ λέγειν ὡμολόγει. καὶ μέντοι δημοτικὸν ἀπέφαινεν ἄνδρα, τὸν λέγειν μελετῶντα. θεραπείαν γὰρ εἶναι τȣ̃ δήμȣ τὴν παρασκευήν [3]. τὸ δ᾽, ὅπως ἕξȣσιν οἱ πολλοὶ πρὸς τὸν λόγον, ἀφροντιςεῖν, ὀλιγαρχικȣ̃, καὶ βίᾳ μᾶλλον, ἢ πειθοῖ, προσέχοντος, τῆς δὲ πρὸς καιρὸν ἀτολμίας αὐτȣ̃ καὶ τȣ̃το ποιȣ̃νται σημεῖον, ὅτι Δημάδης [4] μὲν ἐκείνῳ θορυβηθέντι πολλάκις ἀναςὰς ἐκ προχείρȣ συνεῖπεν, ἐκεῖνος δ᾽ ȣ̓δέποτε Δημάδῃ.

IX. Πόθεν ȣ̃ν, φαίη τις ἂν, ὁ Αἰσχίνης [5] πρὸς τὴν ἐν τοῖς λόγοις τόλμαν θαυμασιώτατον ἀπεκάλει τὸν ἄνδρα; πῶς δὲ Πύθωνι [6], τῷ Βυζαντίῳ, θρασυνομένῳ

καὶ

1 Edit. priores voces εἰς τȣ̃το ad priorem ſententiam referunt, & illis eam claudunt. V. εἰς τȣ̃το δὲ ἄλλοι conjunctim puncto ante haec poſito, quod Br. probavit, & R. cum Bartono, omiſſa quidem particula δὲ, amplectitur. Hic tamen idem omittit τε poſt ἄλλοι.

2 Pytheas, ſecundum *Noſtrum in Phocione*, orator λάλος καὶ θρασὺς, quamdiu ea conſuleret, quae e rep. eſſent, pauper & contemtus erat; poſtquam a Philippo redemtus eſt, gratia apud populum valuit, & delectus eſt, qui ſacra pro Athenienſibus Delphis faceret: homo vitae impurae & libidinoſae.

3 Sic R. de ſuo dedit: *Oratoris enim praeparationem ad bene dicendum eſſe aliquod ejus cultus ſtudiique, quo plebem proſequatur.* Vulgo θεραπείας γὰρ εἶναι τȣ̃το δήμȣ παρασκευήν.

4 Demades orator erat impurus, corruptus, omni ſcelere inquinatus. Cf. Plut. in Phocione. B.

5 Extat κατὰ Κτησ. c. 48. B.

6 Pythonis Byzantii ſumma erat eloquentiae fama. Ejus opera

καὶ ῥέοντι πολλῷ [1] κατὰ τῶν Ἀθηναίων, ἀναςὰς μόνος ἀντεῖπεν; ἢ Λαμάχυ τῦ Μυῤῥηναίυ [2] γεγραφότος ἐγκώμιον Ἀλεξάνδρυ καὶ Φιλίππυ, τῶν βασιλέων, ἐν ᾧ πολλὰ Θηβαίυς καὶ Ὀλυνθίυς εἰρήκει κακῶς, καὶ αναγινώσκοντος Ὀλυμπιάσι, παραναςὰς, καὶ διεξελθὼν μεθ' ἱςορίας καὶ ἀποδείξεως, ὅσα Θηβαίοις καὶ Χαλκιδεῦσιν ὑπάρχει καλὰ πρὸς τὴν Ἑλλάδα, καὶ πάλιν, ὅσων αἴτιοι κακῶν γεγόνασιν οἱ κολακεύοντες Μακεδόνας, ὕτως ἐπέςρεψε τὺς παρόντας, ὥςε δείσαντα [3] τῷ θορύβῳ τὸν σοφιςὴν ὑπεκδύναι τῆς πανηγύρεως. ἀλλ' ἔοικεν ὁ ἀνὴρ τῦ Περικλέυς τὰ μὲν ἄλλα μὴ πρὸς αὐτὸν ἡγήσαθαι, τὸ δὲ πλάσμα καὶ τὸν σχηματισμὸν αὐτῦ, καὶ τὸ μὴ ταχέως, μηδὲ περὶ παντὸς, ἐκ τῦ παριςαμένυ λέγειν, ὥσπερ ἐκ τύτων μεγάλυ γεγονότος, ζηλῶν καὶ μιμύμενος, ὐ πάνυ προΐεθαι τὴν ἐν τῷ καιρῷ δόξαν [4], ὐδ' ἐπὶ τύχῃ πολλάκις ἑκὼν εἶναι ποιεῖθαι τὴν δύναμιν. ἐπεὶ τόλμαν γε καὶ θάρσος οἱ λεχθέντες ὑπ' αὐτῦ [5] λόγοι τῶν γραφέντων μᾶλλον εἶχον, εἴ τι δεῖ πι-

ra Philippus multum utebatur, cum in aliis ad Graeciae civitates legationibus, tum ad Thebanos paulo ante pugnam Chaeroneam, quos ab Athenienſium ſocietate abſtrahere Python conatus eſt.

1 Verba haec ſunt deſumta ex ipſa Demoſthenis orat. περὶ ςεφ. c. 43. Sunt, qui haec Demoſtheni in legatione Thebana contigiſſe credunt. Bart. autem obſervat, ſalli eos, cum Athenis acciderint Aeſchine praeſente, multisque annis ante. Cf. Philoſtr. Vit. Apoll. Tyan. l. 7. c. 16. & Lucian. in Encom. Dem.

2 Alibi in Plut. prave Τερειναίυ. Si Athenienſis fuiſſet, Μυῤῥινυσίυ ſcribi deberet a pago Atticae Μυῤῥινῦς. Sed eſt Μυρίνη, urbs Aeolidis, & oppidum Lemni, de quo intelligit Xyl. & Μυριναίυ ſcribendum cenſet Bryan.

3 R. monente, ſi δείσαντα accipis pro ἐκπληχθέντα, recte habebit τῷ θορύβῳ; alias conveniat melius τὸν θόρυβον.

4 R. ſuſp. τὴν ἑαυτῦ τῷ καιρῷ δόξαν, *non admodum facile, neque crebro ſuam gloriam ſubitaneo temporis occurſui permiſiſſe vel prodidiſſe.*

5 Kind refert haec ad Periclem.

πιςεύειν Ἐρατοσθένει [1], καὶ Δημητρίῳ τῷ Φαληρεῖ, καὶ τοῖς κωμικοῖς. ὧν Ἐρατοσθένης μέν φησιν αὐτὸν ἐν τοῖς λόγοις πολλαχȣ̃ γεγονέναι παράβακχον· ὁ δὲ Φαληρεὺς τὸν ἔμμετρον ἐκεῖνον ὅρκον ὀμόσαι ποτὲ πρὸς τὸν δῆμον, ὥσπερ ἐνθȣσιῶντα·

Μὰ γῆν, μὰ κρήνας, μὰ ποταμȣ̀ς, μὰ νάματα.

τῶν δὲ κωμικῶν [2] ὁ μέν τις αὐτὸν ἀποκαλεῖ ῥωποπερπερήθραν [3]. ὁ δὲ παρασκώπτων, ὡς χρώμενον τῷ ἀντιθέτῳ, φησὶν ȣ̓́τως·

Ἀπέλαβεν, ὥσπερ ἔλαβεν [4]. ἠγάπησε γὰρ
Τὸ ῥῆμα τȣ̃το παραλαβὼν Δημοσθένης·

ἐκτὸς εἰ μὴ νὴ Δία πρὸς τὸν ὑπὲρ Ἁλονήσȣ λόγον ὁ Ἀντιφάνης καὶ τȣτὶ πέπαιχεν, ἣν Ἀθηναίοις Δημοσθένης συνεβȣ́λευε μὴ λαμβάνειν, ἀλλ᾽ ἀπολαμβάνειν παρὰ Φιλίππȣ.

X.

1 Eratosthenes Cyrenaeus, Callimachi discipulus, regnante Ptolemaeo Evergete bibliothecae Alexandrinae praefectus fuit. B.

2 Duos ex his Plut. alibi nominat, Antiphanem & Timagenem. Pro seq. αὐτὸν B. 3. αὐτῶν.

3 Junt. Ald. Crat. ῥωποπερήθραν. H. Steph. ex vet. exempl. auctoritate reposuit ῥωποπερπερήθραν. Sic & Xyl. legi voluit, eodemque teste Eustath. ad Iliad. N. v. 199. hac voce notari futiles & garrulos docet. Ad seq. ὁ δὲ Antiphanem puta, ut e seqq. constat.

4 Anon. ὡς παρέλαβεν, uti lin. seq. παραλαβεῖν ὁ Δ. Pro Δημοσθ. Dacer. Περικλῆς legere jubet. Eum Kind sequitur. R. mavult Δημοσθένȣς — *nactus a Demosthene, imitatus in eo Demosthenem.* Quis autem in hisce jocus sit, nisi, unde petitus esset, sequentia aperirent, haud facile perspici posse, & ne sic quidem ejus argutiam, si quae insit, sese assequi fatetur Duf. — ἐκτὸς, quod sequitur, edd. priores praecedentibus adjungunt. H. Steph. ad seqq. relegavit. De Halonelo, insula exigua in mari Aegeo, ex adverso Thessaliae, quam a Sostrato Pirata occupatam Philippus, eo expulso, in suam ditionem redegit, deinde dono obtulit Atheniensibus, quorum prius fuisset, exstat oratio inter Demosthenicas, quam autem Libanius non Demosthenis esse putat, sed Hegesippi.

X. Πλὴν τόν γε Δημάδην πάντες ὡμολόγου τῇ φύσει χρώμενον ἀνίκητον εἶναι, καὶ παραφέρειν αὐτοσχεδιάζοντα [1] τὰς τοῦ Δημοσθένους σκέψεις καὶ παρασκευάς. Ἀρίστων δ', ὁ Χῖος [2], καὶ Θεοφράστου τινὰ δόξαν ἱστόρηκε περὶ τῶν ῥητόρων. ἐρωτηθέντα γὰρ, ὁποῖός τις αὐτῷ φαίνεται ῥήτωρ ὁ Δημοσθένης, εἰπεῖν· Ἄξιος τῆς πόλεως· ὁποῖος δὲ Δημάδης· ὑπὲρ τὴν πόλιν. ὁ δ' αὐτὸς φιλόσοφος Πολύευκτον [3] ἱστορεῖ τὸν Σφήττιον, ἕνα τῶν τότε πολιτευομένων Ἀθήνησιν, ἀποφαίνεσθαι, μέγιστον μὲν εἶναι ῥήτορα Δημοσθένη, δυνατώτατον δ' εἰπεῖν Φωκίωνα· πλεῖστον γὰρ ἐν βραχυτάτῃ λέξει νοῦν ἐκφέρειν. καὶ μέντοι καὶ τὸν Δημοσθένη φασὶν αὐτὸν, ὁσάκις ἂν ἀντερῶν αὐτῷ Φωκίων ἀναβαίνοι, λέγειν πρὸς τοὺς συνήθεις· Ἡ τῶν ἐμῶν λόγων κοπὶς ἀνίσταται [4]. τοῦτο μὲν οὖν ἄδηλον εἴτε πρὸς τὸν λόγον τοῦ ἀνδρὸς ὁ Δημοσθένης, εἴτε πρὸς τὸν βίον καὶ τὴν δόξαν ἐπεπόνθει, πολλῶν πάνυ καὶ μακρῶν περιόδων ἓν ῥῆμα καὶ νεῦμα πίστιν ἔχοντος ἀνθρώπου κυριώτερον ἡγούμενος.

XI. Τοῖς δὲ σωματικοῖς ἐλαττώμασι τοιαύτην ἐπῆγεν ἄσκησιν, ὡς ὁ Φαληρεὺς Δημήτριος ἱστορεῖ, λέγων αὐτοῦ Δημοσθένους ἀκούειν πρεσβύτου [5] γεγονότος· τὴν μὲν ἀσάφειαν καὶ τραυλότητα τῆς γλώττης ἐκβιάζεσθαι [6] καὶ διαρθροῦν εἰς τὸ στόμα ψήφους λαμβάνοντα, καὶ ῥήσεις

1 Sic ex Br. conjectura R. dedit. Vulgo αὐτὸν σχεδιάζ.

2 Philosophus Stoicus, Zenonis discipulus.

3 Polyeuctus, Midiae defensor contra Demosthenem, sed in gerendae reip. ratione cum eo conjunctissimus. Cf. Plut. in Phoc. & Vit. 10. Rhet.

4 In Phoc. pro hoc verbo legitur πάρεστιν.

5 Teste H. Steph. legitur etiam πρεσβυτέρου.

6 R. monente, hic infin. cum inseqq. aptus est ex ἱστορεῖ praemisso — *Demetrius Phalereus perhibet, Demosthenem consuevisse vi admota expugnare vocis obscuritatem.* Plura, huc pertinentia, de Demosthenis studio & exercitatione vide apud Lucian. in Encom. Cic. de Orat. l. 1. 61. Quint. Inst. Or. l. 11. c. 3. Val. Max. l. 8. c. 7.

σεις ἅμα λέγοντα· τὴν δὲ Φωνὴν ἐν τοῖς δρόμοις γυμνάζεσθαι καὶ ταῖς πρὸς τὰ σιμὰ προβάσεσι, διαλεγόμενον, καὶ λόγους τινὰς, ἢ στίχους, ἅμα τῷ πνεύματι πυκνουμένῳ προφερόμενον [1]. εἶναι δ' αὐτῷ μέγα κάτοπτρον οἴκοι, καὶ πρὸς τοῦτο τὰς μελέτας ἐξ ἐναντίας ἱςάμενον περαίνειν. λέγεται δ', ἀνθρώπου προσελθόντος, δεομένου συνηγορίας, καὶ διεξιόντος, ὡς ὑπό του λάβοι πληγάς· Ἀλλὰ σύ γε, Φάναι τὸν Δημοσθένην [2], τούτων, ὧν λέγεις, οὐδὲν πέπονθας. ἐπιτείναντος δὲ τὴν Φωνὴν τοῦ ἀνθρώπου, καὶ βοῶντος. Ἐγὼ, Δημόσθενες, οὐδὲν πέπονθα; Νὴ Δία, Φάναι, νῦν ἀκούω Φωνὴν ἀδικουμένου καὶ πεπονθότος. οὕτως ᾤετο μέγα πρὸς πίςιν εἶναι τὸν τόνον, καὶ τὴν ὑπόκρισιν τῶν λεγόντων. τοῖς μὲν οὖν πολλοῖς ὑποκρινόμενος ἤρεσκε θαυμαςῶς· οἱ δὲ χαρίεντες ταπεινὸν ἡγοῦντο καὶ ἀγεννὲς αὐτοῦ τὸ πλάσμα καὶ μαλακὸν, ὧν καὶ Δημήτριος ὁ Φαληρεύς ἐςιν. Αἰσίωνα [3] δέ Φησιν Ἕρμιππος, ἐρωτηθέντα περὶ τῶν πάλαι ῥητόρων καὶ τῶν καθ' αὐτὸν, εἰπεῖν, ὡς ἀκούων μὲν ἄν τις ἐθαύμασεν ἐκείνους εὐκόσμως καὶ μεγαλοπρεπῶς τῷ δήμῳ διαλεγομένους· ἀναγινωσκόμενοι δ' οἱ Δημοσθένους λόγοι πολὺ τῇ κατασκευῇ καὶ δυνάμει διαφέρουσιν. οἱ μὲν οὖν γεγραμμένοι τῶν λόγων ὅτι τὸ αὐςηρὸν πολὺ καὶ πικρὸν ἔχουσι, τί ἂν λέγοι τις [4]; ἐν δὲ ταῖς ἀπαντήσεσι ταῖς παρὰ τὸν καιρὸν ἐχρῆτο καὶ τῷ γελοίῳ. Δημά-

1 Ita cum V. fcribi voluit Duf. de itque R. pro vulg. προσφερ.

2 B. 3. Δημοσθένη, quod Br. probat.

3 De hoc viro nihil aliud conftat. Civem Athenienfem fuiffe oportet. In vita hac Demofthenis cum Opp. ejus impreffa, Xyl. monet, pro Aefione *Apptonem* legi. *Br.* & *Duf.*

4 Alii, Bartono notante, fic diftinguunt: τί, ἂν λέγοι τις. R. pro praemiffo πικρὸν mavult τὸ πικρὸν, ut fit idem, ac fi dixiffet πολὺ τοῦ αὐςηροῦ καὶ τοῦ πικροῦ, acerbitatis atque amaritudinis multum.

Δημάδε μὲν γὰρ εἰπόντος· Ἐμὲ Δημοσθένης [1], ἡ ὗς τὴν Ἀθηνᾶν· Αὕτη, εἶπεν, ἡ Ἀθηνᾶ πρώην ἐν Κολλυτῷ [2] μοιχεύουσα ἐλήφθη. πρὸς δὲ τὸν κλέπτην, ὃς ἐπεκαλεῖτο Χαλκοῦς, καὶ αὐτὸν εἰς τὰς ἀγρυπνίας αὐτοῦ καὶ νυκτογραφίας πειρώμενόν τι λέγειν· Οἶδα, εἶπεν, ὅτι σε λυπῶ λύχνον καίων. ὑμεῖς δέ, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ θαυμάζετε τὰς γενομένας κλοπάς, ὅταν [3] τοὺς μὲν κλέπτας χαλκοῦς, τοὺς δὲ τοίχους πηλίνους ἔχωμεν. Ἀλλὰ περὶ μὲν τούτων καίπερ ἔτι πλείω λέγειν ἔχοντες ἐνταῦθα παυσόμεθα· τὸν δ' ἄλλον αὐτοῦ τρόπον, καὶ τὸ ἦθος, ἀπὸ τῶν πράξεων καὶ τῆς πολιτείας θεωρεῖσθαι δίκαιόν ἐστιν.

XII. Ὥρμησε μὲν οὖν ἐπὶ τὸ πράττειν τὰ κοινά, τοῦ Φωκικοῦ πολέμου [4] συνεστῶτος, ὡς αὐτός τε φησί, καὶ λαβεῖν ἐστιν ἀπὸ τῶν Φιλιππικῶν δημηγοριῶν. αἱ μὲν γάρ, ἤδη διαπεπραγμένων ἐκείνων [5], γεγόνασιν, αἱ δὲ

1 Bart. interrogationis notam addit, ut ſententiae acumen ſit majus.

2 Pagus Atticus. Alias ſcribitur Κολυττός.

3 Duſ. mavult ἔσθ' ἄν. Dicterium hoc ſe non intelligere, inſulſum & Demoſthene indignum, quin etiam ipſius Plutarchi referentis judicium deſiderare ſe fatetur R.

4 Cum agrum Apollinis Delphici araſſent Phocenſes, damnati erant in concilio Amphictyonum violatae religionis & mulcta iis impoſita eſt. Hanc cum ſolvere non poſſent, decretum Amphictyonum, quod templi columnis inſcriptum erat, delebant, ſui juris eſſe curam fani & defenſionem aſſerentes. Haec erat anſa belli Phocenſis, cujus initia ab Olymp. 106. 2. repetenda ſunt, cum Demoſthenes annum ageret ſeptimum & vigeſimum. Steterunt pro Phocenſibus Athenienſes & Lacedaemonii; contra eos Thebani, Theſſali & Locri, deinde per decennium vario ſucceſſu pugnatum eſt, usque dum Olymp. 108. 3. Philippus finem bello imponeret. B. Cf. ad h. l. Demoſth. περὶ στεφ. c. 7.

5 R. ſubaudiri vult *Phocenſes*, & verti — *illis jam oppreſſis & deletis*; uti ſeqq. τῶν ἔγγιστα πραγμ. *inſtanti Phocenſium exci-*

δὲ πρεσβύταται τῶν ἔγγιςα πραγμάτων ἅπ]ονται. δῆλος δ' ἐςὶ καὶ τὴν κατὰ [1] Μειδίȣ παρασκευασάμενος εἰπεῖν δίκην, δύο μὲν ἐπὶ τοῖς τριάκον]α γεγονὼς ἔτη, μηδέπω δ' ἔχων ἰχὺν ἐν τῇ πολιτείᾳ, μηδὲ δόξαν. ὃ καὶ μάλιςά μοι δοκεῖ δείσας, ἐπ' αργυρίῳ καταθέϑαι τὴν πρὸς τὸν ἄνθρωπον ἔχθραν.

Οὐ γάρ τοι [2] γλυκύθυμος ἀνὴρ ἦν, ȣδ' ἀγανόφρων,

ἀλλ' ἔντονος καὶ βίαιος περὶ τὰς ἀμύνας. ὁρῶν δ' ȣ φαῦλον, ȣδὲ τῆς αὐτȣ͂ δυνάμεως ἔργον, ἄνδρα καὶ πλȣ́τῳ, καὶ λόγῳ [3], καὶ φίλοις εὖ πεφραγμένον καθελεῖν, τὸν Μειδίαν, ἐνέδωκε τοῖς ὑπὲρ αὐτȣ͂ δεομένοις. αἱ δὲ τριχίλιαι [4] καθ' ἑαυτὰς ȣκ ἄν μοι δοκȣ͂σι τὴν Δημοθένȣς ἀμβλῦναι πικρίαν, ἐλπίζ]ο]ος καὶ δυναμένȣ περιγενέϑαι. λαβὼν δὲ τῆς πολιτείας καλὴν ὑπόθεσιν, τὴν πρὸς Φίλιππον ὑπὲρ τῶν Ἑλλήνων δικαιολογίαν, καὶ πρὸς ταύτην ἀγωνιζόμενος ἀξίως, ταχὺ δόξαν ἔχε, καὶ περίβλεπ]ος ὑπὸ τῶν λόγων ἤρθη καὶ τῆς παῤῥησίας· ὥςε θαυμάζεϑαι μὲν ἐν τῇ Ἑλλάδι, θεραπεύεϑαι δ' ὑπὸ τȣ͂ μεγάλȣ βασιλέως, πλεῖςον δ' αὐτȣ͂ λόγον εἶναι παρὰ τῷ Φιλίππῳ τῶν δημαγωγȣ́ντων· ὁμολογεῖν δὲ καὶ τȣ̀ς ἀπεχθανομένȣς, ὅτι πρὸς ἔνδοξον αὐτοῖς ἄνθρωπον ὁ ἀγών ἐςι. καὶ γὰρ Αἰχίνης καὶ Ὑπερίδης τοιαῦτα ὑπὲρ αὐτȣ͂ κατηγορȣ͂ν]ες εἰρήκασιν.



*excidio.* Senſum aliquanto meliorem ſic dari, monet B. ſi modo Phocenſes ante nominati fuiſſent. Schirach utramque dictionem exprimit *nach ſchon vollendetem Krieg — unter dem Laufe deſſelben.*

1 Hanc praepoſ. Br. ſola omiſit. R. eam e Junt. ſe reſtituiſſe monet.

2 Τοι R. dedit de ſuo, pro vulg. τι. Id. per ἀνὴρ Midiam deſignari monet. Verſus eſt ex Iliad. Τ. 467. deſumtus.

3 Voces καὶ λόγῳ ſola Br. omiſit. R. eas e Junt. ſe revocaſſe monet.

4 ſc. drachmae, quarum centum minam effecerunt. B.

XIII. Ὅθεν οὐκ οἶδ', ὅπως παρέστη Θεοπόμπῳ [1] λέγειν, αὐτὸν ἀβέβαιον τῷ τρόπῳ γεγονέναι, καὶ μήτε πράγμασι, μήτ' ἀνθρώποις, πολὺν χρόνον τοῖς αὐτοῖς ἐπιμένειν δυνάμενον. Φαίνεται γὰρ, εἰς ἣν ἀπ' ἀρχῆς τῶν πραγμάτων μερίδα καὶ τάξιν αὐτὸν ἐν τῇ πολιτείᾳ κατέστησε, ταύτην ἄχρι τέλους διαφυλάξας, καὶ οὐ μόνον ἐν τῷ [2] βίῳ μὴ μεταβαλόμενος, ἀλλὰ καὶ τὸν βίον ἐν τῷ μὴ μεταβαλέσθαι προέμενος. οὐ γὰρ, ὡς Δημάδης, ἀπολογούμενος διὰ [3] τὴν ἐν τῇ πολιτείᾳ μεταβολὴν, ἔλεγεν· αὐτῷ μὲν αὐτὸν τἀναντία πολλάκις εἰρηκέναι, τῇ δὲ πόλει μηδέποτε· καὶ Μελάνωπος [4], ἀντιπολιτευόμενος Καλλιστράτῳ, καὶ πολλάκις ὑπ' αὐτοῦ χρήμασι μετατιθέμενος [5], εἰώθει λέγειν πρὸς τὸν δῆμον· Ὁ μὲν ἀνὴρ ἐχθρὸς, τὸ δὲ τῆς πόλεως νικάτω συμφέρον· Νικόδημος δ', ὁ Μεσσήνιος, Κασάνδρῳ προστιθέμενος πρότερον, εἶτ' αὖθις ὑπὲρ τοῦ Δημητρίου πολιτευόμενος, οὐκ ἔφη τἀναντία [6] λέγειν· ἀεὶ γὰρ εἶναι συμφέρον ἀκροᾶσθαι τῶν κρατούντων· οὕτω καὶ περὶ Δημοσθένους ἔχομεν εἰπεῖν, οἷον ἐκτρεπομένου καὶ πλαγιάζοντος, ἢ φωνὴν, ἢ πρᾶξιν, ἀλλ' ὥσπερ ἐφ' ἑνὸς καὶ ἀμεταβλήτου διαγράμματος [7], τῆς πολιτείας, ἕνα

1 Theopompus Chius, Isocratis discipulus, scriptor illustris, sed Atheniensibus infensus, adeoque minus mirandum, eum Demosthenis gloriam imminutum ivisse. B.

2 B. 3. ἐπὶ τῷ β. quam tamen lect. B. ad l. seq. transfert. — μεταβαλόμενος in aor. 2. R. dedit de suo. Vulg. μεταβαλλόμ.

3 Dus. monet, non solere διὰ sic cum hoc verbo construi. Quare id aut delendum censet, quod & R. confirmat, aut δὴ reponendum.

4 De Melanopo vid. Arist. Rhet. l. 1. c. 15. & Xenoph. Ἑλλ. l. 6. c. 3.

5 R. mavult μεταπειθόμενος.

6 Subaud. ἑαυτῷ. R.

7 Metaphora a Musicis petita, quam Plut. etiam usurpat de *adul. & amic. discr.* & alibi.

ἕνα τόνον ἔχων ἐν τοῖς πράγμασιν ἀεὶ διετέλεσε. Παναίτιος [1] δ', ὁ Φιλόσοφος, καὶ τῶν λόγων αὐτȣ̃ φησὶν ȣ̔́τω γεγράφθαι τȣ̀ς πλείςȣς, ὡς μόνȣ [2] τȣ̃ καλȣ̃ δι' αὐτὸ αἱρετȣ̃ ὄντος, τὸν περὶ τȣ̃ ςεφάνȣ, τὸν κατ' Ἀριςοκράτȣς, τὸν ὑπὲρ τῶν ἀτελειῶν, τȣ̀ς Φιλιππικȣ́ς· ἐν οἷς πᾶσιν ȣ̓ πρὸς τὸ ἥδιςον, ἢ ῥᾷςον, ἢ λυσιτελέςατον, ἄγει τȣ̀ς πολίτας, ἀλλὰ πολλαχȣ̃ τὴν ἀσφάλειαν καὶ τὴν σωτηρίαν οἴεται δεῖν ἐν δευτέρᾳ τάξει τȣ̃ καλȣ̃ ποιεῖσθαι καὶ τȣ̃ πρέποντος. ὡς, εἴγε τῇ [3] περὶ τὰς ὑποθέσεις αὐτȣ̃ φιλοτιμίᾳ καὶ τῇ τῶν λόγων εὐγενείᾳ παρῆν ἀνδρεία τε πολεμιςήριος, καὶ τὸ καθαρῶς ἕκαςα πράττειν, ȣ̓κ ἐν τῷ κατὰ Μοιροκλέα [4], καὶ Πολύευκτον, καὶ Ὑπερίδην, ἀριθμῷ τῶν ῥητόρων, ἀλλ' ἄνω μετὰ Κίμωνος, καὶ Θȣκυδίδȣ, καὶ Περικλέȣς, ἄξιος ἦν τίθεσθαι.

XIV. Τῶν γȣ̃ν μετ' αὐτὸν [5] ὁ Φωκίων, ȣ̓κ ἐπαινȣμένης προϊςάμενος πολιτείας, ἀλλὰ δοκῶν μακεδονίζειν, ὅμως δι' ἀνδρείαν καὶ δικαιοσύνην ȣ̓δὲν ȣ̓δαμȣ̃ χείρων ἔδοξεν Ἐφιάλτȣ [6], καὶ Ἀριςείδȣ, καὶ Κίμωνος, ἀνὴρ γενέσθαι. Δημοσθένης δ', ȣ̓κ ὢν ἐν τοῖς ὅπλοις ἀξιόπιςος,



1 Panaetius, patria Rhodius, Philosophus Stoicus, Scipionis & Laelii familiaris. B.

2 Sic cum Junt. & B. 3. scribi voluit Br. deditque R. pro vulg. μόνον. Est quoque μόνȣ in Ald. & Crat. — μόνον prodiit ex Steph.

3 Artic. hunc, vulgo omissum, cum V. & B. 3. dari voluit Br. deditque R.

4 Al. Μυροκλῆς, vel Μεροκλῆς, Orator, & foenerator avarus. Arist. Rhet. l. 3. c. 10. Demosth. περὶ παραπρ. c. 82.

5 Br. & Duf. recipiendam censuerunt emendationem Wolfii, legentis κατ' αὐτόν. Bart. dedit καθ' αὑτόν.

6 Vulgo ante hanc vocem datur artic. τȣ̃. Eum R. expunxit cum B. 3. & Junt. Abest quoque ab Ald. & Crat. — Ephialtes Periclis amicus summus erat & adjutor contra optimates. Cf. Plut. in *Pericle* & *Cim.* & Aelian. V. H. L. XI. c. 9.

πιςος, ὥς φησιν ὁ Δημήτριος, ὀυδὲ πρὸς τὸ λαμβάνειν παντάπασιν ἀπωχυρωμένος, ἀλλὰ τῷ μὲν παρὰ Φιλίππȣ καὶ Μακεδονίας ἀνάλωτος ὤν, τῷ δ' ἄνωθεν ἐκ Σȣ́σων καὶ Ἐκβατάνων ἐπιβατὸς χρυσίῳ γεγονὼς καὶ καταπεκλυσμένος, ἐπαινέσαι μὲν ἱκανώτατος ἦν τὰ τῶν προγόνων καλὰ, μιμήσασθαι δ' ȣ̓χ ὁμοίως [1]. ἐπεὶ τȣ́ς γε καθ' αὐτὸν ῥήτορας, (ἔξω δὲ λόγȣ τίθεμαι Φωκίωνα,) καὶ τῷ βίῳ παρῆλθε. Φαίνεται δὲ καὶ μετὰ παῤῥησίας μάλιςα τῷ δήμῳ διαλεγόμενος, καὶ πρὸς τὰς ἐπιθυμίας τῶν πολλῶν ἀντιτείνων, καὶ τοῖς ἁμαρτήμασιν αὐτῶν ἐπιφυόμενος, ὡς ἐκ τῶν λόγων λαβεῖν ἐςιν. ἱςορεῖ δὲ καὶ Θεόπομπος, ὅτι, τῶν Ἀθηναίων ἐπί τινα προβαλομένων [2] αὐτὸν κατηγορίαν, ὡς ȣ̓χ [3] ὑπήκȣε θορυβȣ́ντων, ἀνας ὰς εἶπεν· Ὑμεῖς ἐμοὶ, ὦ ἄνδρες Ἀθηναῖοι, συμβȣ́λῳ μὲν, κἂν μὴ θέλητε, χρήσεσθε· συκοφάντῃ δ', ȣ̓δὲ ἐὰν θέλητε. Σφόδρα δ' ἀριςοκρατικὸν αὐτȣ̃ πολίτευμα καὶ τὸ περὶ Ἀντιφῶντος· ὃν ὑπὸ τῆς ἐκκλησίας ἀφεθέντα συλλαβὼν, ἐπὶ τὴν ἐξ Ἀρείȣ πάγȣ βȣλὴν παρήγαγε, καὶ παρ' ȣ̓δὲν τὸ προσκρȣ̃σαι τῷ δήμῳ θέμενος, ἤλεγξεν ὑπεσχημένον Φιλίππῳ τὰ νεώρια ἐμπρήσειν· καὶ παραδοθεὶς [4] ὁ ἄνθρωπος ὑπὸ τῆς βȣλῆς ἀπέθανε. κατηγόρησε δὲ καὶ τῆς ἱερείας Θεωρίδος, ὡς ἄλλα τε [5] ῥᾳδιȣργȣ́σης πολλὰ, καὶ τȣ̀ς δȣ́λȣς ἐξα-

1 Sic R. de ſuo dedit pro vulg. ὅμοιοι.

2 Sic R. de ſuo dedit pro vulg. προβαλλομένων, monens, duo participia ejusdem temporis inter ſe non conſtare poſſe, ſed alterum debere temporis praeteriti eſſe: τῶν Ἀθηναίων θορυβȣ́ντων, ὅτι ȣ̓χ ὑπήκȣσε πρὸς κατηγορίαν, ἐφ' ἣν αὐτοὶ αὐτὸν προεβάλοντο.

3 Moſi Duſ. ante has voces videtur deeſſe καὶ.

4 Moſi Duſ. haec vox eſt ſuſpecta, dubitanti, quam pro ea reponat. R ſubaudiri vult τοῖς ἕνδεκα, quod & B. loco *Corn. Nep.* in *Phoc.* firmat — *traditus eſt undecim viris, quibus ad ſupplicium, more Athenienſium publice damnati tradi ſolent.*

5 R. dedit τε cum B. 3. vulgo omiſſum. Dedit quoque B.

ἐξαπατᾷν διδασκέσης· καὶ θανάτε τιμησάμενος ἀπέκλεινε [1].

XV. Λέγεται δὲ καὶ τὸν κατὰ Τιμοθέε, τε̃ ϛρατηγε̃, λόγον, ᾧ χρησάμενος Ἀπολλόδωρος εἷλε τὸν ἄνδρα τε̃ ὀφλήματος, Δημοθένης γράψαι τῷ Ἀπολλοδώρῳ, καθάπερ καὶ τὰς πρὸς Φορμίωνα καὶ Στέφανον, ἐφ᾽ οἷς εἰκότως ἠδόξησε. καὶ γὰρ Φορμίων ἠγωνίζετο λόγῳ Δημοθένες πρὸς τὸν Ἀπολλόδωρον, ἀτεχνῶς, καθάπερ ἐξ ἑνὸς μαχαιροπωλίε, τὰ κατ᾽ ἀλλήλων ἐγχειρίδια πωλε̃ντος αὐτε̃ τοῖς ἀντιδίκοις. τῶν δὲ δημοσίων, ὁ μὲν κατ᾽ Ἀνδροτίωνος, καὶ Τιμοκράτες, καὶ Ἀριϛοκράτες, ἑτέροις ἐγράφησαν, ἔπω τῇ πολιτείᾳ προσεληλυθότος. δοκεῖ γὰρ δυοῖν, ἢ τριῶν, δέοντα ἔτη τριάκοντα γεγονὼς ἐξενεγκεῖν τὰς λόγες ἐκείνες. τὸν δὲ κατ᾽ Ἀριϛογείτονος αὐτὸς ἠγωνίσατο, καὶ τὸν περὶ [2] τῶν ἀτελειῶν, διὰ τὸν Χαβρίε παῖδα, Κτήσιππον, ὥς φησιν αὐτός· ὡς δ᾽ ἔνιοι λέγεσι, τὴν μητέρα τε̃ νεανίσκε μνώμενος. ὁ μὴν ἔγημε ταύτην, ἀλλὰ Σαμίᾳ τινὶ συνῴκησεν, ὡς ἱϛορεῖ Δημήτριος ὁ Μάγνης ἐν τοῖς περὶ συνωνύμων [3]. ὁ δὲ κατ᾽ Αἰσχίνε τῆς παραπρεσβείας, ἄδηλον, εἰ λέλεκται. καίτοι φησὶν Ἰδομενεὺς, παρὰ τριάκοντα μόνας τὸν Αἰσχίνην ἀποφυγεῖν. ἀλλ᾽ ἐκ ἔοικεν ἕτως ἔχειν τἀληθὲς, εἰ δεῖ τοῖς περὶ ϛεφάνε γεγραμμένοις ἑκατέρων λόγοις τεκμαίρεσθαι. μέμνηται γὰρ ἐδέτερος αὐτῶν ἐναργῶς, ἐδὲ τρανῶς, ἐκείνε τε̃ ἀγῶνος, ὡς ἄχρι δίκης προελθόντος [4]. ταυτὶ μὲν ἐν ἕτεροι διακρινε̃σι μᾶλλον.



1 dicitur de accuſatore, qui victor eſt in actione capitali. B.

2 Anon. ὑπέρ.

3 Demetrius, Hiſtoricus, quem *Dion. Halic.* appellat πολυΐϛορα, aetate Ciceronis, floruit. Liber περὶ συνων. erat de iis ſcriptoribus, qui eodem nomine appellabantur, quod conſtat ex eodem *Dionyſ. in vita Dinarchi.* B. — If. Caſaub. ὁμωνύμων legere jubet. Cf. Voſs. de Hiſt. Gr. p. 150.

4 B. 3. παρελθόντος.

XVI. Ἡ δὲ τοῦ Δημοσθένους πολιτεία φανερὰ μὲν ἦν, ἔτι καὶ τῆς εἰρήνης ὑπαρχούσης, οὐδὲν ἐῶντος ἀνεπιτίμητον τῶν πραττομένων ὑπὸ τοῦ Μακεδόνος, ἀλλ' ἐφ' ἑκάστῳ ταράττοντος τοὺς Ἀθηναίους, καὶ διακαίοντος ἐπὶ τὸν ἄνθρωπον. διὸ καὶ παρὰ Φιλίππῳ [1] πλεῖστος ἦν λόγος αὐτοῦ, καὶ ὅτε πρεσβεύων δέκατος ἧκεν [2] εἰς Μακεδονίαν, ἤκουσε μὲν πάντων Φίλιππος, ἀντεῖπε δὲ μετὰ πλείστης ἐπιμελείας πρὸς τὸν ἐκείνου λόγον [3]. οὐ μὴν ἔν γε ταῖς ἄλλαις τιμαῖς καὶ φιλοφροσύναις ὅμοιον αὐτὸν τῷ Δημοσθένει παρεῖχεν, ἀλλὰ προσήγετο τοὺς περὶ Αἰσχίνην καὶ Φιλοκράτην [4] μᾶλλον. ὅθεν ἐπαινούντων ἐκείνων τὸν Φίλιππον, ὡς καὶ λέγειν δυνατώτατον, καὶ κάλλιστον ὀφθῆναι, καὶ νὴ Δία συμπιεῖν ἱκανώτατον, ἠναγκάζετο βασκαίνων ἐπισκώπτειν, ὡς τὸ μὲν σοφιστοῦ, τὸ δὲ γυναικὸς, τὸ δὲ σπογγιᾶς εἴη, βασιλέως δ' οὐδὲν ἐγκώμιον [5].

XVII. Ἐπεὶ δ' εἰς τὸ πολεμεῖν ἔῤῥεπε τὰ πράγματα, τοῦ μὲν Φιλίππου μὴ δυναμένου τὴν ἡσυχίαν ἄγειν, τῶν δ' Ἀθηναίων ἐγειρομένων ὑπὸ τοῦ Δημοσθένους, πρῶτον

1 Sic cum V. & Anon. dari voluit Duſ. deditque R. Vulgo Φιλίππου.

2 Circiter Olymp. 108, 2. Athenienſes ex decreto Philocratis decem legatos in Macedoniam miſerunt, qui certo exploraturi erant, an pacem vellet Philippus. Eosdem iterum miſerunt ad exigendum a Philippo jusjurandum. B.

3 B. adnotat, Plutarchum memoria lapſum ea tribuere Demoſtheni, quae revera fuerint Aeſchinis. Cf. Aeſchin. π. παραπ. c. 16. & Aelian. V. H. 8, 12.

4 B. 3. Φιλοκράτη.

5 Male intellexiſſe, aut certe negligenter citaviſſe locum Aeſchinis, unde haec hauſerit (π. παραπ. c. 34.) Plutarchum, B. monet. R. mavult aut οὐδενὸς pro οὐδὲν, *regis nullius praedicationem*, aut βασιλέων δ' οὐδενὸς, *regum nullius praedicationem*, aut denique βασιλέως δ' οὐδὲν τούτων, *nihil horum eſſe encomium regis.*

τον μὲν εἰς Εὔβοιαν ἐξώρμησε τὲς Ἀθηναίες [1]. καταδεδελωμένην ὑπὸ τῶν τυράννων Φιλίππῳ· καὶ διαβάντες, ἐκείνε τὸ ψήφισμα γράψαντος, ἐξήλασαν τὲς Μακεδόνας. δεύτερον δὲ Βυζαντίοις ἐβοήθησε καὶ Περινθίοις ὑπὸ τε Μακεδόνος πολεμεμένοις· πείσας τὸν δῆμον, ἀφέντα τὴν ἔχθραν, καὶ τὸ μεμνῆσθαι τῶν περὶ τὸν συμμαχικὸν ἡμαρτημένων ἑκατέροις [2] πόλεμον, ἀποστεῖλαι δύναμιν αὐτοῖς, ὑφ᾽ ἧς ἐσώθησαν. ἔπειτα πρεσβεύων καὶ διαλεγόμενος τοῖς Ἕλλησι, καὶ παροξύνων, συνέστησε, πλὴν ὀλίγων, ἅπαντας ἐπὶ τὸν Φίλιππον· ὥστε σύνταξιν γενέσθαι πεζῶν μὲν μυρίων καὶ πεντακισχιλίων, ἱππέων δὲ δισχιλίων, ἄνευ τῶν πολιτικῶν δυνάμεων· χρήματα δὲ καὶ μισθὲς τοῖς ξένοις εἰσφέρεσθαι προθύμως. ὅτε καί φησι Θεόφραστος, ἀξιέντων τῶν συμμάχων ὁρισθῆναι τὰς εἰσφορὰς, εἰπεῖν Κρώβυλον [3], τὸν δημαγωγὸν, ὡς ε τεταγμένα σιτεῖται [4] πόλεμος. ἐπηρμένης

S 5

1 Haec acciderunt Olymp. 109, 4. duce Phocione, qui Clitarchum, Eretriae tyrannum a Philippo impositum, magna cum clade, ad Tamynas commisso proelio, superavit. B.

2 tam Byzantiis, quam Perinthiis. R. Perinthus, urbs munitissima in littore Propontico, quam Philippus oppugnavit, & incolae summa cum obstinatione defenderunt, usque dum illis a Byzantio subsidia mitterentur. Quibus irritatus, diviso exercitu simul Byzantium & Perinthum obsidebat. Perinthum Persae liberarunt; nam Chares ab Atheniensibus missus nihil profecerat. Phocion vero ad Byzantii salutem delectus, Philippum prorsus ab Hellesponto expulit. — Bellum sociale exortum est Olymp. 105, 3. cum Byzantium & universus fere Hellespontus, pluresque insulae ab Atheniensibus deficerent, & conspiratione facta se in libertatem armis vindicarent. Diodor. l. 16. Nepos in Timoth.

3 Crobylus, qui fere Hegesippus vocatur, in rep. gerenda socius erat & adjutor Demosthenis. Societatem Atheniensium cum Phocensibus sanxit, &, Philippo pacem petente, primus, ne fieret, obstitit. B.

4 Bene monet B. metaphoram hanc ductam esse a victu servorum, quibus singulis in singulos menses dabantur quatuor modii frumenti, idque *demensum* dicebatur. B.

μένης δὲ τῆς Ἑλλάδος πρὸς τὸ μέλλον, καὶ συνισαμένων κατ' ἔθνη καὶ πόλεις Εὐβοέων, Ἀχαιῶν, Κορινθίων, Μεγαρέων, Λευκαδίων, Κερκυραίων, ὁ μέγιςος ὑπελείπετο τῷ Δημοσθένει τῶν ἀγώνων, Θηβαίους προσαγαγέσθαι τῇ συμμαχίᾳ, χώραν τε σύνορον τῆς Ἀττικῆς καὶ δύναμιν ἐναγώνιον ἔχοντας, καὶ μάλιςα τότε τῶν Ἑλλήνων εὐδοκιμοῦντας ἐν τοῖς ὅπλοις. ἦν δ' οὐ ῥᾴδιον ἐπὶ προσφάτοις εὐεργετήμασι τοῖς περὶ τὸν Φωκικὸν πόλεμον τετιθασσευμένους ὑπὸ τοῦ Φιλίππου μεταςῆσαι τοὺς Θηβαίους, καὶ μάλιςα ταῖς διὰ τὴν γειτνίασιν ἀψιμαχίαις ἀναξαινομένων ἑκάςοτε τῶν πολεμικῶν πρὸς ἀλλήλας διαφορῶν ταῖς πόλεσιν.

XVIII. Οὐ μὴν ἀλλ' ἐπεὶ Φίλιππος, ὑπὸ τῆς περὶ τὴν Ἄμφισσαν [1] εὐτυχίας ἐπαιρόμενος, εἰς τὴν Ἐλάτειαν [2] ἐξαίφνης ἐνέπεσε, καὶ τὴν Φωκίδα κατέχεν, ἐκπεπληγμένων τῶν Ἀθηναίων, καὶ μηδενὸς τολμῶντος ἀναβαίνειν ἐπὶ τὸ βῆμα, μηδ' ἔχοντος, ὅ τι χρὴ λέγειν, ἀπορίας [3] οὔσης ἐν μέσῳ καὶ σιωπῆς, παρελθὼν μόνος ὁ Δημοσθένης, συνεβούλευε τῶν Θηβαίων ἔχεσθαι· καὶ τἄλλα παραθαῤῥύνας καὶ μετεωρίσας, ὥσπερ εἰώθει, τὸν δῆμον ταῖς ἐλπίσιν, ἀπεςάλη πρεσβευτὴς μεθ' ἑτέρων εἰς Θήβας. ἔπεμψε δὲ καὶ Φίλιππος, ὡς Μαρσύας [4] φησὶν, Ἀμύνταν μὲν καὶ Κλέαρχον, Μακεδόνας,

1 Cum agrum Delphicum violassent Locri Ozolae, res delata est ad concilium Amphictyonum, qui cum legatos ad regionem perlustrandam mitterent, eos Locri impetu facto confoderunt. Hoc belli Amphyctionici initium erat, cui cito Philippus vel nominis sui auctoritate finem attulit, dux belli a concilio delectus. Dem. π. ςεφ. c. 47. & seq. B.

2 Elataea, urbs Phocidis, Boeotiae vicina.

3 Bodl. 3. ante h. v. praemittit ἀλλ'.

4 Marsyas Ant gοni regis, qui post Alexandrum regnavit, frater, gente Pellaeus, Alexandri σύντροφος, scripsit Μακεδονικῶν libros X.

νας, Δάοχον δὲ καὶ Θρασυδαῖον [1], Θεσσαλοὺς, ἀντεροῦντας. τὸ μὲν οὖν συμφέρον οὐ διέφυγε τοὺς τῶν Θηβαίων λογισμοὺς, ἀλλ᾽ ἐν ὄμμασιν ἕκαστος εἶχε τὰ τοῦ πολέμου δεινὰ, ἔτι τῶν Φωκικῶν τραυμάτων νεαρῶν παραμενόντων. ἡ δὲ τοῦ ῥήτορος δύναμις, ὥς φησι Θεόπομπος, ἐκριπίζουσα τὸν θυμὸν αὐτῶν, καὶ διακαίουσα τὴν φιλοτιμίαν, ἐπεσκότησε τοῖς ἄλλοις ἅπασιν· ὥστ᾽ εἰς φόβον [2] καὶ λογισμὸν καὶ χάριν ἐκβαλεῖν αὐτοὺς, ἐνθουσιῶντας ὑπὸ τοῦ λόγου πρὸς τὸ καλόν. οὕτω δὲ μέγα καὶ λαμπρὸν ἐφάνη τὸ τοῦ ῥήτορος ἔργον, ὥστε τὸν μὲν Φίλιππον εὐθὺς ἐπικηρυκεύεσθαι, δεόμενον εἰρήνης, ὀρθὴν δὲ τὴν Ἑλλάδα γενέσθαι, καὶ συνεξαναστῆναι πρὸς τὸ μέλλον, ὑπηρετεῖν δὲ μὴ μόνον τοὺς στρατηγοὺς τῷ Δημοσθένει ποιοῦντας τὸ προσταττόμενον, ἀλλὰ καὶ τοὺς Βοιωτάρχας· διοικεῖσθαι δὲ [3] τὰς ἐκκλησίας ἁπάσας, οὐδὲν ἧττον ὑπ᾽ ἐκείνου τότε τὰς Θηβαίων, ἢ τὰς Ἀθηναίων, ἀγαπωμένου παρ᾽ ἀμφοτέροις καὶ δυναστεύοντος, οὐκ ἀδίκως, οὐδὲ παρ᾽ ἀξίαν, ὥσπερ ἀποφαίνεται Θεόπομπος, ἀλλὰ καὶ πάνυ προσηκόντως.

XIX. Τύχη δέ τις, ὡς ἔοικε [4], δαιμόνιος ἐν περιφο-

1 Vulgo ſic extat: *Δάοχον δὲ καὶ Θεσσαλὸν καὶ Θρασυδαῖον.* Barton. ſequitur Palmerium: *Δάοχον δὲ Θεσσαλὸν καὶ Θρ.* Ad Thraſydaeum Br. & Duſ. addi volunt *Ἠλεῖον*, uti alibi a Plut. vocetur. R. dedit, quod nunc legitur, ſecutus forſan notam e margine Edit. Lambin. a B. allatam.

2 Hanc lectionem R. e Junt. revocavit, unde quoque V. repetiit. Falſo R. eam Bart. editioni tribuit. Vulgo *ὥστε φόβον.* Ad *λογισμὸν* ſubaudiendum eidem videtur *τοῦ μέλλοντος*, vel *τοῦ τε παρῳχημένου καὶ τοῦ μέλλοντος.* Dubitat de *χάριν*, utrum ſervandum ſit: *grati animi teſtificationem*, quod ſalutis Thebanorum tuendae tam diligentem curam habuiſſent: an *χαρὰν*, laetitiam, gaudium de ſocietate belli adverſus Philippum Thebanis ultro ab Athenienſibus oblata: — nec non dubitat, num *ἐκβαλεῖν* ſervandum, an *ἐμβαλεῖν* praeferendum ſit?

3 R. addidit *δὲ* de ſuo.

4 Duſ. *ὡς* delendum cenſuit. Wolfius ante *ὡς* inſerit *ἐδόκει.* R.

ριφορᾷ πραγμάτων, εἰς ἐκεῖνο καιρȢ συμπεραίνȣσα τὴν ἐλευθερίαν τῆς Ἑλλάδος, ἐναντιȣ̃σθαι τοῖς πραττομένοις, καὶ πολλὰ σημεῖα τȣ̃ μέλλοντος ἀναφαίνειν, ἐν οἷς ἥ τε Πυθία δεινὰ πρȣ̃φαινε μαντεύματα, καὶ χρησμὸς ᾔδετο παλαιὸς ἐκ τῶν Σιβυλλείων·

Τῆς ἐπὶ Θερμώδοντι μάχης ἀπάνευθε γενοίμην,
Αἰετὸς ἐν νεφέεσσι καὶ ἠέρι θηήσασθαι [1].
Κλαίει ὁ νικηθεὶς, ὁ δὲ νικήσας ἀπόλωλε.

τὸν δὲ Θερμώδοντα φασὶν εἶναι παρ' ἡμῖν ἐν Χαιρωνείᾳ ποτάμιον μικρὸν εἰς τὸν Κηφισὸν ἐμβάλλον· ἡμεῖς δὲ νῦν μὲν ȣ̓δὲν ἴσμεν ȣ̌τω τῶν ῥευμάτων ὀνομαζόμενον, εἰκάζομεν δὲ, τὸν καλȣ́μενον Αἵμωνα Θερμώδοντα λέγεσθαι τότε, καὶ παραῤῥεῖ παρὰ τὸ Ἡράκλειον, ὅπȣ κατεστρατοπέδευον οἱ Ἕλληνες· καὶ τεκμαιρόμεθα, τῆς μάχης γενομένης, αἵματος ἐμπλησθέντα καὶ νεκρῶν τὸν ποταμὸν, ταυτηὶ [2] διαλλάξαι τὴν προσηγορίαν. ὁ δὲ Δȣ̃ρις ȣ̓ ποταμὸν εἶναί φησι τὸν Θερμώδοντα, ἀλλ' ἱστάντας τινὰς σκηνὴν καὶ περιορύττοντας, ἀνδριαντίσκον εὑρεῖν λίθινον ὑπὸ γραμμάτων τινῶν διασημαινόμενον, ὡς εἴη Θερμώδων, ἐν ταῖς ἀγκάλαις Ἀμαζόνα φέρων τετρω-

R. defendit ὡς, sed paulo post deesse censet δοκεῖ pone ἐναντιȣ̃σθαι: *Fortuna quaedam, non illa fortuita, sed, ut videtur, a numine gubernata, rebus a Demosthene institutis & agitatis obstitisse videtur*, vel *est per quam credibile atque probabile*. Bartono monente, quaeri potest, an infinitivus nunquam ponatur absolute pro indicativo, id quod affirmant Clericus Art. Crit. V. I. p. 365. & Maittaire de Gr. l. Dial. p. 86.

1 Junt. Ald. Crat. θεήσασθαι.

2 V. ταύτην. R. susp. ταύτην ἤδη ἀλλάξασθαι. Thermodontem fluvium juxta urbem Glisantem in Boeotia ponit Pausan. in Boeot. — Duris, cujus sit mentio, paulo post Samius, aetate Ptolemaei Philadelphi floruit. Scripsit Macedonica multis libris; in historia satis diligens, stylo negligentior. B.

τετρωμένην. ἐπὶ τȣτῳ [1] χρησμὸν ἄλλον ᾄδεσθαι, λέγοντα·

Τὴν ἐπὶ Θερμώδοντι μάχην μένε, παμμέλαν ὄρνι,
Τηνεί τοι κρέα πολλὰ παρέσσεται ἀνθρώπεια.

XX. Ταῦτα μὲν ȣ̃ν ὅπως ἔχει, διαιτῆσαι χαλεπόν. ὁ δὲ Δημοσθένης λέγεται, τοῖς τῶν Ἑλλήνων ὅπλοις ἐκτεθαῤῥηκὼς, καὶ λαμπρῶς ὑπὸ ῥώμης καὶ προθυμίας ἀνδρῶν, τοσȣ́των προκαλȣμένων τȣ̀ς πολεμίȣς αἰρόμενος, ȣ̈τε χρησμοῖς ἐᾷν προσέχειν [2], ȣ̈τε μαντείας ἀκȣ́ειν· ἀλλὰ καὶ τὴν Πυθίαν ὑπονοεῖν ὡς Φιλιππίζȣσαν, ἀναμιμνήσκων Ἐπαμινώνδȣ τȣ̀ς Θηβαίȣς, καὶ Περικλέȣς τȣ̀ς Ἀθηναίȣς, ὡς ἐκεῖνοι τὰ τοιαῦτα δειλίας ἡγȣ́μενοι προφάσεις, ἐχρῶντο τοῖς λογισμοῖς. μέχρι μὲν ȣ̃ν τȣ́των ἀνὴρ ἦν ἀγαθός. ἐν δὲ τῇ μάχῃ καλὸν ȣ̓δὲν, ȣ̓δ᾽ ὁμολογȣ́μενον ἔργον, οἷς εἶπεν, ἀποδειξάμενος, ᾤχετο [3] τὴν τάξιν ἀποδρὰς αἴχιστα, καὶ τὰ ὅπλα ῥίψας, ȣ̓δὲ τὴν ἐπιγραφὴν τῆς ἀσπίδος, ὡς ἔλεγε Πυθέας, αἰχυνθεὶς, ἐπιγεγραμμένης γράμμασι χρυσοῖς· Ἀγαθῇ τύχῃ [4]. παραυτίκα μὲν ȣ̃ν ὁ Φίλιππος ἐπὶ τῇ νίκῃ διὰ τὴν χαρὰν ἐξυβρίσας, καὶ κωμάσας ἐπὶ τȣ̀ς νεκρȣ̀ς, μεθύων ᾖδε τὴν ἀρχὴν τȣ̃ Δημοσθένȣς ψηφίσματος, πρὸς πόδα διαίρων [5] καὶ ὑποκρȣ́ων·

Δημοσθένης Δημοσθένȣς Παιανιεὺς τάδ᾽ εἶπεν.

ἐκ-

1 B. 3. *ἐπὶ δὲ τȣ́τῳ*, quod B. dedit. Ad *ᾄδεσθαι* fubaud. e praem. *φασί*. Pro *λέγοντα* V. *λέγει πρὸς δέ*. Id. *τὴν εἴ τοι* pro *τηνεί τοι*. Pro vulg. *ἀνθρώποισι* R. & B. receperunt *ἀνθρώπεια*, Br. probante.

2 Sic R. de fuo dedit pro vulg. *προέχειν*. Idem & Duf. fufpic.

3 V. poft h. v. inferit *λιπών*. In ind. var. Fift. ex Anon. enotatur haud dubie ad feqq. *καὶ τὰ λιπὼν ὅπλα*.

4 Alii in Plut. *ἀγαθὴν τύχην*.

5 V. *διαιρῶν*. Hoc recepi B. Wolfii auctoritate, vertens: *in pedes metricos digerens*. Xyl. *ὑποκρȣ́ων* effe monet menfuram

ἐκνήψας δὲ, καὶ τὸ μέγεθος τȣ̃ περιςάντος αὐτὸν ἀγῶνος ἐν νῷ λαβὼν, ἔφριτε τὴν δεινότητα καὶ τὴν δύναμιν τȣ̃ ῥήτορος, ἐν μέρει μικρῷ μιᾶς ἡμέρας τὸν ὑπὲρ τῆς ἡγεμονίας καὶ τȣ̃ σώματος ἀναῤῥίψαι κίνδυνον ἀναγκασθεὶς ὑπ' αὐτȣ̃. διῖκτο δ' ἡ δόξα μέχρι τȣ̃ Περσῶν βασιλέως. κἀκεῖνος ἔπεμψε τοῖς σατράπαις [1] χρήματα, Δημοσθένει διδόναι κελεύων καὶ προσέχειν ἐκείνῳ μάλιςα τῶν Ἑλλήνων, ὡς περισπάσαι δυναμένῳ καὶ κατασχεῖν ταῖς Ἑλληνικαῖς ταραχαῖς τὸν Μακεδόνα. ταῦτα μὲν ȣ̃ν ὕςερον ἐφώρασεν Ἀλέξανδρος, ἐν Σάρδεσιν ἐπιςολάς τινας [2] ἀνευρὼν τȣ̃ Δημοσθένȣς, καὶ γράμματα τῶν βασιλέως ςρατηγῶν, δηλȣ̃ντα τὸ πλῆθος τῶν δοθέντων αὐτῷ χρημάτων.

XXI. Τότε δὲ τῆς ἀτυχίας τοῖς Ἕλλησι γενομένης, οἱ μὲν ἀντιπολιτευόμενοι ῥήτορες, ἐπεμβαίνοντες τῷ Δημοσθένει, κατεσκεύαζον εὐθύνας καὶ γραφὰς ἐπ' αὐτόν· ὁ δὲ δῆμος ȣ̓ μόνον τȣ́των ἀπέλυεν, ἀλλὰ καὶ τιμῶν διετέλει, καὶ προσκαλȣ́μενος αὖθις, ὡς εὔνȣν, εἰς τὴν πολιτείαν, ὥςε καὶ τῶν ὀςέων ἐκ Χαιρωνείας κομισθέντων, καὶ θαπτομένων, τὸν ἐπὶ τοῖς ἀνδράσιν ἔπαινον εἰπεῖν ἀπέδωκεν [3], ȣ̓ ταπεινῶς, ȣ̓δ' ἀγεννῶς, φέρων τὸ συμβεβηκὸς, ὡς γράφει καὶ τραγῳδεῖ Θεόπομπος, ἀλλὰ τῷ τιμᾶν μάλιςα καὶ κοσμεῖν τὸν σύμβȣλον ἀποδεικνύμενος τὸ μὴ μεταμέλεσθαι τοῖς βεβȣλευμένοις. τὸν μὲν ȣ̃ν λόγον εἶπεν ὁ Δημοσθένης, τοῖς δὲ ψηφίσμασιν ȣ̓χ ἑαυτὸν, ἀλλ' ἐν μέρει τῶν φίλων ἕκαςον

furam carminis vel manus vel pedum motu exprimere, vulgo die Menfur fchlagen. Quod in his de Philippo Plut. refert, diserte negant Juftin. l. 9. c. 4. & Aelian. V. H. l. 8. c. 15.

1 V. addit ἐπὶ θάλασσαν, quod Mofi Duf. genuinum videtur. Vulgo extat poft σατρ. — γράμματα. Delevit hanc vocem R.

2 Sola Br. omifit τινας. R. reftituit.

3 Oratio funebris, quae nunc extat, fuppofititia videtur Dionyfio Hal. π. τ. Δημ. δεινότ. c. 23.

ἕκαστον ἐπέγραφεν, ἐξοινιζόμενος τὸν ἴδιον δαίμονα καὶ τὴν τυχην, ἕως αὖθις ἀνεθάῤῥησε, Φιλίππου τελευτήσαντος. ἐτελεύτησε δὲ τῇ περὶ Χαιρώνειαν εὐτυχίᾳ χρόνον οὐ πολὺν [1] ἐπιβιώσας. καὶ τοῦτο δοκεῖ τῷ τελευταίῳ τῶν ἐπῶν ὁ χρησμὸς ἀποθεσπίσαι·

Κλαίει ὁ νικηθεὶς, ο δὲ νικήσας ἀπόλωλεν.

XXII. Ἔγνω μὲν οὖν κρύφα τὴν τοῦ Φιλίππου τελευτὴν ὁ Δημοσθένης. προκαταλαμβάνων [2] δὲ τὸ θαῤῥεῖν ἐπὶ τὰ μέλλοντα τοὺς Ἀθηναίους, προῆλθε φαιδρὸς εἰς τὴν βουλὴν, ὡς ὄναρ ἑωρακὼς, ἀφ' οὗ τὶ μέγα [3] προσδοκᾷν Ἀθηναίοις ἀγαθόν· καὶ μετ' οὐ πολὺ παρῆσαν οἱ τὸν Φιλίππου θάνατον ἀπαγγέλλοντες. εὐθὺς οὖν ἔθυον εὐαγγέλια, καὶ στεφανοῦν ἐψηφίσαντο Παυσανίαν. καὶ προῆλθεν ὁ Δημοσθένης ἔχων λαμπρὸν ἱμάτιον ἐστεφανωμένος, ἑβδόμην ἡμέραν τῆς θυγατρὸς αὐτοῦ τεθνηκυίας, ὡς Αἰσχίνης φησὶ, λοιδορῶν ἐπὶ τούτῳ, καὶ κατηγορῶν αὐτοῦ μισοτεκνίαν, αὐτὸς ὢν ἀγεννὴς καὶ μαλακὸς, εἰ τὰ πένθη [4] καὶ τοὺς ὀδυρμοὺς ἡμέρου καὶ φιλοστόργου ψυχῆς ἐποιεῖτο σημεῖα, τὸ δ' ἀλύπως φέρειν ταῦτα [5] καὶ πρᾴως ἀπεδοκίμαζεν. ἐγὼ δ', ὡς μὲν ἐπὶ θανάτῳ βασιλέως ἡμέρως οὕτω καὶ φιλανθρώπως ἐν οἷς ηὐτύχησε χρησαμένου πταίσασιν αὐτοῖς, στεφανηφορεῖν καλῶς

1 Pugnatum est ad Chaeroneam Olymp. 110, 3. Obiit Philippus a Pausania interfectus Olymp. 111, 1. B.

2 R. susp. προλαμβάνων, *praeoccupans Athenienses, iis praeveniens in fiducia rerum futurarum.* Pro τὸ θαῤῥ. Anon. τῷ θαῤῥεῖν. Artic. τὸ R. tuetur; at de voce θαῤῥεῖν dubius est. Si servetur, deleri vult seq. ἐπὶ, cum θαῤῥεῖν τι, non ἐπί τι, sit: *de aliqua re fidere, securus de ea esse.* Sin ἐπὶ servetur, θαῤῥεῖν mutandum censet cum θαῤῥύνειν — *primus omnium Atheniensium esse contendens, qui cives ad futura fata fortes & fidentes redderet, bonaque spe repeteret.*

3 R. videtur post h. v. deesse δέοι, aut δέῃ.

4 Photius, B. notante, pro τὰ πένθη legit τὸ ταπεινόν.

5 scil. τὰ πένθη, mortes liberorum luctusque de iis. R.

καλῶς εἶχε [1] καὶ θύειν, ἐκ ἂν εἴποιμι· πρὸς γὰρ τῷ νεμεσητῷ καὶ ἀγεννὲς, ζῶντα μὲν τιμᾷν καὶ ποιεῖσθαι πολίτην, πεσόντος δ' ὑφ' ἑτέρε, μὴ φέρειν τὴν χαρὰν μετρίως, ἀλλ' ἐπισκιρτᾷν τῷ νεκρῷ καὶ παιωνίζειν, ὥσπερ αὐτὲς [2] ἀνδραγαθήσαντας. ὅτι μέντοι τὰς οἴκοι τύχας καὶ δάκρυα καὶ ὀδυρμὲς ἀπολιπὼν ταῖς γυναιξὶν ὁ Δημοσθένης, ἃ τῇ πόλει συμφέρειν ᾤετο, ταῦτ' ἔπραττεν, ἐπαινῶ, καὶ τίθεμαι πολιτικῆς καὶ ἀνδρώδες ψυχῆς, ἀεὶ πρὸς τὸ κοινὸν ἱςάμενον [3], καὶ τὰ οἰκεῖα πάθη καὶ πράγματα τοῖς δημοσίοις ἐπανέχοντα [4], τηρεῖν τὸ ἀξίωμα πολὺ μᾶλλον, ἢ τὲς ὑποκριτὰς τῶν βασιλικῶν καὶ τυραννικῶν προσώπων· ἓς ὁρῶμεν ἔτε κλαίοντας, ἔτε γελῶντας, ἐν τοῖς θεάτροις, ὡς αὐτοὶ θέλεσιν, ἀλλ' ὡς ὁ ἀγὼν ἀπαιτεῖ πρὸς τὴν ὑπόθεσιν. χωρὶς δὲ τέτων, εἰ δεῖ τὸν ἀτυχήσαντα μὴ περιορᾷν ἀπαρηγόρητον ἐν τῷ πάθει κείμενον, ἀλλὰ καὶ λόγοις χρῆσθαι κεφίζεσι [5], καὶ πρὸς ἡδίω πράγματα τρέπειν τὴν διάνοιαν, ὥσπερ οἱ [6] τὲς ὀφθαλμιῶντας ἀπὸ τῶν λαμπρῶν καὶ ἀντιτύπων ἐπὶ τὰ χλωρὰ καὶ μαλακὰ χρώματα τὴν ὄψιν ἀπάγειν κελεύοντες· πόθεν ἄν τις ἐπαγάγοιτο [7] βελ-

1 Sic cum V. Anon. & Dacer. scribi voluit Br. deditque R. Vulgo καλῶς, εἰ δὲ. Idem quoque *Photius* in iis, quae ex hac vita in bibliothecam suam retulit. H. Steph. susp. καλὸν ἔτι δὲ καὶ θ.

2 V. addit post h. v. artic. τὲς.

3 Photius ἐνιςάμενον. R. ad κοινὸν subaudiri vult συμφέρον, *discedentem ad illam partem, ubi est resp. h. e. decus & salus patriae, ibique stantem.*

4 B. docente — *rem privatam minoris facere, quam rempublicam.* R. autem idem est, ac ἀνέχοντα ἐπὶ τοῖς δημοσίοις, *ob publicos casus, quo iis servire possit, affectiones privatas reprimentem atque compescentem.*

5 Sola Br. κεφίζεσι. R. restituit priorem lectionem.

6 Artic. οἱ cum V. Anon. B. 3. dedit R. uti & cum iisdem in seq. κελεύοντες. Vulgo ὥσπερ εἰ — κελεύοντας absque οἱ. Junt. κελεύοντος. Photius ὥσπερ κελεύοντες.

7 Sic cum V. Anon. B. 3. dedit R. pro vulg. ἀπαγάγοιτο.

βελτίω παρηγορίαν, ἢ πατρίδος εὐτυχέσης [1] ἐκ τῶν κοινῶν παθῶν ἐπὶ τὰ οἰκεῖα σύγκρασιν πορίζόμενος, τοῖς βελτίοσιν ἀφανίζεσαν τὰ χείρω; ταῦτα μὲν ἒν εἰπεῖν προήχθημεν, ὁρῶντες ἐπικλῶντα πολλὰς καὶ ἀποθηλύνοντα τὸν Αἰχίνην τῷ λόγῳ τέτῳ πρὸς οἶκτον.

XXIII. Αἱ δὲ πόλεις, πάλιν τἒ Δημοσθένες ἀναῤῥιπίζοντος αὐτὰς, συνίσαντο· καὶ Θηβαῖοι μὲν ἐπέθεντο τῇ Φρερᾷ [2], καὶ πολλὰς ἀνεῖλον, ὅπλα τἒ Δημοσθένες αὐτοῖς παρασκευάσαντος· Ἀθηναῖοι δ' ὡς πολεμήσοντες μετ' αὐτῶν παρεσκευάζοντο. καὶ τὸ βῆμα κατεῖχεν ὁ Δημοσθένης, καὶ πρὸς τὲς ἐν Ἀσίᾳ ςρατηγὲς τἒ βασιλέως ἔγραφε, τὸν ἐκεῖθεν ἐπεγείρων πόλεμον Ἀλεξάνδρῳ, παῖδα καὶ Μαργίτην [3] ἀποκαλῶν αὐτόν. ἐπεὶ μέντοι τὰ περὶ τὴν χώραν θέμενος [4], παρῆν αὐτὸς μετὰ τῆς δυνάμεως εἰς τὴν Βοιωτίαν, ἐξεκέκοπτο μὲν ἡ θρασύτης τῶν Ἀθηναίων, καὶ ὁ Δημοσθένης ἀπεσβήκει [5]. Θηβαῖοι δὲ, προδοθέντες [6] ὑπ' ἐκείνων, ἠγωνίσαντο καθ' αὐτὲς, καὶ τὴν πόλιν ἀπέβαλον [7]. θορύβε δὲ μεγάλε τὲς Ἀθηναίες περιεςῶτος, ἀπεςάλη μὲν ὁ Δημοσθένης, αἱρεθεὶς [8] μεθ' ἑτέρων πρεσβευτὴς πρὸς Ἀλέξ-

1 Sic B. & R. dederunt cum V. & Anon. & Phocio in Bibl. pro vulg. ἀτυχέσης. Mosi Duſ. quidem huic ſcripturae ſola vox παθῶν non videtur favere, quia haud temere in bonam partem uſurpata reperiatur.

2 deſignat praeſidium Macedonicum, a Philippo Thebis impoſitum.

3 inertem & nullius pretii ſtolidumque hominem. Xyl.

4 R. quaerit, num θέμενος εὖ? an εὖ ſalva ſententia abeſſe poſſit, ut diceretur θέσθαι pro θέσθαι εὖ?

5 Br. ſuſp. ἀπεπλήχει.

6 Ald. & Crat. προσδοθέντες. Hinc e V. in ind. Frft. enotatur προδοθέντες.

7 Thebae dirutae ſunt Olymp. III, 2. Quanto ea res perculerit horrore, refert Arrian. l. I.

8 Vulgo poſt h. v. inſeritur δὲ, quod B. & R. Bodl. 3. ſecuti, deleverunt. Vulgo quoque poſt Δημοσθένης extitit punctum.

Ἀλέξανδρον, δείσας δὲ τὴν ὀργὴν, ἐκ τῦ Κιθαιρῶνος ἀνεχώρησεν ὀπίσω, καὶ τὴν πρεσβείαν ἀφῆκεν. εὐθὺς δ' ὁ Ἀλέξανδρος ἐξῄτει [1] πέμπων τῶν δημαγωγῶν δέκα μὲν, ὡς Ἰδομενεὺς καὶ Δῦρις εἰρήκασιν· ὀκτὼ δ', ὡς οἱ πλεῖστοι καὶ δοκιμώτατοι τῶν συγγραφέων, τοὺσδε [2], Δημοσθένη, Πολύευκτον, Ἐφιάλτην, Λυκοῦργον, Μοιροκλέα, Δάμωνα, Καλλισθένη, Χαρίδημον. ὅτε καὶ τὸν περὶ τῶν προβάτων λόγον ὁ Δημοσθένης, ὡς [3] τοῖς λύκοις τοὺς κύνας ἐξέδωκε, διηγησάμενος, αὐτὸν μὲν εἴκασε καὶ τοὺς σὺν αὐτῷ κυσὶν ὑπὲρ τοῦ δήμου μαχομένοις, Ἀλέξανδρον δὲ, τὸν Μακεδόνα, μονόλυκον προσηγόρευσεν. ἔτι δ' ὡς [4], ἔφη, τοὺς ἐμπόρους ὁρῶμεν, ὅταν ἐν τρυβλίῳ δεῖγμα περιφέρωσι, δι' ὀλίγων πυρῶν τοὺς πολλοὺς πιπράσκοντας, οὕτως ἐν ἡμῖν λανθάνετε πάντας αὐτοὺς συνεκδιδόντες. Ταῦτα μὲν οὖν Ἀριστόβουλος [5], ὁ Κασανδρεὺς, ἱστόρηκε. βουλευομένων δὲ τῶν Ἀθηναίων καὶ διαπορούντων, ὁ Δημάδης λαβὼν πέντε τάλαντα παρὰ τῶν ἀνδρῶν, ὡμολόγησε πρεσβεύσειν [6] καὶ δεήσεσθαι τοῦ βασιλέως ὑπὲρ αὐτῶν· εἴτε τῇ φιλίᾳ πιστεύων, εἴτε

ctum. B. id prorsus sustulit, R. dedit comma. Duae erant Atheniensium ad Alexandrum legationes, testibus Just. l. 11. & Diodor. l. 17.: quas Plutarchus non distinguit. Ad primam, quae ante direptionem Thebarum accidit, designatus est Demosthenes, testibus Diodor. & Aesch.

1 Sic B. & R. cum B. 3. dederunt. Vulgo ἐζήτει.

2 Arrian. Damonis & Callisthenis non meminit; sed eorum loco Hyperidem numerat, Charetem etiam & Diotimum, qui sicut Charidemus στρατηγοὶ magis erant, quam δημαγωγοί. B. B. 3. pro Μοιροκλέα habet Ναυσικλέα. Pro Δάμωνα B. Δήμωνα exhibet, Ms. Bodl. secutus. *Ephialten* hunc Idem ab eo, cujus supra mentio est facta, distinguendum esse monet.

3 Sic cum Junt. V. Anon. B. 3. dedit R. pro vulg. ὅς. Haec lectio ex Ald. prodiit. Crat. exhibet ὡς. Dus. mavult ᾇ.

4 Junt. ὥσπερ.

5 Aristobulus, quem se plurimum sequi fatetur, Arrianus, comes erat Alexandri, cujus res gestas descripsit. B.

6 B. 3. πρεσβεύειν. Sic & Junt. Ald. Crat.

τε προσδοκῶν μεσὸν εὑρήσειν, ὥσπερ λέοντα, φόνε κεκορεσμένον. ἔπεισε δ' ἐν καὶ παρῃτήσατο τὲς ἄνδρας ὁ Δημάδης, καὶ διήλλαξεν αὐτῷ [1] τὴν πόλιν.

XXIV. Ἀπελθόντος δ' Ἀλεξάνδρε, μεγάλοι μὲν ἦσαν ἐτοι [2], ταπεινὰ δ' ἔπραττεν ὁ Δημοσθένης. κινεμένῳ δ' Ἄγιδι [3] τῷ Σπαρτιάτῃ βραχέα συνεκινήθη πάλιν, εἶτ' ἔπτηξε, τῶν μὲν Ἀθηναίων ἐ συνεξαναστάντων, τε δ' Ἄγιδος πεσόντος, καὶ τῶν Λακεδαιμονίων συντριβέντων. εἰσήχθη δὲ τότε καὶ ἡ περὶ τε στεφάνε γραφὴ κατὰ Κτησιφῶντος, γραφεῖσα μὲν ἐπὶ Χαιρώνδε [4] ἄρχοντος, μικρὸν ἐπάνω τῶν Χαιρωνικῶν, κριθεῖσα δ' ὕστερον ἔτεσι δέκα [5] ἐπ' Ἀριστοφῶντος, γενομένη δὲ, ὡς ἐδεμία τῶν δημοσίων, περιβόητος, διά τε τὴν δόξαν τῶν λεγόντων, καὶ τὴν τῶν δικαζόντων εὐγένειαν· οἳ τοῖς ἐλαύνεσι τὸν Δημοσθένη, τότε πλεῖστον δυναμέ-

T 2 νοις

1 Sic cum V. probante Duſ. dederunt B. & R. Vulgo αὐτῶν.

2 R. quaerit, quinam hi ſint? — Eo judice, Athenienſes deſignantur, qui Macedonibus ſtuderent; ſed ἐτοι, ſic projectum, offendit.

3 Agis rex Lacedaemonius fortiſſime dimicans ab Antipatro victus eſt, Alexandro in Perſia agente, Olymp. 112, 3.

4 Br. Χαρώνδε legi vult. Meurs. autem nomen Χαρώνδ. vitioſe ſcriptum cenſet, quod & apud Dionyſ. male Χαιρωνίδας detur. Cf. de Arch. Athen. L. IV. c. XI.

5 Palmer. & Dacer. non X. ſed VIII. tantum dici debuiſſe, hic ex Archontum ſerie, ille ex Olympiadum apud Diodor. notatione putant. Conſentit Meurſ. & originem mendi e confuſione numerorum η & ι derivat. Opponit his B. auctoritatem Ciceronis, qui *de opt. gen. dic.* diſerte dicit: *Hanc mulctam Aeſchines a Cteſiphonte petiit quadriennio ante Philippi Macedonis mortem.* „Obiiſſe, pergit B. — Philippum Olymp. 111, 1. omnes conſentiunt: ſexennio poſt, Olymp. 112, 3. Archon erat Ariſtophon (quamvis Dion. Halic. neſcio quos ſecutus octo annos a Philippi interitu ad eum numerat) adeo ut, ſive M. Tullium ſequaris, conſtet per decennium cauſam haeſiſſe; ſive Dionyſium, capto a Chaeronda ſupputandi initio, idem numerus conficiatur."

νοις καὶ μακεδονίζȣσιν, ȣ̓ προήκαντο τὴν κατ' αὐτȣ̃ ψῆφον, ἀλλ' ȣ̋τω λαμπρῶς ἀπέλυσαν, ὥϛε τὸ πέμπτον μέρος τῶν ψήφων Αἰσχίνην μὴ μεταλαβεῖν. ἐκεῖνος μὲν ȣ̓͂ν εὐθὺς ἐκ τῆς πόλεως ᾤχετ' ἀπιὼν, καὶ περὶ Ῥόδον καὶ Ἰωνίαν σοφιϛεύων κατεβίωσε.

XXV. Μετ' ȣ̓ πολὺ [1] δ' Ἅρπαλος ἧκεν ἐξ Ἀσίας εἰς τὰς Ἀθήνας, ἀποδρὰς Ἀλέξανδρον, αὐτῷ τε τὰ πράγματα συνειδὼς πονηρὰ δι' ἀσωτίαν, κἀκεῖνον ἤδη χαλεπὸν ὄντα τοῖς φίλοις δεδοικώς. καταφυγόντος δὲ πρὸς τὸν δῆμον αὐτȣ̃, καὶ μετὰ τῶν χρημάτων καὶ τῶν νεῶν αὐτὸν παραδιδόντος, οἱ μὲν ἄλλοι ῥήτορες εὐθὺς ἐποφθαλμιάσαντες πρὸς τὸν πλȣ̃τον, ἐβοήθȣν, καὶ συνέπειθον τȣ̀ς Ἀθηναίȣς δέχεσθαι καὶ σώζειν τὸν ἱκέτην. ὁ δὲ Δημοσθένης πρῶτον μὲν ἀπελαύνειν συνεβȣ́λευε τὸν Ἅρπαλον, καὶ φυλάττεσθαι, μὴ τὴν πόλιν ἐμβάλωσιν εἰς πόλεμον ἐξ ȣ̓κ ἀναγκαίας καὶ ἀδίκȣ προφάσεως· ἡμέραις δ' ὀλίγαις ὕϛερον ἐξεταζομένων τῶν χρημάτων, ἰδὼν αὐτὸν ὁ Ἅρπαλος ἡσθέντα βασιλικῇ [2] κύλικι, καὶ καταμανθάνοντα τὴν τορείαν καὶ τὸ εἶδος, ἐκέλευε διαβασάσαντα, τὴν ὁλκὴν τȣ̃ χρυσίȣ σκέψασθαι. θαυμάσαντος δὲ τȣ̃ Δημοσθένȣς τὸ βάρος, καὶ πυθομένȣ, πόσον ἄγει, μειδιάσας ὁ Ἅρπαλος· Ἄξει σοι, φησὶν, εἴκοσι τάλαντα [3]. καὶ γενομένης τάχιϛα τῆς νυκτὸς, ἔπεμψεν αὐτῷ τὴν κύλικα μετὰ τῶν εἴκοσι ταλάντων. ἦν δ' ἄρα δεινὸς ὁ Ἅρπαλος ἐρωτικȣ̃ πρὸς χρυσίον ἀνδρὸς ὄψεως [4] διαχύσει καὶ βολαῖς ὀμμάτων ἀνευρεῖν ἦθος. ȣ̓ γὰρ ἀντέσχεν ὁ Δημοσθένης, ἀλλὰ πληγεὶς ὑπὸ τῆς δωροδοκίας, ὥσπερ παραδεδεγμένος φρȣρὰν, προσκεχωρήκει τῷ Ἁρπάλῳ. καὶ μεθ' ἡμέραν εὖ καὶ καλῶς

1 Olymp. 113, 2. De Harpali luxuriis vid. Plut. in Phoc. Athen. l. 13. Diodor. 17.

2 Teste H. Steph. alia est lectio βαρβαρικῇ. Sic V. & B. 3.

3 Alibi Plutarchus Δαρεικȣ̀ς χιλίȣς. Br.

4 Sic R. de suo dedit pro vulg. ὄψιν καὶ διαχύσει. Anon. & V. ὄψει, quod, Br. monente, dedit B.

καλῶς ἐρίοις καὶ ταινίαις κατὰ τȣ̃ τραχήλȣ καθελιξάμενος [1], εἰς τὴν ἐκκλησίαν προῆλθε· καὶ κελευόντων ἀνίςαθαι καὶ λέγειν, διένευεν, ὡς ἀποκεκομμένης αὐτῷ τῆς Φωνῆς. οἱ δ' εὐΦυεῖς χλευάζοντες, ȣ̓χ ὑπὸ συνάγχης [2] ἔΦραζον, ἀλλ' ὑπ' ἀργυράγχης εἰλῆΦθαι νύκτωρ τὸν δημαγωγόν· ὕςερον δὲ τȣ̃ δήμȣ παντὸς αἰσθομένȣ τὴν δωροδοκίαν, καὶ βȣλόμενον [3] ἀπολογεῖσθαι καὶ πείθειν ȣ̓κ ἐῶντος, ἀλλὰ χαλεπαίνοντος καὶ θορυβȣ̃ντος, ἀναςάς τις ἔσκωψεν, εἰπὼν [4]. Οὐκ ἀκȣ́σεθε, ὦ ἄνδρες Ἀθηναῖοι, τȣ̃ τὴν κύλικα ἔχοντος; Τότε μὲν ȣ̓̃ν ἀπέπεμψαν ἐκ τῆς πόλεως τὸν Ἅρπαλον· δεδιότες δὲ, μὴ λόγον ἀπαιτῶνται χρημάτων, ὧν διηρπάκεσαν οἱ ῥήτορες, ζήτησιν ἐποιȣ̃ντο νεανικὴν, καὶ τὰς οἰκίας ἐπιόντες ἠρεύνων, πλὴν τῆς Καλλικλέȣς [5] τȣ̃ Ἀῤῥενίδȣ. μόνην γὰρ τὴν τȣ́τȣ νεωςὶ γεγαμηκότος ȣ̓κ εἴασαν ἐλεγχθῆναι, νύμΦης ἔνδον ȣ̓́σης, ὡς ἱςορεῖ Θεόπομπος.

XXVI. Ὁ δὲ Δημοσθένης ὀμόσε χωρῶν, εἰσήνεγκε ψήΦισμα, τὴν ἐξ Ἀρείȣ πάγȣ βȣλὴν ἐξετάσαι τὸ πρᾶγμα, καὶ τȣ̀ς ἐκείνῃ δόξαντας ἀδικεῖν δȣ̃ναι δίκην. ἐν δὲ πρώτοις αὐτȣ̃ τῆς βȣλῆς ἐκείνȣ καταψηΦισα-



1 Sic scriptam dedit hanc vocem R. de suo. Vulgo κατελ. B. 3. τελιξάμενος.

2 Frst. & Br. συνάγκης. R. & B. dederunt συνάγχης, quod in prioribus edd. extitit. Seq. ὑπ' Dus. dari voluit pro vulg. ἀπ', deditque R. — Bodl. 3. habet παρ'.

3 Sic V. & Anon. & Steph. dari voluit, & dederunt R. & B. probante Dus. pro vulg. βȣλομένȣ.

4 Post h. v. Anon. in ind. var. Frst. inserit: ἐν γὰρ τοῖς συμποσίοις τὴν κύλικα ἔχοντες ᾖδον τὰ λεγόμενα σκόλια. Glossema hoc esse, concedit B. attamen hujus dicti acumen optime explicare persuasum habet. „Σκόλια quippe erant carmina convivalia, quorum exempla vide apud Athen. l. 15. Alii ita accipiunt: nonne audietis Pincernam regium. — quod scilicet ἡ κύλιξ supra dicitur βασιλική."

5 Foenerator erat. Vid. Plut. in Phoc. Dus.

φισαμένης [1], εἰσῆλθε μὲν εἰς τὸ δικαςήριον, ὄφλων δὲ πεντήκοντα ταλάντων δίκην, καὶ παραδοθεὶς εἰς τὸ δεσμωτήριον, αἰσχύνῃ τῆς αἰτίας, φησὶ [2], καὶ δι' ἀσθένειαν τȣ̃ σώματος, ȣ̓ δυναμένȣ φέρειν τὸν εἱργμὸν, ἀποδρᾶναι, τȣ̀ς μὲν λαθόντα [3], τῶν δὲ λαθεῖν ἐξȣσίαν δόντων. λέγεται γȣ̃ν, ὡς ȣ̓ μακρὰν τȣ̃ ἄςεος φεύγων, αἴσθοιτό τινας τῶν διαφόρων αὐτῷ πολιτῶν ἐπιδιώκοντας, καὶ βȣ́λοιτο μὲν αὑτὸν ἀποκρύπτειν· ὡς δ' ἐκεῖνοι φθεγξάμενοι τȣ̃νομα, καὶ προσελθόντες ἐγγὺς, ἐδέοντο λαβεῖν ἐφόδια παρ' αὐτῶν, ἐπ' αὐτὸ τȣ̃το κομίζοντες ἀργύριον οἴκοθεν, καὶ τȣ́τȣ χάριν ἐπιδιώξαντες [αὐτῷ [4],] ἅμα δὲ θαῤῥεῖν παρεκάλȣν, καὶ μὴ φέρειν ἀνιαρῶς τὸ συμβεβηκός· ἔτι μᾶλλον ἀνακλαύσασθαι τὸν Δημοσθένη, καὶ εἰπεῖν· Πῶς δ' ȣ̓ μέλλω [5] φέρειν βαρέως, ἀπολιπὼν πόλιν ἐχθρȣ̀ς τοιȣ́τȣς ἔχȣσαν, οἵȣς ἐν ἑτέρᾳ φίλȣς εὑρεῖν ȣ̓ ῥᾴδιόν ἐςιν; Ἤνεγκε

1 Lucian. in *Encom. Demosth.* totum hoc de Harpalo crimen pro falso habet, & Hyperidem perfidiae in Demosthenem accusat, condemnationis ejus ministrum. Cf. etiam Pausan. Corinth.

2 Sic R. de suo dedit pro vulg. φασί. *Demosthenes ipse ait*, in epistolis nempe, *se aufugisse e custodia*, *quod impar esset contumeliae carcerisque molestiis ferendis*.

3 Anon. ἀπέδρα, τȣ̀ς μὲν λαθών.

4 R. h. v. uncis inclusit, ut qua facile careatur. Anon. & V. αὐτόν, quod B. recepit. R. constructionem verbi ἐπιδιώκειν cum dat. non damnat, quae idem valeat, atque διώκειν ἐπί τινι, celerem in cursum, sive semet, sive equum, incitare, quo aliquem fugientem consequaris.

5 Aliter haec extant apud *Photii Biblioth.* 265. uti notavit Dacierius. Ille refert Aeschini in exilium abeunti Demosthenem integrum talentum dono dedisse, & simul monuisse, ut calamitatem aequo animo ferret, Aeschinem vero in has voces prorupisse: καὶ πῶς ἂν δυναίμην, τοιαύτης ἀποςερȣ́μενος πόλεως, ἐν ᾗ καὶ τȣ̀ς δοκȣ̃ντας ἐχθρȣ̀ς εἶναι τῶν ἀλλαχόθι φίλων χρηςότητι καὶ καλοκαγαθίᾳ εὑρεῖν ἐςι διαφέροντας. B.

κε δὲ τὴν φυγὴν μαλακῶς, ἐν Αἰγίνῃ καὶ Τροιζῆνι [1] καθεζόμενος τὰ πολλά· καὶ πρὸς τὴν Ἀττικὴν ἀποβλέπων δεδακρυμένος, ὥστε φωνὰς οὐκ εὐγνώμονας, οὐδ' ὁμολογούσας τοῖς ἐν τῇ πολιτείᾳ νεανιεύμασιν, ἀπομνημονεύεσθαι. λέγεται γὰρ ἐκ τοῦ ἄστεος ἀπαλλαττόμενος, καὶ πρὸς τὴν ἀκρόπολιν ἀνατείνας τὰς χεῖρας εἰπεῖν· Ὦ δέσποινα πολιὰς, τί δὴ τρισὶ τοῖς χαλεπωτάτοις χαίρεις θηρίοις, γλαυκὶ, καὶ δράκοντι, καὶ δήμῳ; τοὺς δὲ προσιόντας αὐτῷ καὶ συνδιατρίβοντας νεανίσκους ἀπέτρεπε τῆς πολιτείας, λέγων, ὡς, εἰ, δυοῖν προκειμένων ὁδῶν ἀπ' ἀρχῆς, τῆς μὲν ἐπὶ τὸ βῆμα καὶ τὴν [2] ἐκκλησίαν, τῆς δ' ἄντικρυς εἰς τὸν ὄλεθρον, ἐτύγχανε δὲ προειδὼς τὰ κατὰ τὴν πολιτείαν κακὰ, φόβους, καὶ φθόνους, καὶ διαβολὰς, καὶ ἀγῶνας, ἐπὶ ταύτην ἂν ὁρμῆσαι τὴν εὐθὺ τοῦ θανάτου τείνουσαν.

XXVII. Ἀλλὰ γὰρ, ἔτι φεύγοντος αὐτοῦ τὴν εἰρημένην φυγὴν, Ἀλέξανδρος μὲν ἐτελεύτησε [3], τὰ δ' Ἑλληνικὰ συνίσατο πάλιν, Λεωσθένους ἀνδραγαθοῦντος, καὶ περιτειχίζοντος Ἀντίπατρον ἐν Λαμίᾳ [4] πολιορκούμενον. Πυθέας μὲν οὖν, ὁ ῥήτωρ, καὶ Καλλιμέδων [5], ὁ Κάραβος, ἐξ Ἀθηνῶν φεύγοντες, Ἀντιπάτρῳ προσεγένοντο, καὶ μετὰ τῶν ἐκείνου φίλων καὶ πρέσβεων περιϊόντες οὐκ εἴων ἀφίστασθαι τοὺς Ἕλληνας, οὐδὲ προσέχειν τοῖς Ἀθηναίοις. Δημοσθένης δὲ, τοῖς ἐξ ἄστεος πρε-

T 4

1 Urbs in littore Argolico maritima, ex adverſo Athenarum trans ſinum Saronicum ſita. Partem exilii in Calauria ſe egiſſe dicit Demoſth. Ep. 2.

2 Hunc artic. τὴν, ſola a Br. omiſſum, R. reſtituit.

3 Deceſſit Alexander M. Olymp. 114, 1.

4 Lamia, urbs Theſſaliae. De hoc bello cf. Plut. in Phoc. — Diodor. l. 18. Juſt. 11. 5. & Pauſan. Att.

5 Athenienſis, Macedonum mercenarius, Antipatro poſt victoriam ad Cranonem auctor erat, ne Phocioni pro Athenis deprecanti crederet; tandem a Polyſperchonte cum Demetrio Phalereo capitis damnatus eſt. Vid. Plut. in Phoc.

πρεσβεύȢσι [1] προσμίξας ἑαυτὸν, ἠγωνίζετο καὶ συνέπραττεν, ὅπως αἱ πόλεις συνεπιθήσονται τοῖς Μακεδόσι, καὶ συνεκβαλȢσιν αὐτȢς τῆς Ἑλλάδος. ἐν δ' Ἀρκαδίᾳ καὶ λοιδορίαν τȢ ΠυθέȢ καὶ τȢ ΔημοσθένȢς γενέϑαι πρὸς ἀλλήλȢς εἴρηκεν ὁ Φύλαρχος [2], ἐν ἐκκλησίᾳ τȢ μὲν ὑπὲρ τῶν Μακεδόνων, τȢ δ' ὑπὲρ τῶν Ἑλλήνων λέγοντος. λέγεται δὲ, τὸν μὲν Πυθέαν εἰπεῖν, ὅτι, καθάπερ οἰκίαν, εἰς ἣν ὄνειον εἰσφέρεται γάλα, κακόν τι πάντως ἔχειν νομίζομεν, ȣτω καὶ πόλιν ἀνάγκη νοσεῖν, εἰς ἣν Ἀθηναίων πρεσβεία παραγίνεται· τὸν δὲ Δημοσθένη στρέψαι τὸ παράδειγμα, φήσαντα, καὶ τὸ γάλα τὸ ὄνειον ἐφ' ὑγείᾳ, καὶ τȢς ἈθηναίȢς παραγίνεϑαι ἐπὶ σωτηρίᾳ τῶν νοσȢντων. ἐφ' οἷς ἡσθεὶς ὁ τῶν Ἀθηναίων δῆμος, ψηφίζεται τῷ Δημοσθένει κάθοδον. τὸ μὲν Ȣν ψήφισμα Δήμων, ὁ Παιανιεὺς, ἀνεψιὸς ὢν ΔημοσθένȢς, εἰσήνεγκεν. ἐπέμφθη δὲ τριήρης ἐπ' αὐτὸν εἰς Αἴγιναν. ἐκ δὲ Πειραιῶς ἀνέβαινεν, ȣτ' ἄρχοντος, ȣτε ἱερέως, ἀπολειφθέντος, ἀλλὰ καὶ τῶν ἄλλων πολιτῶν ὁμȢ πάντων ἀπαντώντων καὶ δεχομένων προθύμως. ὅτε καί φησιν αὐτὸν ὁ Μάγνης Δημήτριος ἀνατείναντα τὰς χεῖρας μακαρίσαι τῆς ἡμέρας ἐκείνης αὐτὸν, ὡς βέλτιον ἈλκιβιάδȢ κατιόντα· πεπεισμένȢς γὰρ, Ȣ βεβιασμένȢς, ὑπ' αὐτȢ δέχεϑαι τȢς πολίτας. τῆς δὲ χρηματικῆς ζημίας αὐτῷ μενȢσης, (Ȣ γὰρ ἐξῆν χάριτι λῦσαι καταδίκην) ἐσοφίζοντο [3] πρὸς τὸν νόμον. εἰωθότες γὰρ ἐν τῇ θυσίᾳ τȢ Διὸς τȢ σωτῆρος ἀργύριον τελεῖν τοῖς κατασκευάζȢσι καὶ κοσμȢσι τὸν βωμὸν,

1 Polyeucto nimirum & Hyperidi.

2 Phylarchus vixit aetate Evergetae & Philopatoris. Scripsit historiarum libros octo & viginti, quos ad Evergetae mortem perduxit sumto exordio ab expeditione Pyrrhi in Peloponnesum. B. Alibi scribitur Φίλαρχος. Xyl.

3 Sic ex vet. codd. reposuit H. Steph. pro ἐψηφίσαντο, quod Junt. Ald. & Crat. habent. Xyl. voluit ἐσοφίσαντο, quod est in Anon. & B. 3.

μον, ἐκείνῳ τότε ταῦτα ποιῆσαι καὶ παραχεῖν [1] πεντήκοντα ταλάντων ἐξέδωκαν, ὅπερ ἦν τίμημα τῆς καταδίκης.

XXVIII. Οὐ μὴν ἐπὶ πολὺν χρόνον ἀπέλαυσε τῆς πατρίδος κατελθὼν, ἀλλὰ ταχὺ τῶν Ἑλληνικῶν πραγμάτων συντριβέντων, Μεταγειτνιῶνος μὲν ἡ περὶ Κρανῶνα [2] μάχη συνέπεσε, Βοηδρομιῶνος δὲ παρῆλθεν εἰς Μουνυχίαν [3] ἡ Φρουρὰ, Πυανεψιῶνος δὲ Δημοσθένης ἀπέθανε τόνδε τὸν τρόπον. ὡς Ἀντίπατρος καὶ Κρατερὸς ἠγγέλλοντο προσιόντες ἐπὶ τὰς Ἀθήνας, οἱ μὲν περὶ τὸν Δημοσθένη Φθάσαντες ὑπεξῆλθον ἐκ τῆς πόλεως, ὁ δὲ δῆμος αὐτῶν θάνατον κατέγνω [4], Δημάδου γράψαντος.



1 scil. ornare atque instruere aram Jovis Servatoris, & necessaria pompae praebere. ἐκδιδόναι, quod sequitur, dicitur, cum res publica, seu civitas, alicui susceptori (*Entrepreneur*) elocat opus faciendum certa mercede, quae merces ei ex aerario refundatur, postquam opus praestiterit. Sic hoc loco, cum Demosthenem, aerarium factum, sublevare vellent, quo commodius mulctam dependere posset irrogatam, elocabant ei munus ornandae arae Jovis, eaque pro opera condicebant ipsi quinquaginta talenta ex aerario reluenda. Fac decem talenta a Demosthene in apparatum ludorum fuisse faciendum, lucrabatur tamen hoc pacto quadraginta talenta, quae ipsi hac pia fraude in legem commissa, remittebantur, quae lex de mulcta quicquam remitti vetabat ei, cui semel mulcta dicta esset. R. Pro seq. ὅπερ V. & B. 3. ὅσον.

2 B. 3. Κρανῶν. Cranon urbs Thessaliae, juxta Peneum sita, ubi Antipater & Craterus junctis copiis Graecos profligabant.

3 Portus Atheniensis, in quo erat arx munitissima. Hanc nisi prius sibi traderent, ut praesidium in ea Macedonicum collocaret, omnes conditiones pacis recusavit Antipater. Praesidium ergo eam occupavit, ipso Eleusiniorum mysteriorum die, magno populi dolore. B. Cf. Plut. Phoc.

4 Fugerunt oratores, non metu Antipatri (ut vulgo creditur) qui nondum eorum deditionem postulaverat, sed veriti, ne dolor populi super accepta in bello Lamiaco calamitate in auctores

τος [1]. ἄλλων δ' ἀλλαχοῦ διασπαρέντων, ὁ Ἀντίπατρος περιέπεμπε τοὺς συλλαμβάνοντας, ὧν ἡγεμὼν ἦν Ἀρχίας, ὁ κληθεὶς Φυγαδοθήρας. τοῦτον δὲ, Θούριον ὄντα τῷ γένει, λόγος ἔχει τραγῳδίας ὑποκρίναθαί [2] ποτε, καὶ τὸν Αἰγινήτην Πῶλον [3], τὸν ὑπερβαλόντα τῇ τέχνῃ πάντας, ἐκείνου γεγονέναι μαθητὴν ἱστοροῦσιν. Ἕρμιππος δὲ τὸν Ἀρχίαν ἐν τοῖς Λακρίτου τοῦ ῥήτορος μαθητὴν [4] ἀναγράφει· Δημήτριος δὲ τῆς Ἀναξιμένους [5] διατριβῆς μετεσχηκέναι φησὶν αὐτόν. οὗτος οὖν ὁ Ἀρχίας, Ὑπερίδην [6] μὲν, τὸν ῥήτορα, καὶ Ἀριστόνικον, τὸν Μαραθώνιον, καὶ τὸν Δημητρίου, τοῦ Φαληρέως, ἀδελφὸν, Ἱμεραῖον, ἐν Αἰγίνῃ καταφυγόντας ἐπὶ τὸ Αἰάκειον [7], ἀποσπάσας, ἔπεμψεν εἰς Κλεωνὰς [8] πρὸς Ἀντί-

ctores defectionis verteretur. His ergo sibi fuga consulentibus, cives, priusquam legationem ad Antipatrum mitterent, Demosthenem &c. absentes, indicta causa aut capitis condemnarunt, ut Plutarchus & Suidas affirmant, aut certe, ut Nepos, exilio mulctarunt. Quo jure, non satis constat; utrum male gestae Reip. reos, an urbis tristissimo suo tempore relictae, id quod Athenis capitale fuit. B.

1 Demades tunc ἄτιμος erat, quippe septies violatarum legum condemnatus, adeoque non licuit illi per leges ad populum perorare. Famae ergo integritatem ei decreto restituerunt, & potestatem dicendi fecerunt. Diod. 18: Plut. in Phoc.

2 Sic de suo dedit R. pro vulg. ὑποκρίνεσθαι.

3 *Lucian.* in *Menip.* Suniensem vocat.

4 Anon. μαθηταῖς, quod Dus. probat & R. Ferri tamen posse censet μαθητὴν, i. e. ὡς ἕνα τῶν μαθητῶν. Lacritum eundem esse suspicatur Bartonus, adversus quem extat Demosthenis oratio.

5 Anaximenes Lampsacenus, rhetor insignis, cui nonnulli tribuunt librum ῥητορικῆς ad Alexandrum, inter Aristotelis opera editum.

6 Pro Hyperide Lucian. in Demosth. *Eucratem* habet. Dus.

7 Br. & Dus. susp. scribi debere Αἰάντειον, apud. Pausan. ναὸς Αἴαντος.

8 Cleonae, urbs Argolica, inter Argum & Corinthum sita. B.

Ἀντίπατρον· κἀκεῖ διεφθάρησαν. Ὑπερίδȣ δὲ καὶ τὴν γλῶτταν ἐκτμηθῆναι [1] λέγȣσι.

XXIX. Τὸν δὲ Δημοσθένη πυθόμενος ἱκέτην ἐν Καλαβρίᾳ [2] ἐν τῷ ἱερῷ Ποσειδῶνος καθέζεσθαι, διαπλεύσας ὑπηρετικοῖς, καὶ ἀποβὰς μετὰ Θρακῶν δορυφόρων, ἔπειθεν ἀναστάντα βαδίζειν μετ' αὐτȣ͂ πρὸς Ἀντίπατρον, ὡς δυσχερὲς πεισόμενον ȣ̓δέν. ὁ δὲ Δημοσθένης ἐτύγχανεν ὄψιν ἑωρακὼς κατὰ τȣ̀ς ὕπνȣς ἐκείνης τῆς νυκτὸς ἀλλόκοτον. ἐδόκει γὰρ ἀνταγωνίζεσθαι τῷ Ἀρχίᾳ τραγῳδίαν ὑποκρινόμενος· εὐημερῶν δὲ καὶ κατέχων τὸ θέατρον, ἐνδείᾳ παρασκευῆς καὶ χορηγίας κρατεῖσθαι. διὸ τȣ͂ Ἀρχίȣ πολλὰ φιλάνθρωπα διαλεχθέντος, ἀναβλέψας πρὸς αὐτὸν, ὥσπερ ἐτύγχανε καθήμενος· Ὦ Ἀρχία, εἶπεν, ȣ̓́τε ὑποκρινόμενός με ἔπεισας πώποτε, ȣ̓́τε νῦν πείσεις ἐπαγγελλόμενος. ἀρξαμένȣ δ' ἀπειλεῖν τȣ͂ Ἀρχίȣ μετ' ὀργῆς· Νῦν, ἔφη, λέγεις τὰ ἐκ τȣ͂ Μακεδονικȣ͂ τρίποδος, ἄρτι δ' ὑπεκρίνȣ. μικρὸν ȣ͂ν ἐπίσχες, ὅπως ἐπιστείλω τι τοῖς οἴκοι. καὶ ταῦτ' εἰπων, ἐντὸς ἀνεχώρησε τȣ͂ ναȣ͂· καὶ λαβὼν βιβλίον, ὡς γράφειν μέλλων, προσήνεγκε τῷ στόματι τὸν κάλαμον, καὶ δακὼν, ὥσπερ ἐν τῷ διανοεῖσθαι καὶ γράφειν εἰώθει, χρόνον τινὰ κατέσχεν, εἶτα συγκαλυψάμενος ἀπέκλινε τὴν κεφαλήν. οἱ μὲν ȣ͂ν παρὰ τὰς θύρας [3] ἑστῶτες δορυφόροι κατεγέλων ὡς ἀποδειλιῶντος αὐτȣ͂, καὶ μαλακὸν ἐκάλȣν καὶ ἄνανδρον· ὁ δ' Ἀρχίας προσελθὼν ἀνίστασθαι παρεκάλει, καὶ τȣ̀ς αὐτȣ̀ς [4] ἀνακυκλῶν λόγȣς, αὖθις

1 Auctor Vit. X. Rhet. ait Hyperidem suam ipsius linguam praemordisse, ne civitatis arcana prodere cogeretur.

2 Καλαυρίᾳ scribendum esse, Xyl. monet, deditque B. Insula fuit exigua, ex adverso Troezenis, ingredienti sinum Saxonicum ad laevam sita. V. Καλαυρίᾳ, οἶκος, ἐν ᾧ προσκυνεῖται ὁ θεός. — Scholium ad vocem ἱερῷ pertinens.

3 Licet R. hanc lectionem haud damnet, mavult tamen παρὰ ταῖς θύραις, sicuti cap. seq. legitur.

4 Junt. αὐτῶν.

αὖθις ἐπηγγέλλετο διαλλαγὰς πρὸς τὸν Ἀντίπατρον. ἤδη δὲ συνῃσθημένος ὁ Δημοσθένης ἐμπεφυκότος αὐτῷ τοῦ φαρμάκου καὶ κρατοῦντος, ἐξεκαλύψατο· καὶ διαβλέψας πρὸς τὸν Ἀρχίαν· Οὐκ ἂν φθάνοις, εἶπεν, ἤδη τὸν ἐκ τῆς τραγῳδίας ὑποκρινόμενος Κρέοντα [1], καὶ τὸ σῶμα τοῦτο ῥίπτων ἄταφον. ἐγὼ δ', ὦ φίλε Πόσειδον, ἔτι ζῶν ἐξανίσταμαι [2] τοῦ ἱεροῦ· τῷ δὲ Ἀντιπάτρῳ καὶ Μακεδόσιν οὐδ' ὁ σὸς ναὸς καθαρὸς ἀπολέλειπται. Ταῦτ' εἰπὼν, καὶ κελεύσας ὑπολαβεῖν αὐτὸν ἤδη τρέμοντα καὶ σφαλλόμενον, ἅμα τῷ προελθεῖν καὶ παραλλάξαι τὸν βωμὸν [3] ἔπεσε, καὶ στενάξας ἀφῆκε τὴν ψυχήν.

XXX. Τὸ δὲ φάρμακον Ἀρίστων [4] μὲν ἐκ τοῦ καλάμου λαβεῖν φησὶν αὐτὸν, ὡς εἴρηται. Πάππος [5] δέ τις, οὗ τὴν ἱστορίαν Ἕρμιππος ἀνείληφε, φησὶ, πεσόντος αὐτοῦ παρὰ τὸν βωμὸν, ἐν μὲν τῷ βιβλίῳ γεγραμμένην [6] ἐπιστολῆς ἀρχὴν εὑρεθῆναι, Δημοσθένης Ἀντιπάτρῳ, καὶ μηδὲν ἄλλο. θαυμαζομένης δὲ τῆς περὶ τὸν θάνατον ὀξύτητος, διηγεῖσθαι τοὺς παρὰ ταῖς θύραις Θρά-

1 Apud Sophoclis Antigonam, Creon Polynicis cadaver humari vetat. Br. & B.

2 ſcilicet, ut quantum in me eſt, ſanctitas aſyli non violetur. B.

3 B. ad haec: „Hinc fortaſſe tabulae inſcriptio, Ἐπιβώμιος, quod, ſicut hoſtia, ante aram caderet. Lucianus tamen eum limine templum egreſſum dicit, antequam periret, quod ſane Demoſthenis conſilio aſyli non violandi melius reſpondet.“ Ipſi R. convenientius viſum fuiſſet βηλὸν, *limen*, niſi infra recurreret βωμὸν.

4 Quae hic Ariſtoni tribuuntur, alibi Plut. *Satyro* tribuit.

5 De hoc Pappo altum eſt apud ſcriptores ſilentium. ἀνείληφε, quod ſequitur, vertit Xyl. *repetiit*, Cruſer. *conſarcinavit*. Bart. *ſequitur*.

6 Sic R. de ſuo dedit pro vulg. γεγραμμένης, cum epiſtola nondum exarata fuerit, ſed adhuc exaranda.

Θρᾶκας, ὡς ἔκ τινος ῥακίου, λαβὼν [1] εἰς τὴν χεῖρα, προσθοῖτο τῷ στόματι καὶ καταπίοι τὸ φάρμακον· αὐτοὶ δ' ἄρα χρυσὸν ᾠήθησαν εἶναι τὸ καταπινόμενον. ἡ δ' ὑπηρετοῦσα παιδίσκη, πυνθανομένων τῶν περὶ τὸν Ἀρχίαν, φαίη, πολὺν εἶναι χρόνον, ἐξ οὗ φοροίη τὸν ἀπόδεσμον ἐκεῖνον ὁ Δημοσθένης, ὡς φυλακτήριον. Ἐρατοσθένης δὲ καὶ αὐτὸς ἐν κρίκῳ [2] φησὶ κοίλῳ τὸ φάρμακον φυλάσσειν· τὸν δὲ κρίκον εἶναι τοῦτον αὐτῷ φόρημα περιβραχιόνιον. τῶν δ' ἄλλων ὅσοι γεγράφασι περὶ αὐτοῦ, πάμπολλοι δέ εἰσι, τὰς διαφορὰς οὐκ ἀναγκαῖον ἐπεξελθεῖν· πλὴν ὅτι Δημοχάρης [3], ὁ τοῦ Δημοσθένους οἰκεῖος, οἴεσθαι φησὶν, αὐτὸν οὐχ ὑπὸ φαρμάκου, θεῶν δὲ τιμῇ καὶ προνοίᾳ τῆς Μακεδόνων ὠμότητος ἐξαρπαγῆναι, συντόμως καταστρέψαντα καὶ ἀλύπως. κατέστρεψε δ' ἕκτῃ ἐπὶ δέκα τοῦ Πυανεψιῶνος μηνὸς, ἐν ᾗ τὴν σκυθρωποτάτην τῶν Θεσμοφορίων ἡμέραν ἄγουσαι παρὰ τῇ θεῷ νηστεύουσιν [4] αἱ γυναῖκες. τούτῳ μὲν ὀλίγον ὕστερον ὁ τῶν Ἀθηναίων δῆμος ἀξίαν ἀποδιδοὺς τιμὴν, εἰκόνα δὲ χαλκῆν ἀνέστησε [5], καὶ τὸν πρεσβύτατον ἐψηφίσατο τῶν ἀπὸ τοῦ γένους ἐν Πρυτανείῳ [6] σίτησιν

1 i. e. ὃ ῥακίον ἔλαβεν εἰς τὴν χεῖρα, quanquam etiam ex insequentibus subaudiri potest τὸ φάρμακον. R.

2 Hunc sequitur Plin. N. H. 33, 1.

3 Sic R. de suo dedit pro vulg. Δημόχαρις. Sic & dare voluisse B. videtur, qui habet in textu Δημόχαρης, in annot. autem Δημοχάρης. Teste Cicerone in Brut. scripsit aliquot orationes, & earum rerum historiam, quae erant Athenis ipsius aetate gestae.

4 Dies hujus festi, in honorem Cereris Legiferae a foeminis ingenuis celebrati, ultimus dictus erat νηστεία ex eo, quod per totum diem humi sederent jejunae. B.

5 Ex decreto Democharis, quod extat inter vitas 10. Rhet.

6 Prytaneum in Acropoli situm erat, ubi Prytanes sacra fecerunt, & de rep. consulebant. Hic publico sumtu alebantur 1) Legati ab exteris nationibus, 2) si quis ob facinus praeclarum convivio honoratus erat, 3) οἱ ἐκ τιμῆς ἀείσιτοι, qui summus honos habebatur. Jul. Poll. l. 9. B.

τησιν ἔχειν. καὶ τὸ ἐπίγραμμα τὸ θρυλλέμενον ἐπεγράφη τῇ βάσει τῦ ἀνδριάντος·

Εἴπερ ἴσην ῥώμην γνώμῃ, Δημόσθενες, εἶχες,
Οὔποτ' ἂν Ἑλλήνων ἦρξεν ἄρης [1] Μακεδών.

οἱ γὰρ [2] αὐτὸν τὸν Δημοσθένη τῦτο ποιῆσαι λέγοντες ἐν Καλαβρίᾳ [3], μέλλοντα τὸ φάρμακον προσφέρεσθαι, κομιδῇ φλυαρῦσι.

XXXI. Μικρὸν δὲ πρόσθεν, ἢ παραβαλεῖν ἡμᾶς Ἀθήναζε, λέγεταί τι τοιῦτον [4] συμβῆναι. ϛρατιώτης, ἐπὶ κρίσιν τινὰ καλύμενος ὑφ' ἡγεμόνος [5], ὅσον εἶχε χρυσίδιον εἰς τὰς χεῖρας ἀνέθηκε τῦ ἀνδριάντος. ἕϛηκε δὲ τὺς δακτύλυς συνέχων δι' ἀλλήλων, καὶ παραπέφυκεν ὐ μεγάλη πλάτανος. ἀπὸ ταύτης πολλὰ τῶν φύλλων, εἴτε πνεύματος ἐκ τύχης καταβαλόντος, εἴτ' αὐτὸς ὕτος [6] ὁ θεὶς ἐκάλυψε, περικείμενα καὶ συμπεσόντα λαθεῖν ἐποίησε τὸ χρυσίον ὐκ ὀλίγον χρόνον [7]. ὡς δ' ὁ ἄνθρωπος ἐπανελθὼν ἀνεῦρε, καὶ διεδόθη λόγος ὑπὲρ τύτυ, πολλοὶ τῶν εὐφυῶν ὑπόθεσιν λαβόντες εἰς τὸ ἀδωροδόκητον τῦ Δημοσθένυς, διημιλλῶντο τοῖς ἐπιγράμμασι. Δημάδην δὲ, χρόνον ὐ πολὺν ἀπολαύσαντα τῆς φυομένης δόξης, ἡ Δημοσθένυς δίκη κατήγαγεν εἰς Μακεδονίαν [8], ὓς ἐκολάκευεν αἰσχρῶς, ὑπὸ τύτων ἐξολυ-

1 B. 3. pro hac voce dat ἀνήρ.

2 Sic tamen Demetr. Magnes. apud vitas 10. Rhet. Br.

3 Iterum V. addit voces supra annotatas, hisce insuper adjectis: Στεφ. νησύδιον πρὸς τῇ Κρήτῃ.

4 B. 3. τοιόνδε.

5 R. ad haec: „Ergo extra Athenas agebat imperator, ad cujus forum citatus ille miles fuerat. Longinquum ergo iter illuc erat militi ingrediendum, & diuturna imminebat ab Athenis absentia."

6 Bart. mavult ὕτως.

7 absunt a B. 3. ὐκ ὀλ. χρ.

8 Legatus missus est, repudiante illud muneris Phocione, qui impetraret ab Antipatro, ut custodiam e Munychia subduceret. Plut. in Phoc. B.

ολέμενον δικαίως· ἐπαχθῆ μὲν ὄντα καὶ πρότερον αὐτοῖς, τότε δ' εἰς αἰτίαν ἄφυκτον ἐμπεσόντα. γράμματα γὰρ ἐξέπεσεν αὐτοῦ, δι' ὧν παρεκάλει Περδίκκαν ἐπιχειρεῖν Μακεδονίᾳ, καὶ σώζειν τοὺς Ἕλληνας, ὡς ἀπὸ σαπροῦ καὶ παλαιοῦ στήμονος λέγων τὸν Ἀντίπατρον, ἠρτημένους. ἐφ' οἷς Δεινάρχου [1] τοῦ Κορινθίου κατηγορήσαντος, παροξυνθεὶς ὁ Κάσανδρος [2] ἐγκατέσφαξεν αὐτοῦ τῷ κόλπῳ τὸν υἱὸν, εἶτα οὕτως ἐκεῖνον ἀνελεῖν προσέταξεν, ἐν τοῖς μεγίστοις διδασκόμενον ἀτυχήμασιν, ὅτι πρώτους ἑαυτοὺς οἱ προδόται πωλοῦσιν· ὃ πολλάκις Δημοσθένους προαγορεύοντος, οὐκ ἐπίστευσε. τὸν μὲν οὖν Δημοσθένους ἀπέχεις [3], Σόσσιε, βίον, ἐξ ὧν ἡμεῖς ἀνέγνωμεν, ἢ διηκούσαμεν.

KIKE-

1 Dinarchus Corinthius, rhetor Athenis celeberrimus, unusque ex illis decem, patriae suae proditor dicitur a Demosth. περὶ στεφ. 91. Familiaris erat Theophrasti & Demetrii Phalerei, cujus etiam fortunas secutus est, siquidem occupata Munychia a Demetrio Antigoni filio, Chalcidem concessit, & quindecim annis exulavit. B.

2 Diod. Sic. Ἀντίπατρος habet. Prave, Br. judice.

3 Hanc lectionem R. e Junt. revocavit pro vulg. ἔχεις. Consentiunt cod. Steph. B. 3. & V.

# ΚΙΚΕΡΩΝ.

Κικέρωνος δὲ τὴν μὲν μητέρα λέγουσιν Ἑλβίαν [1] καὶ γεγονέναι καὶ καλῶς βεβιωκέναι· περὶ δὲ τοῦ πατρὸς οὐδὲν ἦν πυθέσθαι μέτριον. οἱ μὲν γὰρ ἐν κναφείῳ τινὶ καὶ γενέσθαι καὶ τραφῆναι τὸν ἄνδρα λέγουσιν· οἱ δ' εἰς Τύλλιον Ἄττιον [2] ἀνάγουσι τὴν ἀρχὴν τοῦ γένους, βασιλεύσαντα λαμπρῶς ἐν Οὐολέσκοις [3]. ὁ μέντοι πρῶτος ἐκ τοῦ γένους Κικέρων ἐπονομασθεὶς, ἄξιος λόγου δοκεῖ γενέσθαι· διὸ τὴν ἐπίκλησιν οὐκ ἀπέῤῥιψαν οἱ μετ' αὐτὸν, ἀλλ' ἠσπάσαντο, καίπερ ὑπὸ πολλῶν χλευαζομένην. Κίκερ γὰρ οἱ Λατῖνοι τὸν ἐρέβινθον καλοῦσι. κἀκεῖνος [4] ἐν τῷ πέρατι τῆς ῥινὸς διαστολὴν [5] ἀμβλεῖαν εἶχεν,

1 Sic Xyl. legit, & eſt apud Anon. & V. (excepto Spiritu, quem dant tenuem) deditque R. cum B. pro vulg. Ὀλβίαν. Alii quoque cum Xyl. locum hunc ita emendandum eſſe animadverterunt ex Euſebii Chron. Olymp. 168, 3. Etiam in ſeqq. ſecutus eſt B. Xylandrum, dando καὶ γεγονέναι καλῶς, καὶ βεβιωκέναι.

2 Sic cum Anon. dedit R. pro vulg. Ἄππιον. Id. cod. pro Τύλλιον habet Τύλλον. Intelligitur Tullius Attius, Volſcorum rex, ad quem confugit Coriolanus. Hinc quoque Xyl. & Dacer. dari voluerunt Τύλλον Ἄττιον.

3 Addunt V. & Anon. poſt h. v. καὶ πολεμήσαντα Ῥωμαίοις οὐκ ἀδυνάτως. Ipſi Ciceroni de hac affinitate regia nihil ſuboluiſſe videtur, ſed data occaſione proavos ſibi per jocum fingendi, ex alia familia legit. Cf. Brut. 16, 3. Nec inter ſe conſentiunt, qui hunc honorem M. Tullio tam liberaliter detulerunt; quod enim *Noſter*, *Silius* & *Euſebius* de Volſcorum principe, id *Aurel. Victor* de Tito Tatio, Sabinorum, ut videtur, rege, ſcriptum reliquit. B.

4 Non placet R. haec vox; priores duae ſyllabae videntur ei vitioſa iteratio vocabuli proximi καλοῦσιν eſſe. Quapropter, illis abjectis, ſolam ſervari vult ſyllabam ὃς: *qui*, Cicero, generis conditor, *in apice naſi* — nec non interjecta a διὸ usque ad καλοῦσι parentheſeos in loco haberi.

5 R. docente, διαστολὴ eſt epidermidis a cute diſceſſio, vel disjunctio, ab aqua intercute, aliove quopiam intercedente, pro-

αἶχον, ὥσπερ ἐρεβίνθε διαφυὴν, ἀφ' ἧς ἐκλήσατο τὴν ἐπωνυμίαν. αὐτός γε μὴν Κικέρων, ὑπὲρ ὧ τάδε γέγραπται, τῶν φίλων αὐτὸν οἰομένων δεῖν, ὅτε πρῶτον ἀρχὴν μετῄει καὶ πολιτείας ἥπτετο, φυγεῖν τὄνομα καὶ μεταθέσθαι, λέγεται νεανιευσάμενος εἰπεῖν, ὡς ἀγωνιεῖται τὸν Κικέρωνα τῶν Σκαύρων καὶ τῶν Κάτλων ἐνδοξότερον ἀποδεῖξαι. ταμιεύων δ' ἐν Σικελίᾳ, καὶ τοῖς θεοῖς ἀνάθημα ποιέμενος ἀργυρῶν, τὰ μὲν πρῶτα δύο τῶν ὀνομάτων [1] ἐπέγραψε, τόν τε Μάρκον καὶ τὸν Τύλλιον· ἀντὶ δὲ τῶ τρίτε σκώπτων, ἐρέβινθον ἐκέλευσε παρὰ τὰ γράμματα τὸν τεχνίτην ἐντορεῦσαι. ταῦτα μὲν ὧν περὶ τῶ ὀνόματος ἱσόρηται.

II. Τεχθῆναι δὲ Κικέρωνα λέγεσιν, ἀνωδύνως καὶ ἀπόνως λοχευθείσης αὐτῷ τῆς μητρὸς, ἡμέρᾳ τρίτῃ τῶν νέων Καλανδῶν [2]. ἐν ᾗ νῦν οἱ ἄρχοντες εὔχονται καὶ θύεσιν ὑπὲρ τῶ ἡγεμόνος. τῇ δὲ τίτθῃ φάσμα δοκεῖ γενέ-

profecta; quemadmodum διαφυὴ lin. seq. est, quidquid e cute, vel per cutem, foras prodiit, excrevit. Post διασολὴν V. inserit ὡς ἔοικεν. Middleton in Vita Cic. Vol. I. p. 7. a cultura ciceris nomen deductum putat, sicut Fabii a fabis, Lentuli a lentibus; teste Plin. N. H. L. 18. c. 3. Quintilianus Inst. Or. l. 1. c. 4. cum Plutarcho consentire videtur.

1 Sic e conjectura Stephani B. & R. dederunt, approbantibus Br. & Duf. pro vulg. τῶν δύο ὀνομάτων. V. τῶν δύο τῶν ὀνομάτων, in ind. var. Frst. Quanam autem auctoritate Br. & Duf. adnotent, V. non agnoscere δύο (in ind. Br. nonnisi τῶν ὀνομάτων extat) me latet. Collector variantium in hoc indice solius articuli τῶν, in V. post δύο repetiti, rationem habuisse videtur, cum praecedentia textus ipse dederit, unde forsan male collegerunt iidem, δύο prorsus abesse.

2 tert. non. Jan. ut constat ex Epist. ad Attic. 7, 5. ab urbe condita 648. teste Gellio l. XV. c. 28. Alii vitiose reddiderunt 3 Cal. Jan. Licuit Plutarcho, homini Graeco, graece loqui, & τρίτη τῶν νέων Καλανδῶν tertium diem cum Calendis ipsis non minus commode significat, quam τρίτη μηνὸς ἱσαμένε tertium mensis Attici diem.

γενέσθαι, καὶ προειπεῖν, ὡς ὄφελος μέγα πᾶσι Ῥωμαίοις ἐκτρεφούσῃ [1]. ταῦτα δ', ἄλλως ὀνείρατα καὶ φλύαρον εἶναι δοκοῦντα, ταχέως αὐτὸς ἀπέδειξε μαντείαν ἀληθινήν, ἐν ἡλικίᾳ τοῦ μανθάνειν γενόμενος, δι' εὐφυΐαν ἐκλάμψας, καὶ λαβὼν ὄνομα καὶ δόξαν ἐν τοῖς παισίν, ὥστε τοὺς πατέρας αὐτῶν ἐπιφοιτᾷν τοῖς διδασκαλείοις, ὄψει τε βουλομένους ἰδεῖν τὸν Κικέρωνα, καὶ τὴν ὑμνουμένην αὐτοῦ περὶ τὰς μαθήσεις ὀξύτητα καὶ σύνεσιν ἱστορῆσαι· τοὺς δ' ἀγροικοτέρους ὀργίζεσθαι τοῖς υἱέσιν, ὁρῶντας ἐν ταῖς ὁδοῖς τὸν Κικέρωνα μέσον αὐτῶν ἐπὶ τιμῇ λαμβάνοντας. γενόμενος δ', ὥσπερ ὁ Πλάτων [2] ἀξιοῖ τὴν φιλομαθῆ καὶ φιλόσοφον φύσιν, οἷος ἀσπάζεσθαι πᾶν μάθημα, καὶ μηδὲν λόγου, μηδὲ παιδείας, ἀτιμάζειν εἶδος, ἐῤῥύη πως προθυμότερον ἐπὶ ποιητικήν. καί τι ποιημάτιον ἔτι παιδὸς αὐτοῦ διασώζεται, Πόντιος Γλαῦκος [3], ἐν τετραμέτρῳ πεποιημένον. προϊὼν δὲ τῷ χρόνῳ, καὶ ποικιλώτερον [4] ἁπτόμενος τῆς περὶ ταῦτα μούσης, ἔδοξεν οὐ μόνον ῥήτωρ, ἀλλὰ καὶ ποιητὴς ἄριστος [5] εἶναι Ῥωμαίων. ἡ μὲν οὖν ἐπὶ τῇ ῥητορικῇ δόξα μέχρι νῦν διαμένει, καίπερ οὐ μικρᾶς γεγενημένης περὶ τοὺς λόγους καινοτομίας· τὴν δὲ ποιητικὴν αὐτοῦ, πολλῶν εὐφυῶν

1 R. aut ἐκτρέφῃ legi vult — praedixisse, quem aleret puerum, eum Vrbi aliquando magnum decus magnumque columen futurum, aut, si ἐκτρεφούσῃ servetur, nonnulla deesse censet post προειπεῖν, e. c. ἐπιμελῶς τὸν παῖδα τρέφειν, aut τοῦ παιδὸς ἐπιμεληθῆναι — *denunciasse nutrici, ut puerculum diligenter nutriret eum, in quo magnum esset rerum Romanarum decus atque praesidium nutricatura.*

2 Plat. Polit. V. & VI. Ed. Lugd. p. 466. & 469. *Xyl.* & *Dac.*

3 Periit poëma illud. Glaucus erat piscator ex Anthedone juxta Euripum oriundus, esu herbae cujusdam mirificae factus immortalis.

4 R. quaerit, num ποικιλωτέρας?

5 R. susp. οὐ μόνον ποιητὴς, ἀλλὰ καὶ ῥήτωρ ἄριστος.

φυῶν ἐπιγενομένων, παντάπασιν ἀκλεῆ καὶ ἄτιμον ἔῤῥειν συμβέβηκεν.

III. Ἀπαλλαγεὶς δὲ τῶν ἐν παισὶ διατριβῶν, Φίλωνος [1] ἤκουσε, τοῦ ἐξ Ἀκαδημίας, ὃν μάλιστα Ῥωμαῖοι τῶν Κλειτομάχου συνήθων καὶ διὰ τὸν λόγον ἐθαύμασαν, καὶ διὰ τὸν τρόπον ἠγάπησαν. ἅμα δὲ τοῖς περὶ Μούκιον [2], ἀνδράσι συνὼν πολιτικοῖς καὶ πρωτεύουσι τῆς βουλῆς, εἰς ἐμπειρίαν τῶν νόμων ὠφελεῖτο· καί τινα χρόνον καὶ στρατείας μετέσχεν ὑπὸ Σύλλᾳ περὶ τὸν Μαρσικὸν πόλεμον. εἶθ' ὁρῶν εἰς στάσιν, ἐκ δὲ τῆς στάσεως εἰς ἄκρατον ἐκπίπτοντα [3] τὰ πράγματα μοναρχίαν, ἐπὶ τὸν σχολαστὴν καὶ θεωρητικὸν ἐλθὼν [4] βίον, Ἕλλησι συνῆν φιλολόγοις, καὶ προσεῖχε τοῖς μαθήμασιν· ἄχρις οὗ Σύλλας ἐκράτησε, καὶ κατάστασίν τινα λαμβάνειν ἔδοξεν ἡ πόλις. ἐν δὲ τῷ χρόνῳ τούτῳ Χρυσόγονος, ἀπελεύθερος Σύλλα, προσαγγείλαντός τινος οὐσίαν ὡς ἐκ προγραφῆς ἀναιρεθέντος, αὐτὸς ἐωνήσατο δισχιλίων δραχμῶν [5]. ἐπεὶ δὲ Ῥώσκιος, ὁ υἱὸς καὶ κληρονόμος τοῦ τεθνηκότος, ἠγανάκτει, καὶ τὴν οὐσίαν ἀπεδείκνυε πεντήκοντα καὶ διακοσίων ταλάντων οὖσαν ἀξίαν, ὅ τε Σύλλας ἐλεγχόμενος ἐχαλέπαινε, καὶ δίκην πατροκτονίας ἐπῆγε τῷ Ῥωσκίῳ, τοῦ Χρυσογόνου κατασκευάσαντος, ἐβοήθει δ' οὐδείς, ἀλλ' ἀπετρέποντο, τοῦ Σύλλα τὴν χαλεπότητα δεδοικότες· οὕτω δὴ ἐρημίαν τοῦ μει-



1 Auctor est Cicero Nat. Deor. I. 3. & Brut. 89. Erat Philo philosophus Platonicus, Clitomachi discipulus. B.

2 Intellige Q. Mucium Scaevolam Augurem, qui cum L. Lic. Crasso Consul erat A. V. C. 658. quanquam Cicero Scaevolam etiam Pontificem audierit. de Amic. I. — B.

3 Sic R. de suo dedit pro vulg. ἐμπίπτοντα.

4 Br. susp. ἀνελθὼν, & pro σχολαστὴν, σχολαστικὸν.

5 *Duobus millibus nummûm*: inquit Cicero pro Sext. Rosc. 2. Nummum vero non semper sestertio, sed quandoque drachmae respondere, probat contra Scaligerum Rvald. *Animadv. in Plut.* 27, ubi hunc locum plene defendit. B.

ρανίου τῷ Κικέρωνι προσφυγόντος, οἱ φίλοι συμπαρώρμων, ὡς οὐκ ἂν αὐτῷ λαμπροτέραν αὖθις ἀρχὴν πρὸς δόξαν ἑτέραν, οὐδὲ καλλίω γενησομένην. ἀναδεξάμενος οὖν τὴν συνηγορίαν, καὶ κατορθώσας, ἐθαυμάσθη· δεδιὼς [1] δὲ τὸν Σύλλαν, ἀπεδήμησεν εἰς τὴν Ἑλλάδα, διασπείρας λόγον, ὡς τοῦ σώματος αὐτῷ [2] θεραπείας δεομένου. καὶ γὰρ ἦν ὄντως ἰσχνὸς καὶ ἄσαρκος, ἀῤῥωστίᾳ στομάχου μικρὰ καὶ γλίσχρα μόγις ὀψὲ τῆς ὥρας προσφερόμενος. ἡ δὲ φωνὴ, πολλὴ μὲν καὶ ἀγαθὴ, σκληρὰ δὲ καὶ ἄπλαστος· ὑπὸ δὲ τοῦ λόγου, σφοδρότητα καὶ πάθος ἔχοντος, ἀεὶ διὰ τῶν ἄνω τόνων ἐλαυνομένη, φόβον παρεῖχεν ὑπὲρ τοῦ σώματος.

IV. Ἀφικόμενος δ' εἰς Ἀθήνας Ἀντιόχου τοῦ Ἀσκαλωνίτου διήκουσε, τῇ μὲν εὐροίᾳ τῶν λόγων αὐτοῦ καὶ χάριτι κηλούμενος, ἃ δ' ἐν τοῖς δόγμασιν ἐνεωτέριζεν, οὐκ ἐπαινῶν. ἤδη γὰρ ἐξίστατο τῆς νέας λεγομένης Ἀκαδημίας ὁ Ἀντίοχος, καὶ τὴν Καρνεάδου στάσιν ἐγκατέλειπεν [3], εἴτε καμπτόμενος ὑπὸ τῆς ἐναργείας καὶ τῶν αἰσθήσεων, εἴτε, ὥς φασιν ἔνιοι, φιλοτιμίᾳ τινὶ καὶ διαφορᾷ πρὸς τοὺς Κλειτομάχου καὶ Φίλωνος συνήθεις, τὸν Στωϊκὸν ἐκ μεταβολῆς θεραπεύων λόγον ἐν τοῖς πλείστοις [4]. ὁ δὲ Κικέρων ἐκεῖνα ἠγάπα [5], κἀκείνοις προσεῖχε μᾶλλον, διανοούμενος, εἰ παντάπασιν ἐκπέσοι τοῦ τὰ κοινὰ πράσσειν, δεῦρο μετενεγκάμενος τὸν βίον

ἐκ

1 Negat metum Syllae caussam fuisse hujus profectionis Middleton in Vit. Vol. I. p. 42. quod nimirum constet ex Bruto 90, 91. Ciceronem post hoc judicium integrum annum Romae egisse. B.

2 Sic ex Anon. & B. 3. reponi voluit Br. dederuntque R. & B. pro vulg. *αὐτοῦ*.

3 B. 3. *ἐγκατέλιπεν*. Sic & Junt. Ald. Crat.

4 Cf. Cic. Acad. Quaest. 4, 11. & Brut. 91.

5 Cave, B. monente, intelligas Academiam novam, quod faciunt plerique; sed studium philosophiae in genere, quo sensu accipiendum esse monent, quae sequuntur. Ad novam Academiam non accessit Cicero, nisi jam grandior & aetate provecta. Acad. Quaest. I, 13.

ἐκ τῆς ἀγορᾶς καὶ τῆς πολιτείας, ἐν ἡσυχίᾳ μετὰ φιλοσοφίας καταζῆν. ἐπεὶ δ' αὐτῷ Σύλλας τε προσηγγέλθη τεθνηκὼς, καὶ τὸ σῶμα τοῖς γυμνασίοις ἀναῤῥωννύμενον εἰς ἕξιν ἐβάδιζε νεανικὴν, ἥ τε φωνὴ λαμβάνουσα πλάσιν, ἡδεῖα μὲν πρὸς ἀκοὴν ἐτέθραπτο [1] καὶ πολλὴ, μετρίως δὲ πρὸς τὴν ἕξιν ἥρμοστο τοῦ σώματος, πολλὰ μὲν τῶν ἀπὸ Ῥώμης φίλων γραφόντων καὶ δεομένων, πολλὰ δ' Ἀντιόχου παρακελευομένου, τοῖς κοινοῖς ἐπιβαλεῖν πράγμασιν, αὖθις, ὥσπερ ὄργανον, ἐξήρτυε τὸν ῥητορικὸν λόγον, καὶ ἀνεκίνει τὴν πολιτικὴν δύναμιν, αὐτόν τε ταῖς μελέταις διαπονῶν, καὶ τοὺς ἐπαινουμένους μετιὼν ῥήτορας. ὅθεν εἰς Ἀσίαν καὶ Ῥόδον ἔπλευσε, καὶ τῶν μὲν Ἀσιανῶν ῥητόρων Ξενοκλεῖ τῷ Ἀδραμυττηνῷ [2], καὶ Διονυσίῳ τῷ Μάγνητι, καὶ Μενίππῳ τῷ Καρὶ [3] συνεσχόλασεν· ἐν δὲ Ῥόδῳ, ῥήτορι μὲν Ἀπολλωνίῳ τῷ Μόλωνι [4], φιλοσόφῳ δὲ Ποσειδωνίῳ. λέγεται δὲ, τὸν Ἀπολλώνιον, οὐ συνιέντα τὴν Ῥωμαϊκὴν διάλεκτον, δεηθῆναι τοῦ Κικέρωνος Ἑλληνιστὶ μελετῆσαι· τὸν δ' ὑπακοῦσαι προθύμως, οἰόμενον, οὕτως ἔσεσθαι βελτίονα τὴν ἐπανόρθωσιν. ἐπεὶ δ' ἐμελέτησε, τοὺς μὲν ἄλλους ἐκπεπλῆχθαι καὶ διαμιλλᾶσθαι πρὸς ἀλλήλους τοῖς ἐπαίνοις, τὸν δ' Ἀπολλώνιον οὔτ'

 ἀκροώ-

1 H. Steph. & Br. malunt ἐντέτραπτο, uti est in Anon. — R. susp. ἐτέθρυπτο καὶ ἁπαλὴ, *ita ad suavitatem & mollitiem* (vel *teneritudinem*) *infracta & contrita fuerat, ut ad aures jucunda allaberetur*, vel *ut auri placeret*.

2 B. 3. Ἀδραμυττίνῳ. Junt. Ald. Crat. Ἀδραμηττινῷ.

3 De his viris & toto profectionis suae curriculo vide Cic. in Brut. 91. Menippum Stratonicensem vocat.

4 Vulgo Μόλωνος, sicuti in Jul. Caes. (T. IV. p. 360.) c. 3. τὸν τοῦ Μόλωνος. Errorem hunc Plutarchi, qui ex uno Apollonio duos homines facit, redarguit Rualdus, collatis pluribus locis ex Cicer. de clar. orator. ex Quintil. Instit. l. XII. c. 6. & Sueton. in Caes. c. IV. quo quidem in loco Is. Casaub. contra receptum latine loquendi usum, & contra fidem codd. omnium legit *Apollonio Molonis*, ut Molon sit Apollonii pater.

ἀκροώμενον αὐτȣ̃ διαχυθῆναι, καὶ παυσαμένȣ σύννȣν καθέζεσθαι πολὺν χρόνον· ἀχθομένȣ [1] δὲ τȣ̃ Κικέρωνος, εἰπεῖν· Σὲ μὲν, ὦ Κικέρων, ἐπαινῶ καὶ θαυμάζω, τῆς δ' Ἑλλάδος οἰκτείρω τὴν τύχην, ὁρῶν, ἃ μόνα τῶν καλῶν ἡμῖν ὑπελείπετο, καὶ ταῦτα Ῥωμαίοις διὰ σȣ̃ προσγενόμενα, παιδείαν τε [2] καὶ λόγον.

V. Ὁ γȣ̃ν Κικέρων ἐλπίδων μεςὸς ἐπὶ τὴν πολιτείαν Φερόμενος, ὑπὸ χρησμȣ̃ τινος ἀπημβλύνθη [3] τὴν ὁρμήν. ἐρομένῳ γὰρ αὐτῷ τὸν ἐν ΔελΦοῖς θεὸν, ὅπως ἐνδοξότατος γένοιτο, προσέταξεν ἡ Πυθία, τὴν ἑαυτȣ̃ Φύσιν, ἀλλὰ μὴ τὴν τῶν πολλῶν δόξαν, ἡγεμόνα ποιεῖσθαι τȣ̃ βίȣ. καὶ τόν τε πρῶτον ἐν Ῥώμῃ χρόνον εὐλαβῶς διῆγε [4], καὶ ταῖς ἀρχαῖς ὀκνηρῶς προσῄει, καὶ παρημελεῖτο· ταῦτα δὴ τὰ Ῥωμαίων τοῖς βαναυσοτάτοις πρόχειρα καὶ συνήθη ῥήματα, Γραικὸς [5] καὶ σχολαςικὸς, ἀκȣ́ων. ἐπεὶ δὲ, Φύσει Φιλότιμος ὢν, καὶ παροξυνόμενος ὑπὸ τȣ̃ πατρὸς καὶ τῶν Φίλων, ἐπέδωκεν εἰς τὸ συνηγορεῖν ἑαυτὸν, ȣ̓κ ἠρέμα τῷ πρωτείῳ προσῆγεν, ἀλλ' εὐθὺς ἐξέλαμψε τῇ δόξῃ, καὶ διέΦερε πολὺ τῶν ἀγωνιζομένων ἐπ' ἀγορᾶς. λέγεται δὲ καὶ αὐτὸς ȣ̓δὲν ἧττον νοσήσας τȣ̃ Δημοσθένȣς πρὸς τὴν ὑπόκρισιν, τȣ̃το μὲν Ῥωσκίῳ, τῷ κωμῳδῷ, τȣ̃το δ'

1 V. e Junt. ἀρχομένȣ, unde R. efficiendum videtur ἀγχομένȣ, *quo cum angeretur Cicero, & prae indignatione paene strangularetur.*

2 abest τε a B. 3. In Junt. datur δὲ.

3 Sic cum B. 3. dari voluit Br. & R. dedit, quod est quoque in Junt. Vulgo ἀπημβλύνθη.

4 Cicero anno aetatis trigesimo Romam rediit; anno proximo Quaestor renunciatus est, unde Plutarchus falsi convincitur. Middleton in Vita Vol. I. p. 57. B.

5 Ita eum compellat Calenus apud *Dionem* Ed. Hannov. p. 302. ὦ Κικέρων, ὦ Κικεράκιε, ἢ Κικέριθε, ἢ Γραίκυλε. Erat Graeculi appellatio odiosa Romanis; haec enim vitam inopem, ignavam aut assentatoriam notabat. B. — Σχολαςικὸς melius vertit Schirach *Schulgelehrter*, quam Kind *Schüler*.

δ' Αἰσώπω, τῷ τραγῳδῷ, προσέχειν ἐπιμελῶς. τὸν δ' Αἴσωπον τῦτον ἱςορῦσιν ὑποκρινόμενον ἐν θεάτρῳ τὸν περὶ τῆς τιμωρίας τῦ Θυέςυ βυλευόμενον Ἀτρέα, τῶν ὑπηρετῶν τινος ἄφνω παραδραμόντος, ἔξω τῶν ἑαυτῦ λογισμῶν διὰ τὸ πάθος ὄντα, τῷ σκήπτρῳ πατάξαι καὶ ἀνελεῖν. ὐ μικρὰ δὲ πρὸς το πείθειν ὑπῆρχεν ἐκ τῦ ὑποκρίνεθαι ῥοπὴ τῷ Κικέρωνι. καὶ τὺς γε τῷ βοᾶν μεγάλα χρωμένυς ῥήτορας ἐπισκώπτων, ἔλεγε, δι' ἀθένειαν ἐπὶ τὴν κραυγὴν, ὥσπερ χωλὺς ἐφ' ἵππον, πηδᾶν. ἡ δὲ περὶ τὰ σκώμματα καὶ τὴν παιδιὰν ταύτην εὐτραπελία δικανικὸν μὲν ἐδόκει καὶ γλαφυρόν· χρώμενος δ' αὐτῇ κατακόρως, πολλὺς ἐλύπει, καὶ κακοηθείας ἐλάμβανε δόξαν.

VI. Ἀποδειχθεὶς δὲ ταμίας ἐν σιτοδείᾳ, καὶ λαχὼν Σικελίαν, ἠνώχλησε τοῖς ἀνθρώποις ἐν ἀρχῇ, σῖτον εἰς Ῥώμην ἀποςέλλειν ἀναγκαζόμενος [1]. ὕςερον δὲ τῆς ἐπιμελείας καὶ δικαιοσύνης καὶ πρᾳότητος αὐτῦ πεῖραν λαμβάνοντες, ὡς ὐδένα τῶν πώποθ' ἡγεμόνων ἐτίμησαν. ἐπεὶ δὲ πολλοὶ τῶν ἀπὸ Ῥώμης νέων ἔνδοξοι καὶ γεγονότες καλῶς, αἰτίαν ἔχοντες ἀταξίας [2] καὶ μαλακίας περὶ τὸν πόλεμον, ἀνεπέμφθησαν ἐπὶ τὸν ςρατηγὸν τῆς Σικελίας, συνεῖπεν αὐτοῖς ὁ Κικέρων ἐπιφανῶς, καὶ περιεποίησεν. ἐπὶ τύτοις ὖν μέγα φρονῶν εἰς Ῥώμην βαδίζων, γελοῖόν τι παθεῖν φησι [3]. συντυχὼν γὰρ ἀνδρὶ τῶν ἐπιφανῶν, φίλῳ δοκῦντι, περὶ Καμπανίαν, ἔρεθαι, τίνα δὴ τῶν πεπραγμένων ὑπ' αὐτῦ λόγον ἔχυσι Ῥωμαῖοι, καὶ τί φρονῦσιν· ὡς ὀνόματος καὶ δόξης τῶν πεπραγμένων αὐτῷ τὴν πόλιν ἄπα-



1 R. mavult ἀναγκαζομένοις, ut ad ἀνθρώποις referatur — *molestus erat Siculis, quos cogeret frumenta in Vrbem mittere.*

2 Xyl. dubius, qualis ἀταξία juvenibus illis Romanis fuerit objecta, monet, ἀτακτεῖν Graecis esse, quidquid fit contra disciplinam militarem.

3 Conf. Or. pro Cn. Plancio, 26.

ἅπασαν ἐμπεπληκώς· τὸν δ᾽ εἰπεῖν· Πȣ̃ γὰρ ἦς, ὦ Κικέρων, τὸν χρόνον τȣ̃τον; τότε μὲν ȣ̃ν ἐξαθυμῆσαι παντάπασιν, εἰ, καθάπερ εἰς πέλαγος ἀχανὲς, τὴν πόλιν ἐμπεσὼν ὁ περὶ αὐτȣ̃ λόγος, ȣ̓δὲν εἰς δόξαν ἐπίδηλον πεποίηκεν [1]. ὕϛερον δὲ λογισμὸν ἑαυτῷ διδȣ̀ς, πολὺ τῆς Φιλοτιμίας ὑφεῖλεν, ὡς πρὸς ἀόριϛον πρᾶγμα τὴν δόξαν ἁμιλλώμενος, καὶ πέρας ȣ̓κ ἐφικτὸν ἔχȣσαν. ȣ̓ μὴν ἀλλὰ τό γε χαίρειν ἐπαινȣ́μενον διαφερόντως, καὶ πρὸς δόξαν ἐμπαθέϛερον ἔχειν, ἄχρι παντὸς αὐτῷ παρέμεινε, καὶ πολλȣ̀ς [2] πολλάκις τῶν ὀρθῶν ἐπετάραξε λογισμῶν.

VII. Ἀπτόμενος δὲ τῆς πολιτείας προθυμότερον, αἰσχρὸν ἡγεῖτο, τȣ̀ς μὲν βαναύσȣς ὀργάνοις χρωμένȣς καὶ σκεύεσιν ἀψύχοις, μηδενὸς ἀγνοεῖν ὄνομα, μηδὲ χώραν [3], ἢ δύναμιν [4] αὐτῶν, τὸν δὲ πολιτικὸν, ᾧ δι᾽ ἀνθρώπων αἱ κοιναὶ πράξεις περαίνονται, ῥαθύμως καὶ ἀμελῶς ἔχειν περὶ τὴν τῶν πολιτῶν [5] γνῶσιν. ὅθεν ȣ̓ μόνον τῶν ὀνομάτων εἴθιζεν αὑτὸν [6], ἀλλὰ καὶ τὸν τόπον,

1 R. susp. ȣ̓δὲν αὐτὸν μαρτυρεῖ εἰς δόξαν ἐπίδηλον πεποιηκέναι, *quod fama sui in Vrbem, velut in vastum aliquod pelagus, infusa nil se fecisse ad gloriam insigne testaretur.*

2 H. Steph. Plutarchum scripsisse putaret ὁ καὶ πολλȣ̀ς &c. nisi insolens ipsi videretur haec verbi ἐπιταράττω constructio. R. delendum censet πολλȣ̀ς, & tum ἐξετάραξε legendum, quasi dixisset: καὶ πολλάκις αὐτὸν ἐξετάραξεν ἐκ τῶν ὀρθῶν λογισμῶν.

3 *ubi eorum cuique suus locus sit*, h. e. *ubi locorum ea conveniat applicari, admoveri, in usum vocari*; vel etiam, *ubi eorum quodque suum, suspensumve sit in officina, ut facile inveniatur.* R. — Schirach cum Kindio vertit: die Oerter, wo sie verfertigt würden.

4 *quae sint ei vires, quid efficiat.* R.

5 Sic, Br. probante, cum Anon. dederunt R. & B. pro vulg. πολιτικῶν.

6 Anon. & V. εἴθισε μνημονεύειν, quod Br. vulgatae praeferre haud dubitat. B. recepit μνημονεύειν in textum. H. Steph. deesse

τόπου, ἐν ᾧ τῶν γνωρίμων ἕκαστος οἰκεῖ, καὶ χωρίον, ὃ κέκτηται, καὶ Φίλους [1], οἷστισι χρῆται, καὶ γείτονας ἐγίνωσκε· καὶ πᾶσαν ὁδὸν Ἰταλίας διαπορευομένῳ Κικέρωνι πρόχειρον ἦν εἰπεῖν, καὶ ἐπιδεῖξαι τοὺς τῶν Φίλων ἀγροὺς καὶ τὰς ἐπαύλεις. οὐσίαν δὲ μικρὰν μὲν, ἱκανὴν δὲ, καὶ ταῖς δαπάναις ἐπαρκῆ, κεκτημένος, ἐθαυμάζετο μήτε μισθοὺς, μήτε δῶρα, προσιέμενος ἀπὸ τῆς συνηγορίας· μάλιστα δ', ὅτε τὴν κατὰ Βέῤῥου δίκην ἀνέλαβε. τοῦτον γὰρ, στρατηγὸν γεγονότα τῆς Σικελίας, καὶ πολλὰ πεπονηρευμένον, τῶν Σικελιωτῶν διωκόντων, εἷλεν, οὐκ εἰπὼν, ἀλλ' ἐξ αὐτοῦ τρόπον τινὰ τοῦ μὴ εἰπεῖν. τῶν γὰρ στρατηγῶν [2] τῷ Βέῤῥῃ χαριζομένων, καὶ τὴν δίκην ὑπερθέσεσι πολλαῖς εἰς τὴν ὑστάτην ἐκβαλλόντων, ὡς ἦν πρόδηλον, ὅτι τοῖς λόγοις ὁ τῆς ἡμέρας οὐκ ἐξαρκέσει χρόνος [3], οὐδὲ λήψεται πέρας ἡ κρίσις, ἀνα-



deesse monet aliquem dativum, qui cum εἴθιζεν jungatur, simulque cum genit. ὀνομάτων, & nisi praecederet γνῶσιν, credi posse, Plut. scripsisse τῶν ὀνομάτων γνώσει. Hinc susp. τῇ τῶν ὀνομάτων, subaudiendo nomen ipsum ex fine praecedentis periodi. R. pone αὐτὸν censet deesse μεμνῆσθαι; deinde aut καὶ τόπου (sine articulo scil. μεμνῆσθαι) ἐν ᾧ —, καὶ χωρίου, ὃ κέκτηται — aut καὶ τὸν τόπον (scil. ἐγίνωσκε) — καὶ τὸ χωρίον, ὃ κέκτηται.

1 Junt Φίλοις, haud male, R. judice, sed tum quoque γείτοσιν sit legendum.

2 B. ad h. v. ita: „Quos Plutarchus ait στρατηγοὺς Verri gratificatos judicium distulisse, illi nondum magistratum inierant. Per στρατηγοὺς Q. Hortensium & Q. Metellum Coss. & M. Metellum Praetorem voluisse complecti videtur, sed existimasse tunc illos in magistratu fuisse, qui tantum essent designati. *Corrad. Quaest.* p. 59. cui prorsus assentior, nam locus de M. Glabrione caeterisque ejusdem anni Praetoribus intelligi nullo modo potest."

3 B. ad haec: „Quis non colligeret, uno die, eoque anno ultimo, totum hoc de Verre negotium confectum fuisse? Quod longe secus est. Nam ineunte mense Augusto consilium contrahendi judicii cepit Cicero, veritus, ne toti quinque menses

ςὰς ὁ Κικέρων ἔφη, μὴ δεῖσθαι λόγον, ἀλλ' ἐπαγαγὼν τὲς μάρτυρας καὶ ἐπικρίνας [1], ἐκέλευσε φέρειν τὴν ψῆφον τὲς δικαςάς. ὅμως δὲ πολλὰ χαρίεντα διαμνημονεύεται καὶ περὶ ἐκείνην αὐτῦ τὴν δίκην. Βέῤῥην γὰρ οἱ Ῥωμαῖοι τὸν ἐκτετμημένον [2] χοῖρον καλῦσιν. ὡς ἦν ἀπελευθερικὸς ἄνθρωπος, ἔνοχος τῷ ἰυδαΐζειν, ὄνομα Καικίλιος [3], ἐβύλετο, παρωσάμενος τὲς Σικελιώτας, κατηγορεῖν τῦ Βέῤῥυ· Τί Ἰυδαίῳ πρὸς χοῖρον; ἔφη ὁ Κικέρων. ἦν δὲ τῷ Βέῤῥῃ ἀντίπαις υἱὸς, ὐκ ἐλευθερίως δοκῶν προΐςασθαι τῆς ὥρας. λοιδορηθεὶς ὖν ὁ Κικέρων εἰς μαλακίαν ὑπὸ τῦ Βέῤῥυ· Τοῖς υἱοῖς, εἶπεν, ἐντὸς θυρῶν δεῖ λοιδορεῖσθαι. τῦ δὲ ῥήτορος Ὁρτησίυ τὴν μὲν εὐθεῖαν τῷ Βέῤῥῃ συνειπεῖν μὴ τολμήσαντος, ἐν δὲ τῷ τιμήματι πεισθέντος παραγενέσθαι, καὶ λαβόντος ἐλεφαντίνην [4] Σφίγγα μισθὸν, εἶπέ τι πλαγίως ὁ Κικέρων πρὸς αὐτόν. τῦ δὲ φήσαντος, αἰνιγμάτων λύσεως [5] ἀπείρως ἔχειν· Καὶ μὴν [6] ἐπὶ τῆς οἰκίας τὴν Σφίγγα ἔχεις.

VIII. Οὕτω δὲ τῦ Βέῤῥυ καταδικασθέντος, ἑβδομήκον-

usque ad Cal. Jan. negotio non ſufficerent. — Fortaſſe Plut. voce ἡμέρας pro quovis tempore uſus eſt, qua ratione ſpatium temporis dies 110. complectens *Dies perexigua* dicitur. *Act.* 1. *in Verr.* 2. Aut ἡμέρας χρόνος eſſe poteſt tempus judicii legitimum, quo ſenſu vox ἡμέρα occurrit apud 1 Cor. c. 4, 3."

1 R. ſuſp. ἀνακρίνας, *percontatus*; vel *cum interrogaſſet, examinaſſet.*

2 Anon. τὸν μὴ ἐκτετμ. quod probat Duſ. & B. in textum recepit. Ita quoque dandum eſſe pluribus demonſtrat Rualdus, uitiumque ex Plutarchi inſcitia linguae latinae derivat.

3 Qu. Caecilius Niger, domo Siculus, & quaeſtor Verris, contra quem Divinatio, ſeu prima Verrina, Ciceronis eſt. Xyl.

4 Sphingem hanc aeneam fuiſſe dicit *Quint.* Inſt. Orat. l. 6. c. 3. *Plinius* ex aere Corinthico N. H. l. 34. c. 8. B.

5 Sic R. de ſuo dedit pro vulg. λύσεων.

6 Br. inſeri vult poſt hanc vocem ἔφη.

μήκοντα πέντε μυριάδων [1] τιμησάμενος τὴν δίκην ὁ Κικέρων, διαβολὴν ἔσχεν, ὡς ἐπ' ἀργυρίῳ τὸ τίμημα καθυφειμένος. ἐ μὴν ἀλλ' οἱ Σικελιῶται χάριν εἰδότες, ἀγορανομῆντος αὐτῆ, πολλὰ μὲν ἄγοντες ἀπὸ τῆς νήσε, πολλὰ δὲ φέροντες ἧκον· ὧν ἐδὲν ἐποιήσατο κέρδος, ἀλλ' ὅσον ἐπευωνίσαι τὴν ἀγορὰν, ἀπεχρήσατο τῇ φιλοτιμίᾳ τῶν ἀνθρώπων. ἐκέκτητο δὲ χωρίον καλὸν ἐν Ἄρποις [2], καὶ περὶ Νέαν πόλιν ἦν ἀγρὸς, καὶ περὶ Πομπηΐες ἕτερος, ἐ μεγάλοι· φερνή τε Τερεντίας, τῆς γυναικὸς, προσεγένετο μυριάδων δώδεκα [3], καὶ κληρονομία τις εἰς ἐννέα δηναρίων συναχθεῖσα μυριάδας. ἀπὸ τέτων ἐλευθερίως ἅμα καὶ σωφρόνως διῆγε μετὰ τῶν συμβιέντων Ἑλλήνων καὶ Ῥωμαίων φιλολογῶν [4]. σπάνιον, εἴ ποτε πρὸ δυσμῶν ἡλίε κατακλινόμενος, ἐχ ἔτω

7 Ruald. numerum hunc aut ipſius Plutarchi errore falſum, aut librariorum culpa corruptum cenſet, & legendum ὀκτακοσίων vel ἐννεακοσίων ἑβδομήκοντα πέντε μυριάδων. „Myriades LXXV. compendioſe, & loquendi more Graecis uſitato, appellat ſeptingena quinquagena millia drachmarum, in quarum ſingulas quaternos ſeſtertios nummi Romani ſolet imputare, ut ſit ea ſumma duntaxat HS. tricies. Quis credat, praevaricari usque adeo & voluiſſe & potuiſſe M. Ciceronem, ut ſepties vicies prope minoris, quam lex jubebat, litem eam aeſtimaret? Nam quadringenties HS. ex Sicilia Verres abſtuliſſe accuſabatur. — Repetundarum damnatos poena duplionis vulgo paſſim, & major aliquando, manebat, ut ex libris juris manifeſtum eſt. — Igitur minimum HS. octingenties nomine dupli repeti exigique a Verre oportuit, quod Orator inter agendum non modo praeſtitit: ſed etiam rapti ſeſqui alterum, id eſt, HS. millies per αὔξησιν palam ac diſerte in Divinatione flagitavit."

2 Ciceronis patria fuit Arpinum, unde Arpinas dictus eſt. Arpi autem urbs eſt Apuliae, in diverſa Italiae parte, ut plane huc non quadret. Niſi Arpinum forte Graece Ἄρποι dictum ſit, quod credere eſt durum. Xyl. In Mario recte ſcribitur Ἀρπίνη. Cf. T. III. p. 63.

3 Teſte H. Steph. etiam legitur δέκα. Sic V.

4 Sic R. de ſuo dedit in praeſ. partic. pro vulg. φιλολόγων, gen. plur. a φιλόλογοι.

ὅτω δι' ἀχολίαν, ὡς διὰ τὸ σῶμα τῷ ςομάχῳ μοχθηρῶς διακείμενον. ἦν δὲ καὶ τὴν ἄλλην περὶ τὸ σῶμα θεραπείαν ἀκριβὴς καὶ περιττὸς, ὥςε καὶ τρίψεσι καὶ περιπάτοις ἀριθμῷ τεταγμένοις χρῆσθαι. τῦτον τὸν τρόπον διαπαιδαγωγῶν τὴν ἕξιν, ἄνοσον καὶ διαρκῆ πρὸς πολλὲς καὶ μεγάλες ἀγῶνας καὶ πόνες συνεῖχεν. οἰκίαν δὲ τὴν μὲν πατρῴαν [1] τῷ ἀδελφῷ παρεχώρησεν, αὐτὸς δ' ᾤκει περὶ τὸ Παλάτιον, ὑπὲρ τῦ μὴ μακρὰν βαδίζοντας ἐνοχλεῖσθαι τὲς θεραπεύοντας αὐτόν. ἐθεράπευον δὲ καθ' ἡμέραν ἐπὶ θύρας φοιτῶντες ἐκ ἐλάττονες, ἢ Κράσσον ἐπὶ πλέτῳ, καὶ Πομπήϊον διὰ τὴν ἐν τοῖς ςρατεύμασι δύναμιν, θαυμαζομένες μάλιςα Ῥωμαίων, καὶ μεγίςες ὄντας. Πομπήϊος δὲ καὶ Κικέρωνα ἐθεράπευε, καὶ μεγάλα πρὸς δύναμιν αὐτῷ καὶ δόξαν ἡ Κικέρωνος συνέπραξε πολιτεία.

IX. Στρατηγίαν δὲ μετιόντων ἅμα σὺν αὐτῷ πολλῶν καὶ μεγάλων, πρῶτος ἁπάντων ἀνηγορεύθη· καὶ τὰς κρίσεις ἔδοξε καθαρῶς καὶ καλῶς βραβεῦσαι. λέγεται δὲ καὶ Λικίνιος Μάκερ [2], ἀνὴρ καὶ καθ' αὐτὸν ἰσχύων ἐν τῇ πόλει μέγα, καὶ Κράσσῳ χρώμενος βοηθῷ, κρινόμενος κλοπῆς ὑπ' αὐτῦ, τῇ δυνάμει καὶ σπεδῇ πεποιθὼς, ἔτι τὴν ψῆφον τῶν κριτῶν διαφερόντων ἀπαλλαγεὶς οἴκαδε, κείρασθαί τε τὴν κεφαλὴν κατὰ τάχος, καὶ

1 Avita Ciceronum domus (quam noster vocat πατρῴαν) a *P. Victore* ponitur in regione urbis quarta, quae Templum Pacis dicitur, proxime domum Pompeji; at Ciceronis domus in regione decima, quae & Palatium dicitur, juxta domum Q. Catuli & Aedem Dijovis. Catilina eum Inquilinum appellavit, quod in aedibus conductis habitaret. Sed domum in Palatio de M. Crasso emerat post Consulatum suum. B.

2 C. Macer ille est, cujus l. 1. ep. 3. ad Atticum meminit. Aliter narratur haec res a Valerio Max. l. 9. c. 12. *Xyl.* Hunc Macrum, C. Licinii Calvi oratoris patrem, diligentem fuisse patronum memorat Cic. in Bruto 67. Scripsit etiam historiarum libros.

καὶ καθαρὸν ἱμάτιον, ὡς νενικηκὼς, λαβὼν, αὖθις εἰς ἀγορὰν προϊέναι· τȣ͂ δὲ Κράσσȣ περὶ τὴν αὔλειον ἀπαντήσαντος αὐτῷ, καὶ Φράσαντος, ὅτι πάσαις ἑάλωκε ταῖς ψήφοις, ἀναςρέψας καὶ κατακλιθεὶς [1] ἀποθανεῖν. τὸ δὲ πρᾶγμα τῷ Κικέρωνι δόξαν ἤνεγκεν, ὡς ἐπιμελῶς [2] βραβεύσαντι τὸ δικαςήριον. ἐπεὶ δὲ Οὐατίνιος [3], ἀνὴρ ἔχων τι τραχὺ καὶ πρὸς τȣ̀ς ἄρχοντας ὀλίγωρον ἐν ταῖς συνηγορίαις, χοιράδων δὲ τὸν τράχηλον περίπλεως, ᾐτεῖτό τι κατασχὰς παρὰ τȣ͂ Κικέρωνος· καὶ μὴ διδόντος, ἀλλὰ βȣλευομένȣ πολὺν χρόνον, εἶπεν [4], ὡς ȣ̓κ ἂν αὐτὸς διςάσειε περὶ τȣ́τȣ ςρατηγῶν· ἐπιςραφεὶς ὁ Κικέρων. Ἀλλ᾽ ἐγὼ, εἶπεν, ȣ̓κ ἔχω τηλικȣ͂τον τράχηλον [5]. ἔτι δ᾽ ἡμέρας δύο, ἢ τρεῖς, ἔχοντι τῆς ἀρχῆς αὐτῷ προσήγαγέ τις Μανίλιον, εὐθύνων [6] κλοπῆς. ο δὲ Μανίλιος ȣ̃τος εὔνοιαν εἶχε καὶ σπȣδὴν ὑπὸ τȣ͂ δήμȣ, δοκῶν [7] ἐλαύνεσθαι διὰ Πομπήϊον· ἐκείνȣ γὰρ ἦν Φίλος. αἰτȣμένȣ δ᾽ ἡμέρας [8] αὐτȣ͂, μίαν ὁ Κικέρων μόνην

1 B. 3. κατακλινεὶς.

2 Cum alibi Plut. utatur voce ἐμμελῶς, etiam hoc loco sic scribendum esse suspicatur Br.

3 Hujus hominis mores depinxit *Senec.* de Const. Sap. 17.

4 Sic H. Steph. & Dus. cum Anon. dari voluerunt, deditque R. pro vulg. εἰπεῖν.

5 Crassa cervix inverecundiae argumentum. Est etiam vernacula nostra lingua usitatum, ut homines impudentes & in dicendo praesertim temerarios valido collo praeditos dicamus. Sic in Mario (T. III. p. 104.) ȣ̓χ ȣ̃τω πλατὺν ἔφη Φορεῖν τὸν τράχηλον, ὡς &c. Xyl.

6 B. 3. εὔθυνον, quod ferri posse R. monet, si cum ὑπεύθυνον mutetur.

7 In praecedentibus edd. non haberi participium istud, sine quo tamen, aut alio quopiam hujusmodi, stare sententia non possit, H. Steph. monet. Deest quidem in Ald. & Crat. at datur a Junt. Verbum ἐλαύνεσθαι Xyl. adnotat, se non videre, quam commode legatur.

8 Hanc lectionem e Junt. revocavit R. & comma pone αὐτȣ͂ posuit

μόνην τὴν ἐπιοῦσαν ἔδωκε· καὶ ὁ δῆμος ἠγανάκτησεν, εἰθισμένων τῶν στρατηγῶν δέκα τοὐλάχιστον ἡμέρας διδόναι τοῖς κινδυνεύουσι. τῶν δὲ δημάρχων αὐτὸν [1] διαγαγόντων ἐπὶ τὸ βῆμα, καλούντων, καὶ κατηγορούντων, ἀκουσθῆναι δεηθεὶς, εἶπεν, ὅτι τοῖς κινδυνεύουσιν ἀεὶ, καθ' ὅσον οἱ νόμοι παρείκουσι, κεχρημένος ἐπιεικῶς καὶ φιλανθρώπως, δεινὸν ἡγεῖτο τῷ Μανιλίῳ ταῦτα [2] μὴ παρασχεῖν· ἧς οὖν ἔτι μόνης κύριος ἦν ἡμέρας στρατηγῶν, ταύτην ἐπίτηδες ὁρίσαι· τὸ γὰρ εἰς ἄλλον ἄρχοντα τὴν κρίσιν ἐκβαλεῖν, οὐκ εἶναι βουλομένου [3] βοηθεῖν. ταῦτα λεχθέντα θαυμαστὴν ἐποίησε τοῦ δήμου μεταβολήν· καὶ πολλὰ κατευφημοῦντες αὐτὸν, ἐδέοντο τὴν ὑπὲρ τοῦ Μανιλίου συνηγορίαν ἀναλαβεῖν. ὁ δ' ὑπέστη προθύμως, οὐχ ἥκιστα διὰ Πομπήϊον ἀπόντα· καὶ καταστὰς πάλιν ἐξ ὑπαρχῆς ἐδημηγόρησε, νεανικῶς τῶν ὀλιγαρχικῶν καὶ τῶν [4] Πομπηΐῳ φθονούντων καθαπτόμενος.

X. Ἐπὶ δὲ τὴν ὑπατείαν οὐχ ἧττον ὑπὸ τῶν ἀριστοκρατικῶν, ἢ τῶν πολλῶν, προήχθη διὰ τὴν πόλιν [5], ἐξ αἰτίας αὐτῷ τοιαύτης συναγωνισαμένων. τῆς ὑπὸ Σύλ-

posuit — *dierum aliquot moram.* Vulgo ἡμέραν αὐτοῦ μίαν, ὁ Κικ. μ. Firmat hanc correctionem Anon. In V. ἡμέρας αὐτῷ μιᾶς. at non e Junt. (ut est in R. nota) quae habet μίαν.

1 Mosi Duf. hic locus non satis sanus videtur. Susp. addendum πολλῶν post καλούντων, & pro hac voce scribendum ἐγκαλούντων. Nec Xylandro placuit. R. susp. τῶν δὲ δημάρχων αὐτὸν διὰ ταχέων ἐπὶ τὸ βῆμα καλούντων, καὶ φενακισμοῦ κατηγορούντων — *Tribunis autem statim in continenti Tullium ad rostra vocantibus, & cessantem ludificationis (fraudulentae dissimulationis) accusantibus.*

2 scil. τὴν ἐπιείκειαν καὶ φιλανθρωπίαν. R. — Duf. vult ταυτά.

3 Sic B. cum Anon. dedit pro vulg. βουλομένων, quod ex Steph. prodiit. B. 3. nec non Junt. Ald. Crat. βουλομένῳ.

4 Pro τῶν R. mavult τῷ.

5 Mosi Duf. hae voces διὰ τ. π. eliminandae videntur. R. docente, idem valent ac διὰ τὴν πολιτείαν, quam a Sylla constitutam Cicero servatum, Catilina convulsum ibat.

Σύλλα γενομένης μεταβολῆς περὶ τὴν πολιτείαν, ἐν ἀρχῇ μὲν ἀτόπε φανείσης, τότε δὲ τοῖς πολλοῖς ὑπὸ χρόνε καὶ συνηθείας ἤδη τινὰ κατάςασιν ἔχειν ἐ φαύλην δοκέσης, ἦσαν οἱ τὰ παρόντα διασεῖσαι καὶ μεταθεῖναι ζητἔντες, ἰδίων ἕνεκα πλεονεξιῶν, ἐ πρὸς τὸ βέλτισον· Πομπηΐε μὲν ἔτι τοῖς βασιλεῦσιν ἐν Πόντῳ καὶ Ἀρμενίᾳ πολεμἔντος, ἐν δὲ τῇ Ῥώμῃ μηδεμιᾶς ὑφεςώσης πρὸς τὲς νεωτερίζοντας ἀξιομάχε δυνάμεως. ἔτοι κορυφαῖον εἶχον, ἄνδρα τολμητὴν καὶ μεγαλοπράγμονα καὶ ποικίλον τὸ ἦθος, Λεύκιον Κατιλίναν· ὃς αἰτίαν ποτὲ πρὸς ἄλλοις ἀδικήμασι μεγάλοις ἔλαβε παρθένῳ συγγεγονέναι θυγατρὶ, κτεῖναι δ' ἀδελφὸν αὐτἔ. καὶ δίκην ἐπὶ τέτῳ φοβέμενος, ἔπεισε Σύλλαν, ὡς ἔτι ζῶντα, τὸν ἄνθρωπον ἐν τοῖς ἀποθανεμένοις προγράψαι. τἔτον ἔν προςάτην οἱ πονηροὶ λαβόντες, ἄλλας τε πίςεις ἀλλήλοις ἔδοσαν, καὶ καταθύσαντες ἄνθρωπον, ἐγεύσαντο τῶν σαρκῶν [1]. διέφθαρτο δ' ὑπ' αὐτἔ πολὺ μέρος τῆς ἐν τῇ πόλει νεότητος, ἡδονὰς καὶ πότες καὶ γυναικῶν ἔρωτας ἀεὶ προξενἔντος ἑκάςῳ, καὶ τὴν εἰς ταῦτα δαπάνην ἀφειδῶς παρασκευάζοντος. ἐπῆρτο δ' ἥ τε Τυῤῥηνία πρὸς ἀπόςασιν [2] ὅλη, καὶ τὰ πολλὰ τῆς ἐντὸς Ἄλπεων Γαλατίας. ἐπισφαλέςατα δ' ἡ Ῥώμη πρὸς μεταβολὴν εἶχε διὰ τὴν ἐν ταῖς ἐσίαις ἀνωμαλίαν, τῶν μὲν ἐν δόξῃ μάλιςα καὶ φρονήματι κατεπτωχευμένων εἰς θέατρα καὶ δεῖπνα καὶ φιλαρχίας καὶ οἰκοδομίας, τῶν δὲ πλέτων εἰς ἀγεννεῖς καὶ ταπεινὲς συνεῤῥυηκότων ἀνθρώπες· ὥςε μικρᾶς ῥοπῆς δεῖσθαι τὰ πράγματα, καὶ παντὸς εἶναι τἔ τολμήσαντος ἐκςῆναι [3] τὴν πολιτείαν, αὐτὴν ὑφ' αὑτῆς νοσἔσαν.

XI. Οὐ μὴν ἀλλὰ βελόμενος ὁ Κατιλίνας ἰσχυρόν τι προκαταλαβεῖν ὁρμητήριον, ὑπατείαν μετῄει· καὶ λαμ-

1 Conf. Sall. Bell. Cat. c. 22.

2 B. 3. ἀποςασίαν.

3 R. mavult ἐκςῆσαι, evertere.

λαμπρὸς ἦν ταῖς ἐλπίσιν, ὡς Γαΐῳ Ἀντωνίῳ συνυπατεύσων, ἀνδρὶ καθ' αὑτὸν μὲν ὔτε πρὸς τὸ βέλτιον, ὔτε πρὸς τὸ χεῖρον, ἡγεμονικῷ, προσθήκην [1] δ' ἄγοντος ἑτέρυ δυνάμεως ἐσομένυ. ταῦτα δὴ τῶν καλῶν καὶ ἀγαθῶν οἱ πλεῖϛοι προαισθόμενοι, τὸν Κικέρωνα προῆγον ἐπὶ τὴν ὑπατείαν· καὶ τῦ δήμυ δεξαμένυ προθύμως, ὁ μὲν Κατιλίνας ἐξέπεσε, Κικέρων δὲ καὶ Γάϊος Ἀντώνιος ᾑρέθησαν. καίτοι τῶν μετιόντων ὁ Κικέρων μόνος ἦν ἐξ ἱππικῦ πατρὸς, ὐ βυλευτῦ [2], γεγονώς.

XII. Καὶ τὰ μὲν περὶ Κατιλίναν ἔμενεν ἔτι τὺς πολλὺς λανθάνοντα· προάγωνες δὲ μεγάλοι τὴν Κικέρωνος ὑπατείαν ἐξεδέξαντο. τῦτο μὲν γὰρ, οἱ κεκωλυμένοι κατὰ τὺς Σύλλα νόμυς ἄρχειν [3], ὔτ' ἀσθενεῖς ὄντες, ὔτ' ὀλίγοι, μετιόντες ἀρχὰς ἐδημαγώγυν, πολλὰ τῆς Σύλλα τυραννίδος ἀληθῆ μὲν καὶ δίκαια κατηγορῦντες, ὐ μὴν ἐν δέοντι τὴν πολιτείαν, ὐδὲ σὺν καιρῷ κινῦντες, τῦτο δὲ, νόμυς εἰσῆγον οἱ δήμαρχοι πρὸς τὴν αὐτὴν ὑπόθεσιν [4], δεκαδαρχίαν καθιϛάντες αὐτοκρατόρων ἀνδρῶν· οἷς ἐφεῖτο, πάσης μὲν Ἰταλίας, πάσης δὲ Συρίας, καὶ ὅσα διὰ Πομπηΐυ νεωϛὶ προσώριϛο, κυρίυς ὄντας, πωλεῖν τὰ δημόσια, κρίνειν, ὓς δοκοίη, φυγά-

1 Depravatissima haec censuit Br. Cum V. & Anon. scribi vult προσθήκη & ἐσομένῳ, ad ἀνδρὶ ut referantur hae voces; & pro ἄγοντος, ἄρχοντος. B. dedit προσθήκη & ἐσομένῳ. R. quaerit, num προσθήκην δ' ἄγοντος ἑτέρυ δυνάμει παρεξομένῳ. Cf. in Cat. Min. pag. 78. not. 2. Vol. huj.

2 Melius, Mose Duf. judice, dicta forent, quae voluit Plutarchus, si ἱππικῦ μὲν πα. ὐ βυλ. δὲ, legas, Cicero solus candidatorum dignitatem senatoriam in familiam primus invexerat: caeteri, etiam qui non essent Patricii, patribus tamen Senatoribus nati erant. B.

3 Proscriptorum filii. Vide Corradum & alios. Plin. L. VII. c. 30. Cic. ad Attic. ep. II, 1. Xyl.

4 Eandem in rep. viam popularem secuti, aut eadem Syllanae tyrannidis criminatione freti. Cic. 3. de leg. agr. 2. & 3. B.

φυγάδας ἐκβάλλειν [1], συνοικίζειν πόλεις, χρήματα λαμβάνειν ἐκ τȣ͂ ταμείȣ, ςρατιώτας τρέφειν καὶ καταλέγειν, ὁπόσων δέοιντο. διὸ καὶ τῷ νόμῳ προσεῖχον ἄλλοι τε τῶν ἐπιφανῶν, καὶ πρῶτος Ἀντώνιος, ὁ τȣ͂ Κικέρωνος συνάρχων, ὡς τῶν δέκα γενησόμενος. ἐδόκει δὲ καὶ τὸν Κατιλίνα νεωτερισμὸν εἰδὼς ȣ̓ δυσχεραίνειν ὑπὸ πλήθȣς δανείων· ὃ μάλιςα τοῖς ἀρίςοις φόβον παρεῖχε. καὶ τȣ͂τον [2] πρῶτον θεραπεύων ὁ Κικέρων, ἐκείνῳ μὲν ἐψηφίσατο τῶν ἐπαρχιῶν Μακεδονίαν, αὐτῷ δὲ τὴν Γαλατίαν διδομένην παρῃτήσατο, καὶ κατειργάσατο τῇ χάριτι ταύτῃ τὸν Ἀντώνιον, ὥσπερ ὑποκριτὴν ἔμμισθον, αὐτῷ τὰ δεύτερα λέγειν ὑπὲρ τῆς πατρίδος. ὡς δ' ἑ͂τος ἑαλώκει καὶ χειροήθης ἐγεγόνει, μᾶλλον ἤδη θαῤῥῶν ὁ Κικέρων ἐνίςατο πρὸς τȣ̀ς καινοτομȣ͂ντας. ἐν μὲν ȣ͂ν τῇ βȣλῇ κατηγορίαν τινὰ τȣ͂ νόμȣ διατιθέμενος, ȣ̔́τως ἐξέπληξεν αὐτȣ̀ς τȣ̀ς εἰσφέροντας, ὥςε μηδὲν ἀντιλέγειν. ἐπεὶ δ' αὖθις ἐπεχείρȣν, καὶ παρεσκευασμένοι προεκαλȣ͂ντο τȣ̀ς ὑπάτȣς ἐπὶ τὸν

1 Mosi Dus. haec locutio est suspecta. *Exules* his Decemviris *reducendi* potestatem hoc Plebiscito factam fuisse suspicatur, & pro ἐκβάλλειν legi vult κατάγειν. Placet haec conjectura Kindio. At Bartono vix satis firma videtur, hisce adnotatis: „Nullam video proscriptorum liberis fuisse cum Rullo conjunctionem, nullam necessitudinem; nihil denique commune, praeter licentiam democraticam & clamores de Syllae crudelitate. — Deinde si demus lege Agraria potestatem exules reducendi fuisse Decemviris permissam, ea tamen ad hos adolescentes nihil pertinuit; qui non reditum in patriam sibi dari postulabant, sed jam tum Romae agebant, aditum ad magistratus diu interclusum sibi aperiri flagitantes. Jam vero ut possent Decemviri φυγάδας ἐκβάλλειν, sequitur ex superioribus κρίνειν ȣ̔́ς δοκοίη, & tantum non apud ipsum Ciceronem legitur, de L. Agr. II, 13. & 36." — Bartonum sequitur Schirach. R. judice, post φυγάδας deest voc. κατάγειν, ab exilio domum reducere: nam φυγὰς non potest ἐκβάλλεσθαι, qui jamdudum est ἐκβεβλημένος.

2 Sic R. de suo dedit pro vulg. τȣ͂το.

τὸν δῆμον, ἐδὲν ὑποδείσας ὁ Κικέρων, ἀλλὰ τὴν βελὴν ἕπεθαι κελεύσας καὶ προελθὼν, ἐ μόνον ἐξέβαλε τὸν νόμον, ἀλλὰ καὶ τῶν ἄλλων ἀπογνῶναι τὲς δημάρχες ἐποίησε, παρὰ τοσῦτον τῷ λόγῳ κρατηθέντας ὑπ' αὐτῦ.

XIII. Μάλιςα γὰρ ὗτος ὁ ἀνὴρ ἐπέδειξε Ῥωμαίοις, ὅσον ἡδονῆς λόγος τῷ καλῷ προστίθησι, καὶ ὅτι τὸ δίκαιον ἀήττητόν ἐςιν, ἂν ὀρθῶς λέγηται· καὶ δεῖ τὸν ἐμμελῶς πολιτευόμενον ἀεὶ τῷ μὲν ἔργῳ τὸ καλὸν ἀντὶ τῦ κολακεύοντος αἱρεῖθαι, τῷ δὲ λόγῳ τὸ λυπῦν ἀφαιρεῖν τῦ συμφέροντος. δεῖγμα δ' αὐτῦ τῆς περὶ τὸν λόγον χάριτος, καὶ τὸ περὶ τὰς θέας ἐν τῇ ὑπατείᾳ γενόμενον. τῶν γὰρ ἱππικῶν πρότερον ἐν τοῖς θεάτροις ἀναμεμιγμένων τοῖς πολλοῖς, καὶ μετὰ τῦ δήμε θεωμένων, ὡς ἔτυχε, πρῶτος διέκρινεν ἐπὶ τιμῇ τὲς ἱππέας ἀπὸ τῶν ἄλλων πολιτῶν Μάρκος Ὄθων ςρατηγῶν [1], καὶ διένειμεν ἰδίαν ἐκείνοις θέαν, ἣν ἔτι καὶ νῦν ἐξαίρετον ἔχεσι. τῦτο πρὸς ἀτιμίαν [2] ὁ δῆμος ἔλαβε, καὶ φανέντος ἐν θεάτρῳ τῦ Ὄθωνος, ἐφυβρίζων ἐσύριττεν, οἱ δ' ἱππεῖς ὑπέλαβον κρότῳ τὸν ἄνδρα λαμπρῶς. αὖθις δ' ὁ δῆμος ἐπέτεινε τὸν συριγμὸν, εἶτ' ἐκεῖνοι τὸν κρότον. ἐκ δὲ τέτε τραπόμενοι πρὸς ἀλλήλες ἐχρῶντο λοιδορίαις, καὶ τὸ θέατρον ἀκοσμία κατεῖχεν. ἐπεὶ δ' ὁ Κικέρων ἧκε πυθόμενος, καὶ τὸν δῆμον ἐκκαλέσας

πρὸς

1 *Tribunus pl.* hanc legem tulit Otho. Eſt ergo ςρατηγεῖν ſenſu laxiori poſitum pro quovis magiſtratu, niſi quis erratum a Plutarcho, vel a librario dicat, ut δημαρχῶν legatur. Fuit autem idem, Xyl. copioſe demonſtrante, *L. Roſcius Otho.* Quaeri poſſe, monet Bart. — cur Cicerone maxime conſule, tumultus oriretur de hac Othonis lege, cum, quo tempore ferretur (Piſone & Glabrione Coſs. quadriennio ante Ciceronem *plebs eam non modo accepit, ſed etiam efflagitavit*; ut ſcribit *Cicero Fragm. pro Corn.* 1.) Reſpondet B. interſuiſſe Tribunorum & Catilinae, ut ordinem equeſtrem, ſummum Ciceronis contra eos praeſidium, plebi inviſum redderent.

2 V. & B. 3. ἀτιμίας.

πρὸς τὸ τῆς Ἐνυῦς ἱερὸν, ἐπετίμησε καὶ παρῄνεσεν, ἀπελθόντες αὖθις εἰς τὸ θέατρον ἐκρότεν τὸν Ὄθωνα λαμπρῶς, καὶ πρὸς τὲς ἱππέας ἅμιλλαν ἐποιῦντο περὶ τιμῶν καὶ δόξης τῦ ἀνδρός.

XIV. Ἡ δὲ περὶ τὸν Κατιλίναν συνωμοσία, πτήξασα καὶ καταδείσασα τὴν ἀρχὴν, αὖθις ἀνεθάρρει, καὶ συνῆγον ἀλλήλες, καὶ παρεκάλεν εὐτολμότερον ἅπτεσθαι τῶν πραγμάτων, πρὶν ἐπανελθεῖν Πομπήϊον, ἤδη λεγόμενον ὑποστρέφειν μετὰ τῆς δυνάμεως. μάλιστα δὲ τὸν Κατιλίναν ἐξηρέθιζον οἱ Σύλλα πάλαι στρατιῶται, διαπεφευγότες [1] μὲν ὅλης τῆς Ἰταλίας, πλεῖστοι δὲ καὶ μαχιμώτατοι ταῖς Τυῤῥηνικαῖς ἐγκατεσπαρμένοι πόλεσιν, ἁρπαγὰς πάλιν καὶ διαφορήσεις πλέτων ἑτοίμων ὀνειροπωλῦντες. ὗτοι γὰρ ἡγεμόνα Μάλλιον ἔχοντες, ἄνδρα τῶν ἐπιφανῶς ὑπὸ Σύλλα στρατευσαμένων, συνίσταντο τῷ Κατιλίνᾳ, καὶ παρῆσαν εἰς Ῥώμην συναρχαιρεσιάσοντες. ὑπατείαν γὰρ αὖθις μετῄει, βεβελευμένος ἀνελεῖν τὸν Κικέρωνα περὶ αὐτὸν τῶν ἀρχαιρεσιῶν τὸν θόρυβον. ἐδόκει δὲ καὶ τὸ δαιμόνιον προσημαίνειν τὰ πρασσόμενα σεισμοῖς καὶ κεραυνοῖς καὶ φάσμασιν [2]. αἱ δ' ἀπ' ἀνθρώπων μηνύσεις ἀληθεῖς μὲν ἦσαν, ὅπω δ' εἰς ἔλεγχον ἀποχρῶσαι κατ' ἀνδρὸς ἐνδόξε καὶ δυναμένε μέγα, τῦ Κατιλίνα. διὸ τὴν ἡμέραν τῶν ἀρχαιρεσιῶν ὑπερθέμενος ὁ Κικέρων, ἐκάλει τὸν Κατιλίναν εἰς τὴν σύγκλητον, καὶ περὶ τῶν λεγομένων ἀνέκρινεν. ὁ δὲ πολλὲς οἰόμενος εἶναι τὲς πραγμάτων καινῶν ἐφιεμένες ἐν τῇ βελῇ, καὶ ἅμα τοῖς συνωμόταις ἐνδεικνύμενος, ἀπεκρίνατο τῷ Κικέρωνι ἐ μαλακὴν ἀπόκρισιν [3].

 Τί

1 R. quaerit, num διαπεφοιτηκότες?

2 Vide in *Catilin.* 3, 8. *de Divin.* 1, 17. *Dion.* l. 37. & *Julium Obsequentem* de *Prodigiis.* B.

3 Sic R. & B. dederunt cum Anon. probante Duf. pro vulg. ὑπόκρισιν. R. simul voci μαλακὴν de suo praeposuit ἐ, quod vulgo deest. V. habet μανικὴν, quod probasset R., tanquam opti-

Τί γὰρ, ἔφη, πράττω δεινὸν, εἰ, δυοῖν σωμάτων ὄντων, τοῦ μὲν ἰσχνοῦ καὶ κατεφθινηκότος, ἔχοντος δὲ κεφαλὴν, τοῦ δ' ἀκεφάλου μὲν, ἰσχυροῦ δὲ καὶ μεγάλου, τούτῳ κεφαλὴν αὐτὸς ἐπιτίθημι; Τούτων εἴς τε τὴν βουλὴν καὶ τὸν δῆμον ᾐνιγμένων ὑπ' αὐτοῦ, μᾶλλον ὁ Κικέρων ἔδεισε, καὶ τεθωρακισμένον αὐτὸν οἵ τε δυνατοὶ πάντες ἀπὸ τῆς οἰκίας, καὶ τῶν νέων πολλοὶ κατήγαγον εἰς τὸ πεδίον. τοῦ δὲ θώρακος ἐπίτηδες ὑπέφαινέ τι παραλύσας ἐκ τῶν ὤμων τοῦ χιτῶνος, ἐνδεικνύμενος τοῖς ὁρῶσι τὸν κίνδυνον. οἱ δ' ἠγανάκτουν καὶ συνεστρέφοντο περὶ αὐτόν· καὶ τέλος ἐν ταῖς ψήφοις τὸν μὲν Κατιλίναν αὖθις ἐξέβαλον, εἵλοντο δὲ Σιλανὸν ὕπατον, καὶ Μουρήναν.

XV. Οὐ πολλῷ δ' ὕστερον τούτων [1] ἤδη τῷ Κατιλίνᾳ τῶν ἐν Τυῤῥηνίᾳ συνερχομένων, καὶ τῆς ὡρισμένης πρὸς τὴν ἐπίθεσιν ἡμέρας ἐγγὺς οὔσης, ἧκον ἐπὶ τὴν Κικέρωνος οἰκίαν περὶ μέσας νύκτας ἄνδρες οἱ πρῶτοι καὶ δυνατώτατοι Ῥωμαίων, Μάρκος τε Κράσσος, καὶ Μάρκος Μάρκελλος, καὶ Σκιπίων Μέτελλος. κόψαντες δὲ τὰς θύρας, καὶ καλέσαντες τὸν θυρωρὸν, ἐκέλευον ἐπεγεῖραι [2], καὶ φράσαι Κικέρωνι τὴν παρουσίαν αὐτῶν. ἦν δὲ τοιόνδε· τῷ Κράσσῳ μετὰ δεῖπνον ἐπιστολὰς ἀποδίδωσιν ὁ θυρωρὸς ὑπὸ δή τινος ἀνθρώπου κομισθείσας ἀγνώστου, ἄλλας ἄλλοις ἐπιγεγραμμένας, αὐ-

τῷ

optime huic loco conveniens, cum responsio Catilinae nequaquam *μαλακὴ* fuerit, sed perquam dura & acerba, si *μανικὸς* in usu foret. An adeo ab omni usu abhorreat hoc vocabulum, ut non commode in textum potuisset recipi, dubito. Legitur certe apud *Platonem* in *Charm.* statim ab init. — *ἅτε καὶ μανικὸς ὤν*, *velut insanus esset.* (Edit. Bipont. Vol. V. p. 106.) Dictum Catilinae extat pro *Muraena*, 25.

1 Br. mavult *στρατιωτῶν*, de quibus supra, pro *τούτων*, & post *συνερχομένων* ex V. & Anon. addi *καὶ καταλοχιζομένων*.

2 Junt. *ἀπεγεῖραι* (idem est in Ald. & Crat.) Hinc R. quaerit, an voluerit *ἀνεγεῖραι*?

τῷ δὲ Κράσσῳ μίαν ἀδέσποτον [1]. ἣν μόνην ἀναγνὲς ὁ Κράσσος, ὡς ἔφραζε τὰ γράμματα, φόνον γενησόμενον πολὺν διὰ Κατιλίναν, καὶ παρῄνει τῆς πόλεως ὑπεξελθεῖν, τὰς ἄλλας ἐκ ἔλυσεν, ἀλλ᾽ ἧκεν εὐθὺς πρὸς τὸν Κικέρωνα, πληγεὶς ὑπὸ τῦ δεινῦ, καί τι καὶ τῆς αἰτίας ἀπολυσόμενος [2], ἣν ἔχε διὰ φιλίαν τῦ Κατιλίνα. βελευσάμενος ἐν ὁ Κικέρων, ἅμ᾽ ἡμέρᾳ βελὴν συνήγαγε, καὶ τὰς ἐπιςολὰς κομίσας, ἀπέδωκεν, οἷς ἦσαν ἐπεςαλμέναι, κελεύσας φανερῶς ἀναγνῶναι. πᾶσαι δ᾽ ἦσαν ὁμοίως ἐπιβελὴν φράζεσαι. ἐπεὶ δὲ καὶ [3] Κόϊντος Ἄῤῥιος [4], ἀνὴρ ςρατηγικὸς, ἀπήγγειλε τὲς ἐν Τυῤῥηνίᾳ καταλοχισμὲς, καὶ Μάλλιος ἀπηγγέλλετο σὺν χειρὶ μεγάλῃ περὶ τὰς πόλεις ἐκείνας αἰωρέμενος, ἀεί τι προσδοκᾶν καινὸν ἀπὸ τῆς Ῥώμης, γίνεται δόγμα τῆς βελῆς, παρακατατίθεσθαι τοῖς ὑπάτοις τὰ πράγματα· δεξαμένες δ᾽ ἐκείνες, ὡς ἐπίςανται [5], διοικεῖν καὶ σώζειν τὴν πόλιν· τῦτο δ᾽ ἐ πολλάκις, ἀλλ᾽ ὅταν τι μέγα δείσῃ, ποιεῖν εἴωθεν ἡ σύγκλητος [6].

XVI. Ἐπεὶ δὲ ταύτην λαβὼν τὴν ἐξεσίαν ὁ Κικέρων τὰ μὲν ἔξω πράγματα Κοΐντῳ Μετέλλῳ διεπίςευε [7],

 τὴν

1 Cf. Plut. in Crass. T. III. p. 421. ubi Corradus legisse videtur παρὰ τῦ K. cum interpretatur *a Catilina missam*, & falso colligit, Plutarchum a se ipsum dissentire, cum hoc in loco vocet ἀδέσποτον. Sallustius, qui tamen Crassum purgare multis verbis conatur, indicii ab eo ad Ciceronem delati non meminit. Xyl. & B.

2 Vulgo ἀποδυόμενος; pro qua voce Dus. voluit ἀπολυόμενος. R. dedit in fut. nec non addidit posterius καὶ post καί τι, quod vulgo deest.

3 abest hoc καὶ a B. 3.

4 Solus interpretum Dacerius vulgatam hic sequitur. Crus. *Martium* vertit. Xyl. *Attium*. Angl. ex Sallustio *Marrium*. Br.

5 R. post h. v. abesse videtur ἄριςα, *pro optima eorum arte fideque, nach ihrem besten Wissen und Gewissen.*

6 Caes. de B. civ. l. 5.

7 Junt. Ald. Crat. Steph. διεπίςευσε, quod & B. revocavit. Frst. & Br. διεπίςευε.

τὴν δὲ πόλιν εἶχε διὰ χειρὸς, καὶ καθ' ἡμέραν προήει δορυφορέμενος ὑπ' ἀνδρῶν τοσέτων τὸ πλῆθος, ὥϛε τῆς ἀγορᾶς πολὺ μέρος κατέχειν, ἐμβάλλοντος αὐτῦ τὲς παραπέμποντας· ἐκέτι καρτερῶν τὴν μέλλησιν ὁ Κατιλίνας, αὐτὸς μὲν ἐκπηδᾶν ἔγνω πρὸς τὸν Μάλλιον ἐπὶ τὸ ϛράτευμα· καὶ Μάρκιον δὲ καὶ Κέθηγον [1] ἐκέλευσε ξίφη λαβόντας ἐλθεῖν ἐπὶ τὰς θύρας [2] ἕωθεν, ὡς ἀσπασομένες τὸν Κικέρωνα, καὶ διαχρήσασθαι προσπεσόντας. τἕτο Φελβία, γυνὴ τῶν ἐπιφανῶν, ἐξαγγέλλει τῷ Κικέρωνι, νυκτὸς ἐλθἕσα, καὶ διακελευσαμένη φυλάττεσθαι τὲς περὶ τὸν Κέθηγον. οἱ δ' ἧκον ἅμ' ἡμέρα, καὶ κωλυθέντες εἰσελθεῖν, ἠγανάκτεν, καὶ κατεβόων ἐπὶ θύραις, ὥϛε ὑποπτότεροι γενέσθαι. προελθὼν δ' ὁ Κικέρων, ἐκάλει τὴν σύγκλητον εἰς τὸ τἕ Στησίε Διὸς ἱερὸν, ὃν Στάτωρα Ῥωμαῖοι καλἕσιν, ἱδρυμένον [3] ἐν ἀρχῇ τῆς ἱερᾶς ὁδἕ, πρὸς τὸ Παλάτιον ἀνιόντων. ἐνταῦθα καὶ τἕ Κατιλίνα μετὰ τῶν ἄλλων ἐλθόντες, ὡς ἀπολογησομένε, συγκαθίσαι μὲν ἐδεὶς ὑπέμεινε τῶν συγκλητικῶν, ἀλλὰ πάντες ἀπὸ τἕ βάθρε μετῆλθον. ἀρξάμενος δὲ λέγειν ἐθορυβεῖτο, καὶ τέλος ἀνασὰς ὁ Κικέρων, προσέταξεν [4] αὐτῷ τῆς πόλεως ἀπαλλάττε-

1 B. ad haec: „Errat Plutarchus in nominibus. Ut Cethegum nominaret, fefellit eum, credo, Praenomen, C. Cornelius, quod habuit cum Cethego commune is, qui Ciceronem interficiendum popoſcerat. Sed hic noſter C. Cornelius, Cethego jam mortuo, ſuperſtes erat. vid. *pro P. Sylla* 18. Alterius nomen tacet Cicero; equitem fuiſſe dicit Salluſtius L. Vargunteium Senatorem. Q. Marcius Rex Faeſulas miſſus eſt Senati decreto, ut praeſidio eſſet reipublicae; tantum abeſt, ut inter conjuratos fuerit.“

2 Ciceronis puta.

3 Junt. Ald. Crat. ἱδρυμένε.

4 B. ad hanc vocem: „Satis perſunctorie dictum. Cicero Catilinam conſulari edicto ab urbe removere noluit, regiae poteſtatis invidiam timens. Hoc ergo in ejus conſilio maxime mirabi-

λάτ]εσθαι· δεῖν γὰρ, αὐτȣ̃ μὲν λόγοις, ἐκείνȣ δ' ὅπλοις πολιτευομένȣ, μέσον εἶναι τὸ τεῖχος [1]. ὁ μὲν ȣ̃ν Κατιλίνας εὐθὺς ἐξελθὼν μετὰ τριακοσίων ὁπλοφόρων, καὶ περιςησάμενος αὐτῷ ῥαβδȣχίας, ὡς ἄρχοντι, καὶ πελέκεις, καὶ σημαίας ἐπαράμενος, πρὸς τὸν Μάλλιον ἐχώρει. καὶ δισμυρίων ὁμȣ̃ τι συνηθροισμένων, ἐπήει τὰς πόλεις ἀναπείθων καὶ ἀφιςάς· ὥςε, τȣ̃ πολέμȣ φανερȣ̃ γεγονότος, τὸν Ἀντώνιον ἀποςαλῆναι διαμαχȣ́μενον.

XVII. Τȣ̀ς δ' ὑπολειφθέν]ας ἐν τῇ πόλει τῶν διεφθαρμένων ὑπὸ τȣ̃ Κατιλίνα συνῆγε καὶ παρεθάῤῥυνε Κορνήλιος Λέντλος, Σȣ́ρας ἐπίκλησιν, ἀνὴρ γένȣς μὲν ἐνδόξȣ, βεβιωκὼς δὲ φαύλως, καὶ δι' ἀσέλγειαν ἐξεληλαμένος τῆς βȣλῆς πρότερον· τότε δὲ ςρατηγῶν τὸ δεύτερον, ὡς ἔθος ἐςὶ τοῖς ἐξ ὑπαρχῆς ἀνακ]ωμένοις τὸ βȣλευτικὸν ἀξίωμα [2]. λέγεται δὲ καὶ τὴν ἐπίκλησιν αὐτῷ γενέσθαι τὸν Σȣ́ραν ἐξ αἰτίας τοιαύτης· ἐν τοῖς κατὰ Σύλλαν χρόνοις ταμιεύων, συχνὰ τῶν δημοσίων χρημάτων ἀπώλεσε καὶ διέφθειρεν· ἀγανακ]ȣ̃ντος δὲ τȣ̃ Σύλλα, καὶ λόγον ἀπαιτȣ̃ν]ος ἐν τῇ συγκλήτῳ, προελθὼν ὀλιγώρως πάνυ καὶ καταφρονητικῶς, λόγον μὲν ȣ̓κ ἔφη διδόναι, παρέχειν δὲ τὴν κνήμην· ὥσπερ ποιεῖν [3] εἰώ-



rabile est, quod Catilinam ejecerit, non imperio aut auctoritate consulari; sed totius conjurationis seriem in senatu aperiendo & criminatione acerbissima insectando ita terruerit Catilinam, ut sua sponte urbem relinqueret."

1 Proxime accedunt ad haec, quae Cicero dixit *in Catil.* I, 5. — *magno me metu liberabis, dummodo inter me atque te murus intersit.* B.

2 Cf. Dio. l. 37.

3 Sic R. de suo dedit pro vulg. πάνυ, quod ipsum a B. 3. abest. παρέχειν τὴν κνήμην Turneb. Adv. l. 7. c. 4. explicat *suram pila feriendam praebere.* Huc fortasse *Persium* alludere, B. monet, Sat. 5. *caedimus, inque vicem praebemus crura sagittis.* Vanum autem esse hoc Plutarchi commentum de Surae cogno-

εἰώθεισαν οἱ παῖδες, ὅταν ἐν τῷ σφαιρίζειν ἁμάρτωσιν. ἐκ τέτε Σέρας παρωνομάσθη· Σέραν γὰρ οἱ Ῥωμαῖοι τὴν κνήμην λέγεσι. πάλιν δὲ δίκην ἔχων, καὶ διαφθείρας ἐνίες τῶν δικαςῶν, ἐπεὶ δυσὶ μόναις ἀπέφυγε ψήφοις, ἔφη, παρανάλωμα γεγονέναι τὸ θατέρῳ κριτῇ δοθέν· ἀρκεῖν γὰρ, εἰ καὶ μιᾷ ψήφῳ μόνον ἀπελύθη. τῦτον ὄντα τῇ φύσει τοιῦτον, κεκινημένον ὑπὸ τῦ Κατιλίνα, προσδιέφθειραν ἐλπίσι κεναῖς ψευδομάντεις καὶ γόητες, ἔπη πεπλασμένα καὶ χρησμὲς ἄδοντες, ὡς ἐκ τῶν Σιβυλλείων προδηλῦντας [1], εἱμαρμένες εἶναι τῇ Ῥώμῃ Κορνηλίες τρεῖς μονάρχες· ὧν δύο μὲν ἤδη πεπληρωκέναι τὸ χρεὼν, Κίνναν τε καὶ Σύλλαν, τρίτῳ δὲ λοιπῷ Κορνηλίῳ, ἐκείνῳ, φέροντα τὴν μοναρχίαν ἥκειν τὸν δαίμονα, καὶ δεῖν πάντως δέχεσθαι, καὶ μὴ διαφθείρειν μέλλοντα τὲς καιρὲς, ὥσπερ Κατιλίνας [2].

XVIII. Οὐδὲν ἔν ἐπενόει μικρὸν [3] ὁ Λέντλος, ἢ ἄσημον, ἀλλ' ἐδέδοκτο τὴν βελὴν ἅπασαν ἀναιρεῖν, τῶν τ' ἄλλων πολιτῶν ὅσες δύναιτο, τὴν πόλιν δ' αὐτὴν καταπιμπράναι· φείδεσθαί τε μηδενὸς, ἢ τῶν Πομπηΐε τέκνων· ταῦτα δ' ἐξαρπασαμένες ἔχειν ὑφ' αὑτοῖς, καὶ φυλάττειν, ὅμηρα τῶν πρὸς Πομπήϊον διαλύσεων.

cognomine, recte, eodem judice, notat *Pighius* ad A. V. C. 333. siquidem antiquum valde cognomen illud esse constat, & inter Lentulos familiare, e Livii libro 22. qui P. Suram appellat legatum M. Aemilii Praetoris in Sicilia A. V. C. 536.

1 R. monente, redit ad χρησμὲς — recitantes nescio quae carmina & oracula ementita & supposititia, tanquam e libris Sibyllinis hausta, quae oracula futurum praedicerent, aut portenderent, esse, ut tres Cornelii fataliter summi fierent Romanarum rerum arbitri.

2 scil. διέφθειρε μέλλων, h. e. διὰ τῆς μελλήσεως. R.

3 B. 3. καλὸν. Idem habet V. cum alia adhuc lectione κακὸν, e Junt. desumta, &, ut R. videtur, inde orta, quod in quibusdam codicibus legeretur φαῦλον, quod, ut alias μικρὸν & εὐτελὲς, ita rursus alias κακὸν significare potest.

σεων. ἤδη γὰρ ἐφοίτα πολὺς λόγος καὶ βέβαιος ὑπὲρ αὐτȢ κατιόντος ἀπὸ τῆς μεγάλης ϛρατείας. καὶ νὺξ μὲν ὥριϛο πρὸς τὴν ἐπίθεσιν μία τῶν Κρονιάδων· ξίφη δὲ καὶ συππεῖα καὶ θεῖον εἰς τὴν ΚεθήγȢ φέροντες οἰκίαν ἀπέκρυψαν. ἄνδρας δὲ τάξαντες ἑκατὸν [1], καὶ μέρη τοσαῦτα τῆς Ῥώμης, ἕκαϛον ἐφ' ἑκάϛῳ διεκλήρωσαν, ὡς δι' ὀλίγȢ, πολλῶν ἀψάντων, φλέγοιτο πανταχόθεν ἡ πόλις. ἄλλοι δὲ τȢ̀ς ὀχετȢ̀ς ἔμελλον ἐμφράξαντες ἀποσφάττειν τȢ̀ς ὑδρευομένȢς. πραττομένων δὲ τȢ́των, ἔτυχον ἐπιδημȢ̃ντες Ἀλλοβρίγων δύο πρέσβεις, ἔθνȢς μάλιϛα δὴ τότε πονηρὰ πράττοντος, καὶ βαρυνομένȢ τὴν ἡγεμονίαν. τȢ́τȢς οἱ περὶ Λέντλον ὠφελίμȢς ἡγȢ́μενοι πρὸς τὸ κινῆσαι καὶ μεταβαλεῖν τὴν Γαλατίαν, ἐποιήσαντο συνωμότας. καὶ γράμματα μὲν αὐτοῖς πρὸς τὴν ἐκεῖ βȢλὴν, γράμματα δὲ πρὸς Κατιλίναν ἔδοσαν, τῇ μὲν ὑπισχνȢ́μενοι τὴν ἐλευθερίαν, τὸν δὲ Κατιλίναν παρακαλȢ̃ντες ἐλευθερώσαντα τȢ̀ς δȢ́λȢς ἐπὶ τὴν Ῥώμην ἐλαύνειν. συναπέϛελλον δὲ μετ' αὐτῶν πρὸς τὸν Κατιλίναν Τίτον τινὰ Κροτωνιάτην, κομίζοντα τὰς ἐπιϛολάς. οἷα δ' ἀνθρώπων ἀϛαθμήτων, καὶ μετ' οἴνȢ τὰ πολλὰ καὶ γυναικῶν ἀλλήλοις ἐντυγχανόντων, βȢλεύματα πόνῳ [2] καὶ λογισμῷ νήφοντι καὶ συνέσει περιττῇ διώκων ὁ Κικέρων, καὶ πολλȢ̀ς μὲν ἔχων ἔξωθεν ἐπισκοπȢ̃ντας τὰ πραττόμενα καὶ συνεξιχνεύοντας αὐτῷ· πολλοῖς δὲ τῶν μετέχειν δοκȢ́ντων τῆς συνωμοσίας διαλεγόμενος κρύφα, καὶ πιϛεύων [3], ἔγνω τὴν πρὸς

 τȢ̀ς

1 Salluſtius paulo aliter, B. Cat. 44. & B. judice aliquanto veriſimilius. — *Statilius & Gabinius uti cum magna manu duodecim ſimul opportuna loca urbis incenderent.*

2 Aut ante, aut poſt hanc vocem R. deeſſe videtur συνεχεῖ, aut tale quid, ne ſcilicet huic vocabulo ſuum deſit epitheton, duobus appoſitis, λογισμῷ & συνέσει, ſua habentibus epitheta congrua.

3 R. quaerit, num ſit verbum Graecum πιϛεύων pro πυνθάνεσθαι;

τὰς ξένυς κοινολογίαν· καὶ νυκτὸς ἐνεδρεύσας, ἔλαβε τὸν Κροτωνιάτην καὶ τὰ γράμματα, συνεργέντων ἀδήλως [1] τῶν Ἀλλοβρίγων.

XIX. Ἅμα δ' ἡμέρᾳ βυλὴν ἀθροίσας εἰς τὸ τῆς Ὁμονοίας ἱερὸν, ἐξανέγνω [2] τὰ γράμματα, καὶ τῶν μηνυτῶν διήκυσεν. ἔφη δὲ καὶ Σιλανὸς Ἰύνιος, ἀκηκοέναι τινὰς Κεθήγυ λέγοντος, ὡς ὕπατοί τε τρεῖς καὶ ςρατηγοὶ τέτταρες ἀναιρεῖσθαι μέλλυσι. τοιαῦτα δ' ἕτερα καὶ Πείσων, ἀνὴρ ὑπατικὸς, εἰσήγγελε. Γάϊος δὲ Συλπίκιος, εἷς τῶν ςρατηγῶν, ἐπὶ τὴν οἰκίαν πεμφθεὶς τῦ Κεθήγυ, πολλὰ μὲν ἐν αὐτῇ βέλη καὶ ὅπλα, πλεῖςα δὲ ξίφη καὶ μαχαίρας εὗρε, νεοθήκτυς ἁπάσας. τέλος δὲ τῷ Κροτωνιάτῃ ψηφισαμένης ἄδειαν ἐπὶ μηνύσει τῆς βυλῆς, ἐξελεγχθεὶς ὁ Λέντλος ἀπωμόσατο τὴν ἀρχὴν, (ςρατηγῶν γὰρ ἐτύγχανε) καὶ τὴν περιπόρφυρον ἐν τῇ βυλῇ καταθέμενος, διήλλαξεν ἐσθῆτα τῇ συμφορᾷ πρέπυσαν. ὗτος [3] μὲν ὖν καὶ οἱ σὺν αὐτῷ παρεδόθησαν εἰς ἄδεσμον φυλακὴν τοῖς ςρατηγοῖς. ἤδη δ' ἑσπέρας ὔσης, καὶ τῦ δήμυ περιμένοντος ἀθρόυ, προελθὼν ὁ Κικέρων, καὶ φράσας τὸ πρᾶγμα τοῖς πολίταις, καὶ προπεμφθεὶς, παρῆλθεν εἰς οἰκίαν φίλυ γειτνιῶντος· ἐπεὶ τὴν ἐκείνυ γυναῖκες κατεῖχον, ἱεροῖς ἀποῤῥήτοις ὀργιάζυσαι θεὸν, ἣν Ῥωμαῖοι μὲν Ἀγαθὴν [4], Ἕλληνες δὲ Γυναικείαν ὀνομάζυσι. θύεται δ' αὐτῇ κατ' ἐνιαυτὸν ἐν τῇ οἰκίᾳ τῦ ὑπάτυ [5] διὰ γυναικὸς, ἢ μητρὸς αὐτῦ,

νεσθαι; ut πυςεύων pro vulg. πιςεύων ponatur? In nota ad Hesych. in voce πύςις affertur πυςιᾶσθαι pro πυνθάνεσθαι, quo carent Lexica.

1 Vulgo ἀλλήλοις datur ante h. v. quae vox, Br. judice, in textum irrepsisse videtur ex quibusdam codd. in quibus prave pro ἀδήλως scripta fuerit. R. eam prorsus omisit.

2 *de scripto recitabat.* R.

3 B. 4. ὗτω. Junt. ὗτως.

4 Conf. Plut. in Caes. T. IV. p. 368.

5 aut etiam Praetoris, teste Plutarcho ibidem, & Dione l. 37.

τȣ, τῶν Ἑϛιάδων παρθένων παρȣσῶν. εἰσελθὼν [1] ȣ̓ν ὁ Κικέρων, καθ' αὐτὸν, ὀλίγων παντάπασιν αὐτῷ παρόντων, ἐφρόντιζεν, ὅπως χρήσαιτο τοῖς ἀνδράσι. τήν τε γὰρ ἄκραν καὶ προσήκȣσαν ἀδικήμασι τηλικȣ́τοις τιμωρίαν ἐξευλαβεῖτο καὶ κατώκνει, δι' ἐπιείκειαν ἤθȣς ἅμα, καὶ ὡς μὴ δοκοίη τῆς ἐξȣσίας ἄγαν ἐμφερεῖσθαι, καὶ πικρῶς ἐπεμβαίνειν ἀνδράσι γένει τε πρώτοις, καὶ φίλȣς δυνατȣ̀ς ἐν τῇ πόλει κεκτημένοις· μαλακώτερόν τε χρησάμενος, ὠῤῥώδει τὸν ἀπ' αὐτῶν κίνδυνον. ȣ̓ γὰρ ἀγαπήσειν μετριώτερόν τι θανάτȣ παθόντας, ἀλλ' εἰς ἅπαν ἀναῤῥαγήσεσθαι τόλμης, τῇ παλαιᾷ κακίᾳ νέαν ὀργὴν προσλαβόντας· αὐτός τε δόξειν [2] ἄνανδρος καὶ μαλακὸς, ȣ̓δ' ἄλλως δοκῶν εὐτολμότατος εἶναι τοῖς πολλοῖς.

XX. Ταῦτα τȣ̃ Κικέρωνος διαπορȣ̃ντος, γίνεταί τι ταῖς γυναιξὶ σημεῖον θυȣ́σαις. ὁ γὰρ βωμὸς, ἤδη τȣ̃ πυρὸς κατακεκοιμῆσθαι δοκȣ̃ντος, ἐκ τῆς τέφρας καὶ τῶν κεκαυμένων φλοιῶν φλόγα πολλὴν ἀνῆκε καὶ λαμπράν [3]. ὑφ' ἧς αἱ μὲν ἄλλαι διεπτοήθησαν, αἱ δ' ἱεραὶ παρθένοι τὴν τȣ̃ Κικέρωνος γυναῖκα, Τερεντίαν, ἐκέλευσαν ᾗ τάχος χωρεῖν πρὸς τὸν ἄνδρα, καὶ κελεύειν, οἷς ἔγνωκεν, ἐγχειρεῖν ὑπὲρ τῆς πατρίδος· ὡς μέγα πρός τε σωτηρίαν καὶ δόξαν αὐτῷ τῆς θεȣ̃ φῶς διδȣ́σης. ἡ δὲ Τερεντία (καὶ γὰρ ȣ̓δ' ἄλλως ἦν πρᾳεῖά τις, ȣ̓δ' ἄτολμος τὴν φύσιν, ἀλλὰ φιλότιμος γυνὴ, καὶ μᾶλλον, ὡς αὐτός [4] φησιν ὁ Κικέρων, τῶν πολιτικῶν μεταλαμβάνȣσα

1 in hanc amici domum, non ſuam. R.

2 Lectio haec ex Steph. prodiit. Subaudiendum e praemiſſis ὠῤῥώδει. Junt. Ald. Crat. δόξῃ; B. 3. δόξα.

3 Bonum omen. Virg. Ecl. 8, 105. *Servius* in *hunc locum* meminit hujus Terentiae ſacrificii, & Ciceronem prodigii teſtem citat in carmine de ſuo Conſulatu. Inter opera Ciceronis, quae extant, nullum hujus rei veſtigium eſt. B.

4 A nemine obſervatus eſt in operibus Ciceronis, quae ſuperſunt, locus ille. Duſ.

σα παρ' ἐκείνȣ Φροντίδων, ἢ μεταδιδȣ̃σα τῶν οἰκειακῶν ἐκείνῳ) ταῦτά τε πρὸς αὐτὸν ἔφρασε, καὶ παρώξυνεν ἐπὶ τȣ̀ς ἄνδρας. ὁμοίως δὲ καὶ Κόϊντος, ὁ ἀδελφὸς, καὶ τῶν ἀπὸ [1] Φιλοσοφίας ἑταίρων Πόπλιος Νιγίδιος, ᾧ τὰ πλεῖςα καὶ μέγιςα παρὰ [2] τὰς πολιτικὰς ἐχρῆτο πράξεις. τῇ δ' ὑςεραίᾳ γενομένων ἐν συγκλήτῳ λόγων περὶ τιμωρίας τῶν ἀνδρῶν, ὁ πρῶτος ἐρωτηθεὶς γνώμην Σιλανὸς, εἶπε, τὴν ἐχάτην δίκην δȣ̃ναι προσήκειν, ἀχθέντας εἰς τὸ δεσμωτήριον. καὶ προσετίθεντο τȣ́τῳ πάντες ἐφεξῆς, μέχρι Γαΐȣ Καίσαρος [3], τȣ̃ μετὰ ταῦτα δικτάτωρος γενομένȣ. τότε δὲ νέος ὢν ἔτι, καὶ τὰς πρώτας ἔχων τῆς αὐξήσεως ἀρχὰς, ἤδη δὲ τῇ πολιτείᾳ καὶ ταῖς ἐλπίσιν εἰς ἐκείνην τὴν ὁδὸν ἐμβεβηκὼς, ᾗ τὰ Ῥωμαίων εἰς μοναρχίαν μετέςησε πράγματα, τȣ̀ς μὲν ἄλλȣς ἐλάνθανε, τῷ δὲ Κικέρωνι πολλὰς μὲν ὑποψίας [4], λαβὴν δ' ȣ̓δεμίαν εἰς ἔλεγχον παρέδωκεν, ἀλλὰ καὶ λεγόντων ἦν ἐνίων ἀκȣ́ειν, ὡς ἐγγὺς ἐλθὼν ἁλῶναι, διεκφύγοι

1 *ob philoſophiam, a communione ſtudiorum philoſophicorum conciliatus.* Mavult tamen R. ἀπὸ φιλολογίας, a varietate & multitudine literarum, de quibus cum Cicerone diſputans ſoleret ei jucunde otium fallere. P. Nigidius Figulus juxta M. Varronem Romanorum doctiſſimus, rempublicam quoque attigit, & hoc ipſo anno Senator erat. Dion. Hiſt. l. 45. Eum Cicero, ut ait Gellius, ingenij doctrinarumque nomine ſumme reveritus eſt. Sed revera partium in rep. ſocietas & voluntatum conſenſio eum maxime Ciceroni devinxit, quod Plut. & hic teſtatur, & in πολιτ. παραγγ. Cicero ad eum ſcribens (Ep. Fam. 4, 13.) duo tempora nominat, quibus uſus fuiſſet Nigidii opera & auxilio, conſulatum nempe ſuum, & exilium. Bello civili Pompeji partes ſecutus obiit in exilio A. V. C. 709.

2 R. quaerit, num πρὸς?

3 Salluſt. B. C. 49. & Appianus de bell. civ. l. 2. referunt, ante Caeſarem leniorem ſententiam dixiſſe Tiberium Neronem. Cum Plutarcho faciunt Suetonius & Dio, eorumque auctoritas firmatur potiſſimum ipſius Ciceronis teſtimoniis, in 4. orat. in cat. 4. & ad Attic. 12, 21.

4 Cf. Plut. in Caeſ. T. IV. p. 362.

φυγοι τὸν ἄνδρα. τινὲς δέ φασι, παριδεῖν ἑκόντα καὶ παραλιπεῖν τὴν κατ' ἐκείνου μήνυσιν, φόβῳ τῶν φίλων αὐτοῦ καὶ τῆς δυνάμεως· παντὶ γὰρ εἶναι πρόδηλον, ὅτι μᾶλλον ἂν ἐκεῖνοι [1] γένοιντο προσθήκη Καίσαρι σωτηρίας, ἢ Καῖσαρ ἐκείνοις κολάσεως.

XXI. Ἐπεὶ δ' οὖν ἡ γνώμη περιῆλθεν εἰς αὐτὸν, ἀναστὰς ἀπεφήνατο μὴ θανατοῦν τοὺς ἄνδρας, ἀλλὰ τὰς οὐσίας εἶναι δημοσίας, αὐτοὺς δ' ἀπαχθέντας εἰς πόλεις τῆς Ἰταλίας, ἃς ἂν δοκῇ Κικέρωνι, τηρεῖσθαι δεδεμένους, ἄχρις ἂν οὗ [2] καταπολεμηθῇ Κατιλίνας. οὔσης δὲ τῆς γνώμης ἐπιεικοῦς, καὶ τοῦ λέγοντος εἰπεῖν δυνατωτάτου, ῥοπὴν ὁ Κικέρων προσέθηκεν οὐ μικράν. αὐτός τε [3] γὰρ ἀναστὰς ἐνεχείρησεν εἰς ἑκάτερον [4], τὰ μὲν τῇ προτέρᾳ, τὰ δὲ τῇ γνώμῃ Καίσαρος συνειπών· οἵ τε

1 Caesaris scilicet amici. Latius haec verba verti posse, B. monet, & legendum suspicatur ἐκείνοις γένοιτο προσθήκη Καῖσαρ σωτηρίας, ἢ Καίσαρι ἐκεῖνοι κολάσεως, quod & Xyl. legisse videtur, vertens: potius fore, ut conjurati propter Caesarem salute donarentur, quam is propter eos supplicio afficeretur. Minus commoda Schirachi videtur versio: dass Cäsars Freunde durch ihren Beystand weit mehr zu dessen Errettung würden gethan haben, als Cäsars Mitverwicklung zur Bestrafung der Verschwornen thun konnte.

2 Cf. Plut. in Caes. cap. 7. fin. Est autem, ut Rualdus animadvertit, Plutarchi vel ejus auctoris, unde ipse habet, hallucinatio, quae & Appianum in erroris communionem traxit, utroque existimante, placuisse Caesari, non ad perpetuam custodiam damnandos conjuratos, sed solum habendos in vinculis, donec, victo Catilina, de ipsis maturius cognosceretur. Contra Sallustius, qui judicio vel interfuit, vel interesse potuit, eamque totam historiam eloquenter juxta & accurate ac verissime perscripsit, conjuratos sententia Caesaris in aeterna vincula damnatos testatur. Addatur ipse Cic. 4. in Catil 5.

3 abest τε a B. 3.

4 Extat oratio, de qua Plutarchus, in Catilinam quarta. Ejus artificium mirabile Noster non satis perspexit. Quippe in ea Cicero ita disputat in utramque partem, ut in Silani sententiam non obscure propendeat. B.

τε φίλοι πάντες, οἰόμενοι, τῷ Κικέρωνι συμφέρειν τὴν Καίσαρος γνώμην, (ἧττον γὰρ ἐν αἰτίαις ἔσεσθαι μὴ θανατώσαντα τοὺς ἄνδρας) ᾑροῦντο τὴν δευτέραν μᾶλλον γνώμην, ὥστε καὶ τὸν Σιλανὸν αὖθις μεταβαλλόμενον παραιτεῖσθαι, καὶ λέγειν, ὡς οὐδ' αὐτὸς εἴποι θανατικὴν γνώμην· ἐσχάτην γὰρ ἀνδρὶ βουλευτῇ Ῥωμαίων εἶναι δίκην τὸ δεσμωτήριον. εἰρημένης δὲ τῆς γνώμης, πρῶτος ἀντέκρουσεν αὐτῇ Κάτλος Λουτάτιος· εἶτα δεξάμενος Κάτων, καὶ τῷ λόγῳ σφοδρῶς συναπερείσας [1] ἐπὶ τὸν Καίσαρα τὴν ὑπόνοιαν, ἐνέπλησε θυμοῦ καὶ φρονήματος τὴν σύγκλητον, ὥστε θάνατον καταψηφίσασθαι τῶν ἀνδρῶν. περὶ δὲ δημεύσεως χρημάτων ἐνίστατο Καῖσαρ, οὐκ ἀξιῶν, τὰ φιλάνθρωπα τῆς ἑαυτοῦ γνώμης ἐκβαλόντας, ἑνὶ χρήσασθαι τῷ σκυθρωποτάτῳ. βιαζομένων δὲ πολλῶν, ἐπεκαλεῖτο τοὺς δημάρχους. οἱ δ' οὐχ ὑπήκουον, ἀλλὰ Κικέρων αὐτὸς ἐνδοὺς ἀνῆκε τὴν περὶ δημεύσεως γνώμην.

XXII. Ἐχώρει δὲ μετὰ τῆς βουλῆς ἐπὶ τοὺς ἄνδρας. οὐκ ἐν ταὐτῷ δὲ πάντες ἦσαν, ἄλλος δ' ἄλλον ἐφύλαττε τῶν στρατηγῶν. καὶ πρῶτον ἐκ Παλατίου παραλαβὼν τὸν Λέντλον, ἦγε διὰ τῆς ἱερᾶς ὁδοῦ, καὶ τῆς ἀγορᾶς μέσης, τῶν μὲν ἡγεμονικωτάτων ἀνδρῶν κύκλῳ περιεσπειραμένων καὶ δορυφορούντων, τοῦ δὲ δήμου φρίττοντος τὰ δρώμενα, καὶ παριόντος σιωπῇ· μάλιστα δὲ τῶν νέων, ὥσπερ ἱεροῖς τισι πατρίοις ἀριστοκρατικῆς τινος ἐξουσίας, τελεῖσθαι μετὰ φόβου καὶ θάμβους δοκούντων. διελθὼν δὲ τὴν ἀγορὰν, καὶ γενόμενος πρὸς τῷ δεσμωτηρίῳ, παρέδωκε τὸν Λέντλον τῷ δημίῳ, καὶ προσέτα-

1 Br. susp. ἐναπερείσας. In Caes. in eadem re utitur συναπερείσαντος. T. IV. p. 367. l. 3.

2 Translatio sumta ab Eleusiniis mysteriis, in quibus οἱ μυούμενοι, dira quaedam spectacula videbant, lucis & tenebrarum vices, templi tremores, spectra & phasmata horrenda, quibus interesse vocabatur αὐτοψία. Claudian. de rap. Pros. 1. B.

ἔταξεν ἀνελεῖν· εἶθ' ἑξῆς τὸν Κέθηγον, καὶ οὕτω τῶν ἄλλων ἕκαστον καταγαγὼν ἀπέκτεινεν. ὁρῶν δὲ πολλοὺς ἔτι τῆς συνωμοσίας ἐν ἀγορᾷ συνεστῶτας ἀθρόους, καὶ τὴν μὲν πρᾶξιν ἀγνοοῦντας, τὴν δὲ νύκτα προσμένοντας, ὡς ἔτι ζώντων τῶν ἀνδρῶν καὶ δυναμένων ἐξαρπασθῆναι, φθεγξάμενος μέγα πρὸς αὐτούς· Ἔζησαν, εἶπεν. οὕτω δὲ Ῥωμαίων οἱ δυσφημεῖν μὴ βουλόμενοι, τὸ τεθνάναι σημαίνουσιν. ἤδη δ' ἦν ἑσπέρα, καὶ δι' ἀγορᾶς ἀνέβαινεν εἰς τὴν οἰκίαν, οὐκέτι σιωπῇ τῶν πολιτῶν, οὐδὲ τάξει προπεμπόντων αὐτὸν, ἀλλὰ φωναῖς καὶ κρότοις δεχομένων, καθ' οὓς γένοιτο, σωτῆρα καὶ κτίστην ἀνακαλούντων τῆς πατρίδος. τὰ δὲ φῶτα πολλὰ κατέλαμπε τοὺς στενωποὺς, λαμπάδια καὶ δᾷδας ἱστάντων ἐπὶ ταῖς θύραις. αἱ δὲ γυναῖκες ἐκ τῶν τεγῶν προὔφαινον ἐπὶ τιμῇ καὶ θέᾳ τοῦ ἀνδρὸς ὑπὸ πομπῇ τῶν ἀρίστων μάλα σεμνῶς ἀνιόντος· ὧν οἱ πλεῖστοι πολέμους τε κατειργασμένοι μεγάλους, καὶ διὰ θριάμβων εἰσεληλακότες, καὶ προσκεκτημένοι γῆν καὶ θάλατταν οὐκ ὀλίγην, ἐβάδιζον ἀνομολογούμενοι πρὸς ἀλλήλους, πολλοῖς μὲν τῶν τότε ἡγεμόνων καὶ στρατηγῶν πλούτου καὶ λαφύρων καὶ δυνάμεως χάριν ὀφείλειν τὸν Ῥωμαίων δῆμον, ἀσφαλείας δὲ καὶ σωτηρίας ἑνὶ μόνῳ Κικέρωνι, τηλικοῦτον ἀφελόντι καὶ τοσοῦτον αὐτοῦ κίνδυνον, οὐ γὰρ τὸ κωλῦσαι τὰ πραττόμενα [1], καὶ κολάσαι τοὺς πράττοντας, ἐδόκει θαυμαστόν· ἀλλ' ὅτι μέγιστος ἦν [2] τῶν πώποτε νεωτερισμῶν, οὕτος ἐλαχίστοις κακοῖς ἄνευ στάσεως καὶ ταραχῆς κατέσβεσε. καὶ γὰρ τὸν Κατιλίναν οἱ πλεῖστοι τῶν συν-

1 Teste Steph. etiam legitur τὰ πράγματα. Sic & V.

2 Pro μέγιστος ἦν V. & Anon. μέγιστον, quod Br. probavit, & B. recepit, qui tamen suspicatur, Plutarchum scripsisse: ὃς μέγιστος ἦν. R. sequens οὗτος non ad Ciceronem, sed ad νεωτερισμὸν vult referri, & sic ferme legi: οὗτος, ὃν Κικέρων ἐλαχίστοις — quod hic tumultus omnium, quotquot unquam fuerunt, unus fuit maxime formidandus, quem Cicero minimis cum malis —

συνεῤῥυηκότων πρὸς αὐτὸν, ἅμα τῷ πυθέσθαι τὰ περὶ Λέντλον καὶ Κέθηγον, ἐγκαταλιπόντες ᾤχοντο· καὶ μετὰ τῶν συμμεμενηκότων αὐτῷ διαγωνισάμενος πρὸς Ἀντώνιον, αὐτός τε διεφθάρη καὶ τὸ στρατόπεδον.

XXIII. Οὐ μὴν ἀλλ᾽ ἦσαν οἱ τὸν Κικέρωνα παρεσκευασμένοι καὶ λέγειν ἐπὶ τούτοις καὶ ποιεῖν κακῶς· ἔχοντες ἡγεμόνας τῶν εἰς τὸ μέλλον ἀρχόντων, Καίσαρα μὲν στρατηγοῦντα, Μέτελλον δὲ καὶ Βηστίαν [1] δημαρχοῦντας. οἳ τὴν ἀρχὴν παραλαβόντες, ἔτι τοῦ Κικέρωνος ἡμέρας ὀλίγας ἄρχοντος, οὐκ εἴων δημηγορεῖν αὐτὸν, ἀλλ᾽ ὑπὲρ τῶν ἐμβόλων βάθρα θέντες, οὐ παρίεσαν, οὐδ᾽ ἐπέτρεπον λέγειν· ἀλλ᾽ ἐκέλευον, εἰ βούλοιτο, μόνον περὶ τῆς ἀρχῆς ἀπομόσασθαι [2], καταβαίνειν. κἀκεῖνος ἐπὶ τούτοις, ὡς ὀμόσων, προῆλθε· καὶ γενομένης αὐτῷ σιωπῆς, ὤμνυεν οὐ τὸν πάτριον, ἀλλ᾽ ἴδιόν τινα καὶ καινὸν ὅρκον, ἦ μὴν σεσωκέναι τὴν πατρίδα, καὶ διατετηρηκέναι τὴν ἡγεμονίαν. ἐπώμνυε δὲ τὸν ὅρκον αὐτῷ σύμπας ὁ δῆμος. ἐφ᾽ οἷς ἔτι μᾶλλον ὅ τε Καῖσαρ, οἵ τε δήμαρχοι [3] χαλεπαίνοντες, ἄλλας τε τῷ Κικέρωνι ταραχὰς ἐμηχανῶντο· καὶ νόμος [4] ὑπ᾽ αὐτῶν εἰσήγετο, καλεῖν Πομπήϊον μετὰ τῆς στρατιᾶς, ὡς δὴ καταλύσοντα τὴν Κικέρωνος δυναστείαν. ἀλλ᾽ ἦν ὄφελος μέγα τῷ Κικέρωνι καὶ πάσῃ τῇ πόλει δημαρχῶν

1 B. ad haec: „Solus Metellus nominari debuit, ut recte notat *Corradus Quaest.* p. 157. Caesar enim, Praetor designatus, nondum ante Cal. Jan. magistratum inierat; Bestia vero Cicerone Consule Tribunus (vid. Sall. B. C. c. 44.) Nonis Decembribus magistratu decesserat, in cujus locum Metellus successerat, adeoque in eum unice hujus contumeliae culpam confert Cicero *Ep. Fam.* 5. 2. & in *Pison.* 3."

2 R. mavult ἀπομοσάμενον. Br. susp. μόνον — ἀπομόσασθαι καὶ καταβαίνειν.

3 Ita cum V. & Anon. dederunt R. & B. Idem legi voluit Xyl. Vulgo χιλίαρχοι.

4 De rogatione hujus Plebiscitti conf. Cat. min. h. vol. p. 71.

χῶν τότε Κάτων, καὶ τοῖς ἐκείνων [1] πολιτεύμασιν ἀπ' ἴσης μὲν ἐξουσίας, μείζονος [2] δὲ δόξης ἀντιτασσόμενος. τά τε γὰρ ἄλλα [3] ῥαδίως ἔλυσε, καὶ τὴν Κικέρωνος ὑπατείαν οὕτως ἦρε τῷ λόγῳ μεγάλην, δημηγορήσας, ὥστε τιμὰς αὐτῷ τῶν πώποτε μεγίστας ψηφίσασθαι, καὶ προσαγορεῦσαι πατέρα πατρίδος. πρώτῳ [4] γὰρ ἐκείνῳ δοκεῖ τοῦτο καθυπάρξαι, Κάτωνος αὐτὸν οὕτως ἐν τῷ δήμῳ προσαγορεύσαντος.

XXIV. Καὶ μέγιστον μὲν ἴσχυσεν ἐν τῇ πόλει τότε, πολλοῖς δ' ἐπίφθονον ἑαυτὸν ἐποίησεν, ἀπ' οὐδενὸς ἔργου πονηροῦ, τῷ δ' ἐπαινεῖν ἀεὶ καὶ μεγαλύνειν αὐτὸς ἑαυτὸν ὑπὸ πολλῶν δυσχεραινόμενος. οὔτε γὰρ βουλὴν, οὔτε δῆμον, οὔτε δικαστήριον ἦν συνελθεῖν, ἐν ᾧ μὴ Κατιλίναν ἔδει θρυλλούμενον ἀκοῦσαι καὶ Λέντλον. ἀλλὰ καὶ τὰ βιβλία τελευτῶν κατέπλησε καὶ τὰ συγγράμματα τῶν ἐγκωμίων [5]. καὶ τὸν λόγον, ἥδιστον ὄντα, καὶ χάριν

1 Sic legi voluit Duf. deditque R. pro vulg. ἐκείνου, quo stante *Caesarem* intelligi necesse est, de quo tamen non dici potest ἀπ' ἴσης ἐξουσίας. Sic & Xyl. cum aliis interpp. vertit. B. e contrario haec opponit: „De Caesare loquitur Plutarchus, tanquam capite & firmamento totius causae, quam tribunis administris propugnabat. Adeoque potestas ad Caesaris consilium accommodata jure dicitur Caesaris potestas. Aut si maxime de Praetoria potestate accipiendum sit, quam in sua persona gerebat, erat quidem Tribunorum ordo dignitasque inferior, sed in rebus gerendis pondus & momentum longe graviora."

2 V. ὁ μείζονος.

3 R. monente, sententia postulat τά τε γὰρ αὐτῶν μηχανήματα ἅμα ῥαδίως ἔλυσε (pro κατέλυσε).

4 Sic & Appianus. Falli autem utrumque, Ruald. monet e gemino Ciceronis testimonio in orat. contra L. Pisonem, & pro P. Sextio. Conciliat tamen idem hos auctores hoc modo, ut intelligi velit, tum primum hunc honorem populi consensu Ciceroni fuisse delatum, prius a Q. Catulo in frequentissimo Senatu nomine Patris patriae decorato.

5 R. mavult τῶν αὐτοῦ ἐγκωμίων, ἃ καὶ — ut ἐποίησε, quod loqui-

χάριν ἔχοντα πλείστην, ἐπαχθῆ καὶ φορτικὸν ἐποίησε τοῖς ἀκροωμένοις, ὥσπερ τινὸς ἀεὶ κηρὸς αὐτῷ τῆς ἀηδίας ταύτης προσέσης [1]. ὅμως δὲ, καίπερ ὅτως ἀκράτῳ φιλοτιμίᾳ συνὼν, ἀπήλλακτο τοῦ φθονεῖν ἑτέροις, ἀφθονώτατος [2] ὢν ἐν τῷ τοὺς πρὸ αὐτοῦ καὶ τοὺς καθ' αὐτὸν ἄνδρας ἐγκωμιάζειν, ὡς ἐκ τῶν συγγραμμάτων λαβεῖν ἐστι. πολλὰ δ' αὐτοῦ καὶ ἀπομνημονεύουσιν· οἷον περὶ Ἀριστοτέλους, ὅτι χρυσίου ποταμὸς εἴη ῥέοντος· καὶ περὶ τῶν Πλάτωνος διαλόγων, ὡς [3] τοῦ Διὸς, εἰ λόγῳ χρῆσθαι πέφυκεν, οὕτω διαλεγομένου. τὸν δὲ Θεόφραστον εἰώθει τρυφὴν ἰδίαν ἀποκαλεῖν. περὶ δὲ τῶν Δημοσθένους λόγων ἐρωτηθεὶς, τίνα δοκοίη κάλλιστον εἶναι, τὸν μήκιστον [4] εἶπε. καίτοι τινὲς τῶν προσποιουμένων δημοσθενίζειν, ἐπιφύονται φωνῇ τοῦ Κικέρωνος, ἣν πρός τινα [5] τῶν ἑταίρων ἔθηκεν ἐν ἐπιστολῇ [6] γράψας, ἐνιαχοῦ τῶν λόγων ἀπονυστάζειν τὸν Δημοσθένην· τῶν δὲ μεγάλων καὶ θαυμαστῶν ἐπαίνων, οἷς πολλαχοῦ χρῆται περὶ τοῦ ἀνδρὸς, καὶ ὅτι, περὶ οὓς μάλιστα τῶν ἰδίων ἐσπούδασε λόγων, τοὺς κατ' Ἀντωνίου Φιλιππικοὺς ἐπέγραψεν, ἀμνημονοῦσι. τῶν δὲ κατ' αὐτὸν ἐνδόξων ἀπὸ λόγου καὶ σοφίας οὐκ ἔστιν οὐδεὶς, ὃν οὐκ ἐποίησεν ἐνδοξό-

ſequitur non ad Ciceronem, ſed ad ἐγκώμια, *ipſius de ſemet praedicationes*, redeat.

1 R. mavult προσιζούσης, *inſidente.*

2 *vacantiſſimus invidia;* rariſſimo vocabuli hujus hoc uſu, cujus vix ullum aliud usquam videtur exemplum proſtare. R.

3 R. ſuſp. ὡς ἂν τοῦ Δ. — ut oratio fiat potentialis, quae nunc eſt affirmans vel indicativa.

4 Sic ex Br. conjectura dedit R. pro vulg. μέγιστον. At B. monente, μέγα βιβλίον vulgo dicitur, quomodo etiam latine locuti ſunt — *M. Tullium, cujus oratio optima eſſe fertur, quae* MAXIMA. — Plin. Epiſt. 1, 20.

5 Sic R. de ſuo dedit pro vulg. τινας.

6 Dictum in epiſtolis Ciceronis, quae quidem ad nos pervenerunt, non extat. Olim exſtitiſſe teſtatur etiam Quintil. Inſt. Or. l. 10. c. 1. & l. 12. c. 1. B.

δοξότερον, ἢ λέγων, ἢ γράφων εὐμενῶς περὶ ἑκάςυ. Κρατίππῳ δὲ, τῷ Περιπατητικῷ, διεπράξατο μὲν Ῥωμαίῳ γενέϑαι παρὰ Καίσαρος ἄρχοντος ἤδη· διεπράξατο δὲ [1] τὴν ἐξ Ἀρείυ πάγυ βυλὴν ψηφίσαϑαι καὶ δεηϑῆναι μένειν αὐτὸν ἐν Ἀϑήναις, καὶ διαλέγεϑαι τοῖς νέοις, ὡς κοσμῦντα τὴν πόλιν. ἐπιςολαὶ δὲ παρὰ τῦ Κικέρωνος εἰσὶ πρὸς Ἡρώδην [2], ἕτεραι δὲ πρὸς τὸν υἱὸν, ἐγκελευομένυ συμφιλοσοφεῖν Κρατίππῳ. Γοργίαν [3] δὲ, τὸν ῥήτορα, αἰτιώμενος εἰς ἡδονὰς καὶ πότυς προάγειν τὸ μειράκιον, ἀπελαύνει τῆς συνυσίας αὐτῦ. καὶ σχεδὸν αὕτη τε τῶν Ἑλληνικῶν μία, καὶ δευτέρα πρὸς Πέλοπα, τὸν Βυζάντιον, ἐν ὀργῇ τινι γέγραπται, τὸν μὲν Γοργίαν αὐτῦ προσηκόντως ἐπισκώπτοντος, εἴπερ ἦν φαῦλος καὶ ἀκόλαςος, ἧπερ ἐδόκει· πρὸς δὲ τὸν Πέλοπα μικρολογυμένυ καὶ μεμψιμοιρῦντος, ὥσπερ ἀμελήσαντα τιμάς τινας αὐτῷ [4] καὶ ψηφίσματα παρὰ Βυζαντίων γενέϑαι.

XXV. Ταῦτά τε δὴ φιλότιμα [5], καὶ τὸ πολλάκις ἐπαιρόμενον [6] τῦ λόγυ τῇ δεινότητι τὸ πρέπον προϊε-



1 R. susp. διεπράξατο δὲ καὶ τὴν —

2 Suspectum est hoc nomen Mos. Dus. quod adolescentis potius alicujus Romani esse debuit, cui, uti & filio auctor esset. Sed, B. judice, lectio vulgata non est sollicitanda. Ciceronis filii, jam tum Athenis agentis, tutela Herodi commissa erat; eatenus saltem, ut de pueri profectu in litteris patrem certiorem faceret. Vide Epist. ad Att. 14. 16. & 15. 16.

3 Cf. Ciceronis pueri de hac re ad Tironem Epistolam ad Famil. 16, 21.

4 Frst. & Br. αὐτῦ. B. & R. restituerunt priorem lectionem.

5 i. e. παραπτώματα αὐτῦ ὑπὸ φιλοτιμίας ἀκαίρυ καὶ ὑπερβαλλύσης. R.

6 Sic cum Junt. & B. 3. probante Dus. dederunt B. & R. pro vulg. ἐπαιρομένυ. Haec lectio orta est ex Steph. ejusque ansam haud dubie dedit Aldina, in qua vitiose extat ἐπαιρόμενον. Crat. ἐπαιρόμενον.

προΐεσθαι. Μȣνατίῳ [1] μὲν γάρ ποτε συνηγορήσας, ὡς ἀποφυγὼν τὴν δίκην ἐκεῖνος ἐδίωκεν ἑταῖρον αὐτȣ̃, Σαβῖνον, ὅτω λέγεται προσπεσεῖν [2] ὑπ' ὀργῆς ὁ Κικέρων, ὥς' εἰπεῖν. Σὺ γὰρ ἐκείνην, ὦ Μȣνάτιε, τὴν δίκην ἀπέφυγες διὰ σαυτὸν, ȣ̓κ ἐμȣ̃ πολὺ σκότος ἐν φωτὶ τῷ δικαςηρίῳ περιχέαντος; Μάρκον δὲ Κράσσον ἐγκωμιάζων ἀπὸ τȣ̃ βήματος εὐημέρησε, καὶ μεθ' ἡμέρας αὖθις ὀλίγας λοιδορῶν αὐτὸν, ὡς ἐκεῖνος εἶπεν. Οὐ γὰρ ἐνταῦθα πρώην αὐτὸς ἡμᾶς ἐπήνεις; Ναὶ, φησὶ, μελέτης ἕνεκεν γυμνάζων τὸν λόγον εἰς φαύλην ὑπόθεσιν. Εἰπόντος δέ ποτε τȣ̃ Κράσσȣ, μηδένα Κράσσων [3] ἐν Ῥώμῃ βεβιωκέναι μακρότερον ἑξηκονταετίας, εἶθ' ὕςερον ἀρνȣμένȣ, καὶ λέγοντος. Τί δ' ἂν ἐγὼ παθὼν τȣ̃τ' εἶπον; Ἤδεις, ἔφη, Ῥωμαίȣς ἡδέως ἀκȣσομένȣς, καὶ διὰ τȣ̃τ' ἐδημαγώγεις. Ἀρέσκεσθαι δὲ τȣ̃ Κράσσȣ τοῖς Στωϊκοῖς φήσαντος, ὅτι πλȣ́σιον εἶναι τὸν ἀγαθὸν ἀποφαίνȣσιν. Ὅρα, μὴ μᾶλλον, εἶπεν, ὅτι πάντα τȣ̃ σοφȣ̃ λέγȣσιν εἶναι. διεβάλλετο δ' εἰς φιλαργυρίαν ὁ Κράσσος. ἐπεὶ δὲ τȣ̃ Κράσσȣ τῶν παίδων ὁ ἕτερος, Ἀξίῳ τινὶ [4] δοκῶν ὅμοιος εἶναι, καὶ διὰ τȣ̃το τῇ μητρὶ προστριβόμενος αἰσχρὰν ἐπὶ τῷ Ἀξίῳ διαβολὴν [5], εὐδοκίμησε λόγον ἐν βȣλῇ διελθὼν, ἐρωτηθεὶς

1 Impressi hic & infra Νȣματίῳ. At V. Anon. B. 3. Μȣνατίῳ, quod Br. reponendum censuit, & dederunt R. & B. Intelligi videtur T. Munatius Plancus Bursa, ille Milonis & Ciceronis inimicus, Tribunus pl. A. V. C. 701. quem constat olim a Cicerone defensum, eodem accusante de vi damnatum esse. Ep. fam. 7, 2. Philipp. 6, 4.

2 Sic R. de suo dedit pro vulg. προσπεσεῖν — *prolapsus esse, ultra modum revectus esse ab iracundiae intemperantia.*

3 V. e Junt. Κράσσον.

4 Mentio Actii foeneratoris est apud Ciceronem, ep. 10, l. 1. ad Atticum. Xyl.

5 Junt. sola μεταβολήν.

τηθεὶς ὁ Κικέρων, τί φαίνεται αὐτῷ· Ἄξιος, εἶπε, Κράσσȣ [1].

XXVI. Μέλλων δὲ Κράσσος εἰς Συρίαν ἀπαίρειν, ἐβȣ́λετο τὸν Κικέρωνα μᾶλλον αὐτῷ φίλον, ἢ ἐχθρὸν, εἶναι· καὶ φιλοφρονȣ́μενος ἔφη, βȣ́λεσθαι δειπνῆσαι παρ᾽ αὐτῷ. κἀκεῖνος ὑπεδέξατο προθύμως [2]. ὀλίγαις δ᾽ ὕστερον ἡμέραις περὶ Βατινίȣ φίλων τινῶν ἐντυγχανόντων, ὡς μνωμένȣ διαλύσεις καὶ φιλίαν· ἦν γὰρ ἐχθρός· Οὐ δήπȣ καὶ Βατίνιος, εἶπε [3], δειπνῆσαι παρ᾽ ἐμοὶ βȣ́λεται; πρὸς μὲν ȣ̓͂ν Κράσσον τοιȣ̃τος. αὐτὸν δὲ τὸν Βατίνιον, ἔχοντα χοιράδας ἐν τῷ τραχήλῳ, καὶ λέγοντα δίκην, οἰδȣ̃ντα ῥήτορα προσεῖπεν. ἀκȣ́σας δ᾽, ὅτι τέθνηκεν, εἶτα μετὰ μικρὸν πυθόμενος σαφῶς, ὅτι ζῇ· Κακὸς [4] τοίνυν ἀπόλοιτο κακῶς ὁ ψευσάμενος. ἐπεὶ δὲ Καίσαρι ψηφισαμένῳ τὴν ἐν Καμπανίᾳ χώραν κατανεμηθῆναι τοῖς ϛρατιώταις, πολλοὶ μὲν ἐδυσχέραινον ἐν τῇ βȣλῇ· Λεύκιος δὲ Γέλλιος [5], ὁμȣ̃ τι πρεσβύτατος ὢν, εἶπεν, ὡς ȣ̓ γενήσεται τȣ̃το, ζῶντος αὐτȣ̃· Περιμείνωμεν, εἶπεν ὁ Κικέρων· μακρὰν γὰρ ȣ̓κ αἰτεῖται Γέλλιος ὑπέρθεσιν. ἦν δέ τις Ὀκταȣ́ϊος [6], αἰτίαν ἔχων ἐκ Λιβύης γεγονέναι· πρὸς τȣ̃τον ἔν τινι δίκῃ λέγοντα τȣ̃ Κικέρωνος μὴ ἐξακȣ́ειν· Καὶ μὴν ȣ̓κ ἔχεις, εἶπε,



1 R. ad haec: „Poſſit hoc diſterium ſatis facetum videri, ſi ſenatores in curia Romana Graece locuti eſſent.“

2 Cf. ad Famil. 1, 9.

3 B. 3. Junt. Ald. Crat. εἰπεῖν. Rell. εἶπεν, R. excepta.

4 V. κακῶς, quod Duſ. probavit. R. cum B. tuetur vulgatam, & per κακὸς intelligi vult Vatinium ipſum, & poſt ſequens κακῶς addi καὶ, ut ſit ſenſus: malus male pereat, unaque cum eo, qui mentitus fuit. Cf. Quintil. Inſt. Or. l. 6. c. 3.

5 L. Gellius Publicola Conſul erat cum Cn. Corn. Lentulo A. V. C. 682. & paulo poſt cum eodem Cenſor. Vir optimarum in rep. partium, qui multa de Cicerone & Catone honorifice dixit. Obiit admodum ſenex. B.

6 Eſt ſubinde in epiſtolis Ciceronis Cn. Oſtavii mentio, hominis, ut videtur, familia obſcura. ad Fam. 7, 9. & 16.

πε, τὸ ὖς ἀτρύπητον [1]. Μετέλλȣ δὲ Νέπωτος εἰπόντος, ὅτι πλείονας καταμαρτυρῶν ἀνῄρηκεν, ἢ συνηγορῶν σέσωκεν· Ὁμολογῶ γὰρ, ἔφη, πίστεως ἐν ἐμοὶ πλέον, ἢ δεινότητος, εἶναι. Νεανίσκȣ δέ τινος, αἰτίαν ἔχοντος ἐν πλακȣ̃ντι φάρμακον τῷ πατρὶ δεδωκέναι, θρασυνομένȣ, καὶ λέγοντος, ὅτι λοιδορήσει τὸν Κικέρωνα· Τȣ̃το, ἔφη, παρὰ σȣ̃ βȣ́λομαι μᾶλλον, ἢ πλακȣ̃ντα. Ποπλίȣ δὲ Σηστίȣ [2] συνήγορον μὲν αὐτὸν ἔν τινι δίκῃ παραλαβόντος μεθ' ἑτέρων, αὐτȣ̃ δὲ πάντα βȣλομένȣ λέγειν, καὶ μηδενὶ παριέντος [3] εἰπεῖν, ὡς δῆλος ἦν ἀφιέμενος.[4] ὑπὸ τῶν δικαστῶν, ἤδη τῆς ψήφȣ φερομένης· Χρῶ σήμερον, ἔφη, τῷ καιρῷ, Σήστιε· μέλλεις γὰρ αὔριον ἰδιώτης εἶναι. Πόπλιον δὲ Κώνσταν [5], νομικὸν εἶναι βȣλόμενον, ὄντα δ' ἀμαθῆ καὶ ἀφυῆ, πρός τινα δίκην ἐκάλεσε μάρτυρα. τȣ̃ δὲ μηδὲν

1 Gentibus exteris quam plurimis usitatum erat, aures, alteram duasve, pertundere, Graecis Romanisque non item. Unde, *aures habet perforatas*, idem in utraque lingua sonat, ac si dicas, *Peregrinus est*, vel, *barbarus*. Dacer. notat, Ciceronem his verbis innuere voluisse, servum fuisse Octavium, adjicitque, hunc morem aures perforandi ad indicium servitutis a Judaeis ad Ethnicos manasse. B. Hanc Dacerii explicationem amplectitur Schirach cum Kindio.

2 B. intelligendum monet P. Sextium, qui & saepe Sestius scribitur, acerrimum in tribunatu Ciceronis revocandi auctorem, & postea ab eodem defensum. Erat, ut videtur, homo cum indole morosa, tum ingenio satis insulso. Cf. Ep. ad Q. fratr. 2, 3, 4. & ad Att. 7, 17.

3 Sic B. & R. cum V. dederunt, Dus. probante, pro vulg. παριόντος.

4 Dus. hanc vocem mendosam suspicatur. Si enim *absolvatur*, quo modo *privatus* erit cras? — R. judice sententia postulat, ἀφεθησόμενος, *cum satis constaret, futurum, ut Sestius absolveretur.* Attamen universi hujus dicterii facetiam se non intelligere idem fatetur.

5 Varie scribitur hujus nomen. Anon. habet Κότταν, quod Br. vult reponi. V. Ποπίλλιον δὲ Γάϊον. Alibi vocat Plut. *Popilium Castum*, ubi tamen nonnulli legunt Κάσσιον.

δὲν εἰδέναι Φάσκονλος· Ἴσως, ἔφη, δοκεῖς περὶ τῶν νομικῶν ἐρωτᾶσθαι. Μετέλλε δὲ Νέπωτος ἐν διαφορᾷ τινι πολλάκις λέγονλος· Τίς σε πατήρ ἐςιν, ὦ Κικέρων [1]; Σοὶ ταύτην τὴν ἀπόκρισιν, ἔφη, ἡ μήτηρ χαλεπωτέραν ἐποίησεν. ἐδόκει δ' ἀκόλαςος ἡ μήτηρ εἶναι τε Νέπωτος, αὐτὸς δέ τις εὐμετάβολος. καί ποτε τὴν δημαρχίαν ἀπολιπὼν ἄφνω [2], πρὸς Πομπήϊον ἐξέπλευσεν εἰς Συρίαν, εἶτ' ἐκεῖθεν ἐπανῆλθεν ἀλογώτερον. θάψας δὲ Φίλαγρον [3], τὸν καθηγητὴν, ἐπιμελέςερον, ἐπέςησεν αὐτε τῷ τάφῳ κόρακα λίθινον. καὶ ὁ Κικέρων· Τετ', ἔφη, σοφώτερον [4] ἐποίησας. πέτεσθαι γάρ σε μᾶλλον, ἢ λέγειν, ἐδίδαξεν. ἐπεὶ δὲ Μάρκος Ἄππιος ἔν τινι δίκῃ προοιμιαζόμενος εἶπε, φίλον αὐτε δεδεῆσθαι παρασχεῖν ἐπιμέλειαν καὶ λογιότητα καὶ πίςιν. Εἶθ' ἕτως, ἔφη, σιδηρες γέγονας ἄνθρωπος, ὥςε μηδὲν ἐκ τοσέτων, ὧν ἠτήσατο ὁ φίλος [5], παρασχεῖν;

XXVII. Τὸ μὲν ἒν πρὸς ἐχθρὲς, ἢ ἀντιδίκες, σκώμμασι χρῆσθαι πικροτέροις, δοκεῖ ῥητορικὸν εἶναι· τὸ δ' οἷς ἔτυχε προσκρέειν ἕνεκα τε γελοίε, πολὺ συνῆγε μῖσος αὐτῷ. γράψω δὲ καὶ τέτων ὀλίγα. Μάρκον Ἀκυίνιον [6], ἔχονλα δύο γαμβρὲς φυγάδας, Ἄδραςον [7] ἐκάλει. Λευκίε δὲ Κότλα τιμητικὴν ἔχονλος ἀρχὴν, φιλοι-



1 Sic e Br. conjectura R. dedit pro vulg. ὁ Κικέρων.

2 Sic Xyl. legi voluit, & est in Steph. pro ἄφρω, quod in edd. prioribus extat. Res ipsa facta est Silano & Murena Coss. proximo post Ciceronem anno. Historia est apud Dionem perscripta l. 37.

3 Hunc Plut. in Apophth. Διόδοτον vocat. Duf.

4 R. susp. σοφώτατον.

5 Articulum praeposuit R. de suo.

6 *M. Aquilium* omnes Interpp. faciunt, quod Br. probat.

7 Notum est, hunc duobus exulibus, Tydeo & Polynici, duas filias nuptum dedisse. Alter, qui sequitur, versiculus Sophoclis notus est de Laio. Xyl. & Dac.

φιλοινοτάτȣ δ' ὄντος, ὑπατείαν μετιὼν ὁ Κικέρων ἐδίψησε, καὶ τῶν φίλων κύκλῳ περιστάντων, ὡς ἔπινεν· Ὀρθῶς φοβεῖσθε, εἶπε, μή μοι γένοιτο χαλεπὸς ὁ τιμητὴς, ὅτι ὕδωρ πίνω. Βωκωνίῳ δ' ἀπαντήσας, ἄγοντι μεθ' ἑαυτȣ̃ τρεῖς ἀμορφοτάτας θυγατέρας, ἀνεφθέγξατο·

Φοίβȣ ποτ' ȣ̓κ ἐῶντος ἔσπειρεν τέκνα.

Μάρκȣ δὲ Γελλίȣ δοκȣ̃ντος ȣ̓κ ἐξ ἐλευθέρων γεγονέναι, λαμπρᾷ δὲ τῇ φωνῇ καὶ μεγάλῃ γράμματα πρὸς τὴν σύγκλητον ἐξαναγνόντος. Μὴ θαυμάζητε, εἶπε, καὶ αὐτὸς εἷς ἐστι τῶν ἀναπεφωνηκότων [1]. ἐπεὶ δὲ Φαῦστος [2] ὁ Σύλλα, τȣ̃ μοναρχήσαντος ἐν Ῥώμῃ, καὶ πολλȣ̀ς ἐπὶ θανάτῳ προγράψαντος, ἐν δανείοις γενόμενος, καὶ πολλὰ τῆς ȣ̓σίας διασπαθήσας, ἁμαρτίαν [3] προέγραψε, ταύ-

1 Xyl. se non hoc assequi fatetur, nisi *proclamator* fortassis vel *praeco* dicatur esse, aut ab eo genitus: nam illa officia sordida ac parum digna ingenuis habebantur. Dus. susp. τῶν πεφωνασκηκότων.

2 Sylla Dictator non modo se felicem appellari voluit, sed cum uxor ejus Metella gemellos peperisset, marem Faustum, foeminam Faustam vocavit. Huic L. Corn. Fausto Pompejus filiam suam despondit. In bello civili Pompeji partes secutus Cn. Dom. Calvinum Caesaris studiosum Macedonia expulit. Victis bello Africano Juba & Scipione, Faustus in Mauritania captus est, & Caesaris jussu interfectus. Plut. in Syll. Dio l. 41. Hirt. de bello Afr. 95. De Fausti aere alieno mentio est in Ep. ad Att. 9, 11. B.

3 Xyl. vertit *bona quaedam*, & veretur, ne aliud quid legendum sit. Cruf. Dacer. & Br. praeeuntibus Budaeo, V. & Anon. scribi volunt ἀπάρτιον, quod & extat in Apophth. & B. dedit. R. ἁμαρτίαν pravum quidem esse videt, sed de voce ἀπάρτιον fatetur se nescire, quid sit & unde ducendum. Quaerit, num ita dicta sit universae substantiae proscriptio, quod bona sua proscribens, h. e. hastae offerens, profiteretur, illa bona, quae adhuc sua fuissent, a jam nunc, ἀπ' ἄρτι, pro alienis habere ipsum, ab aliisque haberi velle. Aliquid lucis huic voci afferri posse ex Hesychio mihi videtur. Habet is ἀπάρτια,

ταύτην ἔφη μᾶλλον αὐτῷ τὴν προγραφὴν ἀρέσκειν, ἢ τὴν πατρῴαν.

XXVIII. Ἐκ τούτων ἐγίνετο πολλοῖς ἐπαχθής· καὶ οἱ μετὰ Κλωδίου συνέστησαν ἐπ' αὐτὸν, ἀρχὴν τοιαύτην λαβόντες. ἦν Κλώδιος ἀνὴρ εὐγενὴς, τῇ μὲν ἡλικίᾳ νέος, τῷ δὲ φρονήματι θρασὺς καὶ αὐθάδης. οὗτος ἐρῶν Πομπηΐας, τῆς Καίσαρος γυναικὸς, εἰς τὴν οἰκίαν αὐτοῦ παρεισῆλθε κρύφα, λαβὼν ἐσθῆτα καὶ σκευὴν ψαλτρίας, ἔθυον γὰρ αἱ γυναῖκες τὴν ἀπόῤῥητον ἐκείνην καὶ ἀθέατον ἀνδράσι θυσίαν ἐν τῇ τοῦ Καίσαρος οἰκίᾳ· καὶ παρῆν ἀνὴρ οὐδείς. ἀλλὰ μειράκιον ὢν ἔτι καὶ μήπω γενειῶν ὁ Κλώδιος, ἤλπιζε λήσεσθαι διαδὺς πρὸς τὴν Πομπηΐαν μετὰ τῶν γυναικῶν. ὡς δ' εἰσῆλθε νυκτὸς εἰς οἰκίαν μεγάλην, ἠπορεῖτο τῶν διόδων· καὶ πλανώμενον αὐτὸν ἰδοῦσα Αὐρηλίας [1] θεραπαινὶς, τῆς Καίσαρος μητρὸς, ᾔτησεν ὄνομα. φθέγξασθαι δ' ἀναγκασθέντος ἐκείνου, καὶ φήσαντος, ἀκόλουθον Πομπηΐας ζητεῖν, Αὔραν [2] τοὔνομα, συνεῖσα τὴν φωνὴν οὐ γυναικείαν οὖσαν, ἀνέκραγε καὶ συνεκάλει τὰς γυναῖκας. αἱ δ' ἀποκλείσασαι τὰς θύρας, καὶ πάντα διερευνώμεναι, λαμβάνουσι τὸν Κλώδιον εἰς οἴκημα παιδίσκης, ᾗ συνεισῆλθε [3], καταπεφευγότα. τοῦ δὲ πράγματος περιβοήτου γενομένου, Καῖ-



τια. τὰ ἔπιπλα, & ad vocem ἀπαρτύειν. ἀποκηρύσσειν extat haec adnotatio: „ad hanc significationem τοῦ ἀπαρτύειν pertinere videtur, quod Pollux scribit, ἀπαρτίαν suo tempore vocatam fuisse πρᾶσιν τῶν ἐπίπλων, τὴν ὑπὸ κήρυκι γιγνομένην, i. e. venditionem suppellectilis, quae sub praecone fieret."

1 Sic Br. dari voluit, uti in Caes. legitur, & sic a Xyl. & Dac. in versione factum est, dederuntque R. & B. Idem quoque legitur in Ald. Junt. Crat. Vulgo secundum Steph. Αὐρηλία.

2 Br. scribi vult Ἄβραν, ut est in Caes.

3 Sic est in Caes. Xylandroque & Corrado legi placuit pro συνῆλθε, quod vulgo hoc loco legitur.

σάρ τε τὴν Πομπηΐαν ἀφῆκε, καὶ δίκην ἀσεβείας ἀπεγράψατο [1] τῷ Κλωδίῳ.

XXIX. Κικέρων δ' ἦν μὲν αὐτοῦ φίλος, καὶ τῶν περὶ Κατιλίναν πραττομένων, ἐχρῆτο προθυμοτάτῳ συνεργῷ καὶ φύλακι τοῦ σώματος [2]. ἰσχυριζομένου [3] δὲ πρὸς τὸ ἔγκλημα, τῷ μὴ [4] γεγονέναι κατ' ἐκεῖνον ἐν Ῥώμῃ τὸν χρόνον, ἀλλ' ἐν τοῖς πορρωτάτω χωρίοις διατρίβειν [5], κατεμαρτύρησεν [6], ὡς ἀφιγμένου πρὸς αὐτὸν οἴκαδε, καὶ διειλεγμένου περί τινων. ὅπερ ἦν ἀληθές. οὐ μὴν ἐδόκει μαρτυρεῖν ὁ Κικέρων διὰ τὴν ἀλήθειαν, ἀλλὰ πρὸς τὴν αὐτοῦ γυναῖκα, Τερεντίαν, ἀπολογούμενος. ἦν γὰρ αὐτῇ πρὸς τὸν Κλώδιον ἀπέχθεια, διὰ τὴν ἀδελφὴν τὴν ἐκείνου, Κλωδίαν, ὡς τῷ Κικέρωνι βουλομένην γαμηθῆναι, καὶ τοῦτο διὰ Τύλλου [7] τινὸς πράττουσαν, ὃς ἑταῖρος μὲν ἦν καὶ συνήθης ἐν τοῖς μάλιστα Κικέρωνος, ἀεὶ δὲ [8] πρὸς τὴν Κλωδίαν φοιτῶν, καὶ θεραπεύων ἐγγὺς

1 Xyl. Duſ. B. hunc locum corruptum eſſe monent, cum Caeſar Clodium non accuſarit, qui ne teſtimonium quidem dicere voluerit. Xyl. nomen accuſatoris deſiderat, quod ad ἀπεγρα. pertineat. Duſ. reponi mavult ἀπεγράψαντο, cum Senatus, re audita, ad Pontifices retulerit, a quibus, nefas eſſe perpetratum, pronuntiatum fuerit. B. εἷς τῶν δημάρχων, voces, quae in Caeſare leguntur, deeſſe cenſet. R. quaerit, num ἀφῆκεν (Caeſar) ἣ (*quae* Pompeja, a Caeſare repudiata) καὶ δίκην — *Clodium actione violatarum religionum perſecuta eſt*? Anon. pro δίκην habet δίκη.

2 Hoc an verum ſit, B. judice, merito dubitat *Corradus*, cum Cicero ſaepe Clodio Catilinae familiaritatem objiciat.

3 Clodio nempe.

4 μὴ R. de ſuo dedit pro vulg. μήτε.

5 R. aut διατρίψαι legi vult, aut πεποιῆσθαι διατριβήν.

6 Cicero contra Clodium teſtatus eſt.

7 Xyl. mavult Τουλλίου, ut libertus aliquis Ciceronis intelligatur.

8 Br. annotat, Juntinam haec ita diſtinguere, ut non de Tullo, ſed ipſo Cicerone intelligantur, dubius, annon rectius. Eandem diſtinctionem (punctum nempe poſt Κικέρωνος) habent Ald. & Crat.

ἐγγὺς οἰκȣ̃σαν, ὑποψίαν τῇ Τερεντίᾳ παρέχε. χαλεπὴ δὲ τὸν τρόπον ȣ̃σα, καὶ τȣ̃ Κικέρωνος ἄρχȣσα, παρώξυνε τῷ Κλωδίῳ συνεπιθέσθαι καὶ καταμαρτυρῆσαι. κατεμαρτύρȣν δὲ τȣ̃ Κλωδίȣ πολλοὶ [1] τῶν καλῶν κἀγαθῶν ἀνδρῶν ἐπιορκίας, ῥᾳδιȣργίας, ὄχλων δεκασμȣ̀ς, φθορὰς γυναικῶν. Λεύκȣλλος δὲ καὶ θεραπαινίδας παρεῖχεν, ὡς συγγένοιτο τῇ νεωτάτῃ τῶν ἀδελφῶν ὁ Κλώδιος, ὅτε Λευκȣ́λλῳ συνῴκει. πολλὴ δ᾽ ἦν δόξα καὶ ταῖς ἄλλαις δυσὶν ἀδελφαῖς πλησιάζειν τὸν Κλώδιον, ὧν Τερεντίαν [2] μὲν Μάρκιος Ῥῆξ, Κλωδίαν δὲ Μέτελλος ὁ Κέλερ εἶχεν· ἣν Κȣαδραντίαν [3] ἐκάλȣν, ὅτι τῶν ἐραστῶν τις αὐτῇ χαλκȣ̃ς ἐμβαλὼν εἰς βαλάντιον, ὡς ἀργύριον εἰσέπεμψε. τὸ δὲ λεπτότατον τȣ̃ χαλκȣ̃ νομίσματος κȣαδράντην ἐκάλȣν. ἐπὶ ταύτῃ μάλιστα τῶν ἀδελφῶν κακῶς ἤκȣσεν ὁ Κλώδιος. ȣ̓ μὴν ἀλλὰ τότε τȣ̃ δήμȣ πρὸς τȣ̀ς καταμαρτυρȣ̃ντας αὐτȣ̃ καὶ συνεστῶτας ἀντιταττομένȣ, φοβηθέντες οἱ δικασταὶ φυλακὴν περιεστήσαντο, καὶ τὰς δέλτȣς οἱ πλεῖστοι συγκεχυμένας τοῖς γράμμασιν [4] ἤνεγκαν. ὅμως δὲ πλείονες ἔδοξαν οἱ ἀπολύον-

1 R. susp. καὶ ἄλλοι πολλοί.

2 Anon. & V. Τερτίαν, quod Duf. genuinum putat.

3 Cum Romana vox sit, Romano etiam more scribendum censet Duf. Κȣαδραντιαρίαν. R. quaerit, num Quadrantilla fuerit per opprobrium appellata? — Aliam, B. notante, hujus nominis rationem commenti sunt nonnulli e loco Ciceronis pro *M. Cael.* 26. — *nisi forte mulier potens quadrantaria illa permutatione familiaris facta erat balneatori:* quem B. ita interpretatur — *nisi balneator, utpote homo quadrantibus abundans, is esset, qui quadrantes Clodiae pro argento dedit.* Notum est, pretium lavandi fuisse quadrantem.

4 In Caes. T. IV. p. 370. Plut. habet τοῖς πράγμασι τὰς γνώμας, quam genuinam esse scripturam & hic reponendam, magnopere probare nititur Dacerius, ut Plut. id Graece exprimat, quod Romani vocarunt *ferre sententiam per saturam*, i. e. cum de multis simul rebus sententiam ferrent. Aliter B. sentit, & locum Plutarchi alterum potius ex hoc, quam hunc ex alte-

λύοντες γενέσθαι· καί τις ἐλέχθη καὶ δεκασμὸς [1] διελθεῖν. ὅθεν ὁ μὲν Κάτλος ἀπαντήσας τοῖς κριταῖς· Ὑμεῖς, εἶπεν, ὡς ἀληθῶς ὑπὲρ ἀσφαλείας ᾐτήσασθε τὴν φυλακὴν, φοβούμενοι, μή τις ὑμῶν ἀφέληται τὸ ἀργύριον. Κικέρων δὲ, τοῦ Κλωδίου πρὸς αὐτὸν λέγοντος, ὅτι μαρτυρῶν οὐκ ἔσχε πίστιν παρὰ τοῖς δικασταῖς· Ἀλλ' ἐμοὶ μὲν, εἶπεν, οἱ πέντε καὶ εἴκοσι τῶν δικαστῶν ἐπίστευσαν· τοσοῦτοι γάρ σου κατεψηφίσαντο. σοὶ δ' οἱ [2] τριάκοντα οὐκ ἐπίστευσαν. οὐ γὰρ πρότερον ἀπέλυσαν, ἢ ἔλαβον τὸ ἀργύριον. ὁ μέντοι Καῖσαρ οὐ κατεμαρτύρησε κληθεὶς ἐπὶ τὸν Κλώδιον, οὐδ' ἔφη μοιχείαν κατεγνωκέναι τῆς γυναικός· ἀφεικέναι δ' αὐτὴν, ὅτι τὸν Καίσαρος ἔδει γάμον οὐ πράξεως αἰσχρᾶς μόνον, ἀλλὰ καὶ φήμης, καθαρὸν εἶναι.

XXX. Διαφυγὼν δὲ τὸν κίνδυνον ὁ Κλώδιος, καὶ δήμαρχος αἱρεθεὶς, εὐθὺς εἴχετο τοῦ Κικέρωνος, πάνθ' ὁμοῦ πράγματα καὶ πάντας ἀνθρώπους συνάγων καὶ ταράττων ἐπ' αὐτόν. τόν τε γὰρ δῆμον ᾠκειώσατο νόμοις φιλανθρώποις [3], καὶ τῶν ὑπάτων ἑκατέρῳ μεγάλας ἐπαρχίας ἐψηφίσατο, Πείσωνι μὲν Μακεδονίαν, Γαβινίῳ [4] δὲ Συρίαν. πολλοὺς δὲ τῶν ἀπόρων συνέτασσεν εἰς τὸ πολί-

altero emendandum cenſet. Pro *συγκεχυμένας* B. 3. *συγκεχυμένου*.

1 Vid. ad Attic. 1, 16.

2 Articulum *οἱ* de ſuo addidit R.

3 Dicit Aſconius L. Piſone & A. Gabinio Coſs. P. Clodium Trib. pl. quatuor leges perniciofas tuliſſe: annonariam, quae fuit ſumme popularis, ut frumentum populo, quod antea ſemis aeris ac trientibus in ſingulos modios dabatur, gratis daretur; alteram, ne quis per eos dies, quibus cum populo agi liceret, de coelo ſervaret; tertiam de collegiis reſtituendis, novisque inſtituendis; quartam, ne quem cenſores in ſenatu legendo praeterirent, neve qua ignominia afficerent, niſi qui apud eos accuſatus, & utriusque cenſoris ſententia damnatus eſſet. In L. Piſon. 6 B.

4 B. 3. Junt. *Σαβίνῳ*.

πολίτευμα [1], καὶ δούλους ὡπλισμένους περὶ αὐτὸν εἶχε. τῶν δὲ πλεῖστον δυναμένων τότε τριῶν ἀνδρῶν, Κράσσου μὲν ἄντικρυς Κικέρωνι πολεμοῦντος, Πομπηΐου δὲ θρυπτομένου πρὸς ἀμφοτέρους, Καίσαρος δὲ μέλλοντος εἰς Γαλατίαν ἐξιέναι μετὰ στρατεύματος, ὑπὸ [2] τοῦτον ὑποδὺς ὁ Κικέρων, καίπερ οὐκ ὄντα φίλον, ἀλλ' ὕποπτον ἐκ τῶν περὶ Κατιλίναν, ἠξίωσε [3] πρεσβευτὴν αὐτῷ συστρατεύειν. δεξαμένου δὲ τοῦ Καίσαρος, ὁ Κλώδιος ὁρῶν ἐκφεύγοντα τὴν δημαρχίαν αὐτοῦ τὸν Κικέρωνα, προσεποιεῖτο συμβατικῶς ἔχειν, καὶ τῇ Τερεντίᾳ τὴν πλείστην ἀνατιθεὶς αἰτίαν, ἐκείνου δὲ μεμνημένος ἐπιεικῶς ἀεὶ, καὶ λόγους εὐγνώμονας ἐνδιδοὺς, ὡς ἂν τις οὐ μισῶν, οὐδὲ χαλεπαίνων, ἀλλ' ἐγκαλῶν μέτρια καὶ φιλικὰ, παντάπασιν αὐτοῦ τὸν φόβον ἀνῆκεν· ὥστ' ἀπειπεῖν τῷ Καίσαρι τὴν πρεσβείαν, καὶ πάλιν ἔχεσθαι τῆς πολιτείας. ἐφ' ᾧ παροξυνθεὶς ὁ Καῖσαρ, τόν τε Κλώδιον ἐπέῤῥωσε, καὶ Πομπήϊον ἀπέστρεψε κομιδῇ τοῦ Κικέρωνος. αὐτός τε κατεμαρτύρησεν ἐν τῷ δήμῳ, μὴ δοκεῖν αὐτῷ καλῶς, μηδὲ νομίμως, ἄνδρας ἀκρίτους ἀνῃρῆσθαι τοὺς περὶ Λέντλον καὶ Κέθηγον [4]. αὕτη γὰρ ἦν ἡ κατηγορία [5], καὶ ἐπὶ

1 Xyl. monente, significat h. l. πολίτευμα, uti frequenter alibi, conatum aliquem certae rei in civitate conficiendae.

2 Duf. delendum censet ὑπό.

3 Aliter, Dacerio notante, rem profert Cic. ad Att. 2, 18. Quae in ista amicitiae simulatione revera Caesaris & Pompeji mens fuerit in Ciceronem, vide apud Dion. l. 38. Post πρεσβ. R. deesse censet ἐᾷν, *ut se*, Ciceronem, *sineret secum*, cum Caesare, *in castra ire cum bonore legati.*

4 Clodius extra moenia concionem coëgit, ut Caesar, qui jam cum imperio proconsulari urbe excesserat, ei posset interesse. Ibi prius interrogatis Pisone & Gabinio Coss. quid de lege Clodii sentirent (*qui civem Romanum indemnatum peremisset, ei ut aqua & igni interdiceretur.* — Paterc. l. 2.) Caesar quoque sententiam rogatus, dixit, sibi quidem, quod contra leges in Lentulum &c. adnimadversum esset, valde displicere; sed neque aequum videri, de rebus tam diu praeteritis nunc demum legem proferre. Dio. l. 38. Middlet. V. 1.

5 R. dedit cum articulo, B. 3. secutus. Vulgo abest.

ἐπὶ τȣ̃θ᾽ ὁ Κικέρων ἐκαλεῖτο [1]. κινδυνεύων ȣ̓̃ν καὶ διακόμενος [2], ἐσθῆτα μετήλλαξε, καὶ κόμης ἀνάπλεως περιϊὼν ἱκέτευε τὸν δῆμον. πανταχȣ̃ δ᾽ ὁ Κλώδιος ἀπήντα κατὰ τȣ̀ς ςενωπȣ̀ς, ἀνθρώπȣς ἔχων ὑβριςὰς περὶ αὐτὸν καὶ θρασεῖς, οἳ πολλὰ μὲν χλευάζοντες ἀκολάςως εἰς τὴν μεταβολὴν καὶ τὸ σχῆμα τȣ̃ Κικέρωνος, πολλαχȣ̃ δὲ πηλῷ καὶ λίθοις βάλλοντες, ἐνίςαντο ταῖς ἱκεσίαις.

XXXI. Οὐ μὴν ἀλλὰ τῷ Κικέρωνι πρῶτον μὲν ὀλίγȣ δεῖν σύμπαν τὸ τῶν ἱππικῶν πλῆθος συμμετέβαλε τὴν ἐσθῆτα, καὶ δισμυρίων ȣ̓κ ἐλάττȣς νέων παρηκολȣ́θȣν κομῶντες καὶ συνικετεύοντες. ἔπειτα, τῆς βȣλῆς συνελθȣ́σης, ὅπως ψηφίσαιτο [3], τὸν δῆμον, ὡς ἐπὶ πένθεσι, μεταβαλεῖν τὰ ἱμάτια, καὶ τῶν ὑπάτων ἐναντιωθέντων, Κλωδίȣ δὲ σιδηροφορȣμένȣ περὶ τὸ βȣλευτήριον, ἐξέδραμον ȣ̓κ ὀλίγοι τῶν βȣλευτικῶν καταῤῥηγνύμενοι τȣ̀ς χιτῶνας, καὶ βοῶντες. ὡς δ᾽ ȣ̓̃ν [4] ȣ̓́τ᾽ οἶκτος, ȣ̓́τε τις αἰδὼς πρὸς τὴν ὄψιν ἦν, ἀλλ᾽ ἔδει τὸν Κικέρωνα φεύγειν, ἢ σιδήρῳ [5] κριθῆναι πρὸς τὸν Κλώδιον, ἐδεῖτο Πομπηΐȣ βοηθεῖν, ἐπίτηδες ἐκποδὼν γεγονότος,

1 Anon. ἐπὶ τȣ́τῳ ὁ Κ. ἐγκαλεῖτο, quod Duſ. probat. B. recepit ἐγκαλεῖτο. R. bene monet, dicendum fuiſſe ἐνεκαλεῖτο. Idem tuetur vulgatam ἐπὶ τȣ̃το, ſubaudiendo τὸ ἔγκλημα, πρὸς τὸ ἀπολογεῖσθαι ὑπὲρ αὐτȣ̃. Dictio ἐγκαλεῖσθαι ἐπί τινι veretur, ne minus Graeca ſit; & duae poſtremae dictiones, altera αὕτη ἦν ἡ κατηγορία; altera ἐπὶ τȣ́τῳ ἐνεκαλεῖτο — prorſus idem ſignificantes, eo judice, haud ferendam tautologiam efficerent.

2 Vox juridicialis, *reum* denotans. Unde putant nonnulli diem fuiſſe dictum Ciceroni, tametſi ad accuſationem & judicium res non pervenerit; eumque in judicio non conſtitiſſe. B.

3 B. 3. ψηφίσαιντο.

4 ȣ̓̃ν R. revocavit ex Junt. Ald. & Crat. & ἦν, quod vulgo ejus loco ſecundum Steph. legitur, in iisdem autem edd. abeſt, addit poſt ὄψιν.

5 B. 3. ἢ βίᾳ καὶ σιδήρῳ.

νότος, καὶ διατρίβοντος ἐν ἀγροῖς περὶ τὸν Ἀλβανόν [1]. καὶ πρῶτον μὲν ἔπεμψε Πείσωνα [2], τὸν γαμβρὸν, δεησόμενον, ἔπειτα καὶ αὐτὸς ἀνέβη. πυθόμενος δ' ὁ Πομπήϊος, οὐχ ὑπέμεινεν εἰς ὄψιν ἐλθεῖν· δεινὴ γὰρ αὐτὸν αἰδὼς εἶχε πρὸς τὸν ἄνδρα, μεγάλους ἠγωνισμένον ἀγῶνας ὑπὲρ αὐτοῦ, καὶ πολλὰ πρὸς χάριν ἐκείνῳ πεπολιτευμένον· ἀλλὰ Καίσαρι γαμβρὸς ὢν δεομένῳ προὔδωκε τὰς παλαιὰς χάριτας, καὶ κατὰ θύρας ἄλλας ὑπεξελθὼν, ἀπεδίδρασκε τὴν ἔντευξιν [3]. οὕτω δὴ προδοθεὶς ὁ Κικέρων ὑπ' αὐτοῦ, καὶ γεγονὼς ἔρημος, ἐπὶ τοὺς ὑπάτους κατέφυγε. καὶ Γαβίνιος μὲν ἦν χαλεπὸς ἀεί· Πείσων δὲ διελέχθη πρᾳότερον, αὐτὸν [4] παραινῶν ἐκστῆναι, καὶ ὑποχωρῆσαι τῇ τοῦ Κλωδίου ῥύμῃ, καὶ τὴν μεταβολὴν τῶν καιρῶν ἐνεγκεῖν, καὶ γενέσθαι πάλιν σωτῆρα τῆς πατρίδος ἐν στάσεσι καὶ κακοῖς δι' ἐκεῖνον οὔσης. τοιαύτης τυχὼν ἀποκρίσεως ὁ Κικέρων, ἐβουλεύετο σὺν τοῖς φίλοις· καὶ Λεύκουλλος μὲν ἐκέλευε μένειν, ὡς περιεσόμενον, ἄλλοι [5] δὲ φεύγειν, ὡς ταχὺ τοῦ δήμου ποθήσοντος αὐτὸν, ὅταν ἐμπλησθῇ τῆς Κλωδίου μανίας καὶ ἀπονοίας [6]. ταῦτ' ἔδοξε Κικέρωνι·

1 R. monente, bene si hoc habet in genere masculino, subauditur λόφον. Alias solent talia in neutro efferri, ut τὸ ὄρος subaudiatur.

2 Piso Frugi designatur, penes quem Ciceronis filia tum erat in matrimonio, primus trium illorum virorum, quibus Ciceronis filia nupsit, alii ex alio.

3 Idem innuere videtur Dio l. 38. Sed constat ex Ep. ad Attic. 10, 4. Ciceronem, antequam iret in exilium, Pompejum convenisse, & hoc ab eo accepisse responsum, nihil se contra Caesaris voluntatem facere posse. Est tamen locus, *in L. Pison.* 31, qui Plutarcho favet — *omnesque, qui me, qui illius gloriam, qui remp. salvam esse cupiebant, sermone atque aditu prohiberentur.* B.

4 *ultro, sponte sua, non coactum.*

5 Cato & Hortensius. ad Att. 3, 15. ad Q. Fr. 1, 3.

6 Junt. Ald. Crat. ἀπωλείας.

ρων· καὶ τὸ μὲν ἄγαλμα τῆς Ἀθηνᾶς, ὃ πολὺν χρόνον ἔχων ἐπὶ τῆς οἰκίας ἱδρυμένον, ἐτίμα διαφερόντως, εἰς Καπετώλιον κομίσας ἀνέθηκεν, ἐπιγράψας· Ἀθηνᾷ, Ῥώμης φύλακι [1]. πομποὺς δὲ παρὰ τῶν φίλων λαβὼν, περὶ μέσας νύκτας ὑπεξῆλθε τῆς πόλεως, καὶ πεζῇ διὰ Λευκανίας ἐπορεύετο, λαβέσθαι Σικελίας βουλόμενος.

XXXII. Ὡς δ' ἦν φανερὸς ἤδη πεφευγὼς, ἐπήγαγεν αὐτῷ φυγῆς ψῆφον ὁ Κλώδιος, καὶ διάγραμμα προὔθηκεν, εἴργειν πυρὸς καὶ ὕδατος τὸν ἄνδρα, καὶ μὴ παρέχειν στέγην ἐντὸς μιλίων πεντακοσίων [2] Ἰταλίας. τοῖς μὲν οὖν ἄλλοις ἐλάχιστος ἦν τοῦ διαγράμματος τούτου λόγος, αἰδουμένοις τὸν Κικέρωνα· καὶ πᾶσαν ἐνδεικνύμενοι φιλοφροσύνην, παρέπεμπον αὐτόν. ἐν δ' Ἱππωνίῳ [3], πόλει τῆς Λευκανίας, ἣν Οὐιβῶνα νῦν καλοῦσιν, Οὐίβιος, Σικελὸς ἀνὴρ, ἄλλα τε πολλὰ τῆς Κικέρωνος φιλίας ἀπολελαυκὼς, καὶ γεγονὼς, ὑπατεύοντος αὐτοῦ, τεκτόνων ὕπαρχος [4], οἰκίᾳ μὲν οὐκ ἐδέξατο, τὸ χωρίον δὲ καταγράψειν [5] ἐπηγγέλλετο, καὶ Γάϊος Οὐεργῖνος,

1 In hoc titulo Cicero clam femetipfum indicabat, velut adumbrans, & per aenigma loquens, fe ipsum Urbis effe cuftodem atque tutorem. Nam in illa Minerva Cicero fuum ipfius genium dedicabat. R.

2 Imo 400. Vide *Ep. ad Att.* 3, 4. B.

3 Sic R. & B. dederunt, uti extat in Junt. Ald. & Crat. &, Duf. monente, Strabo & Scylax fcribunt. Vulgo fecundum Steph. Ἱππωνίᾳ.

4 V. ἔπαρχος, uti & infra cap. 38. bis extat. Duf. idem probat, & B. recepit.

5 R. quaerit, num ἐπιτρέψαι, locum tamen hunc non fatis fe intelligere fatetur. Duf. fufp. κατατάξαι. Bocchius vertit: *illico eum in crimen delaturum afferuit;* Corradus: *ex ipfa regione fe milites in eum confcripturum denunciavit.* Xyl. autem locum fic intelligi vult, Vibium domo eum recipere non aufum ob metum edicti Clodiani: partem tamen aliquam in agro fuo vel praedio, defignaffe, ubi lateret.

γῖνος [1], ὁ τῆς Σικελίας στρατηγὸς, ἐν τοῖς μάλιστα Κικέρωνι κεχρημένος, ἔγραψεν ἀπέχεσθαι τῆς Σικελίας. ἐφ' οἷς ἀθυμήσας, ὥρμησεν ἐπὶ Βρεντέσιον, κἀκεῖθεν εἰς Δυῤῥάχιον ἀνέμῳ φορῷ περαιέμενος, ἀντιπνεύσαντος πελαγίου, μεθ' ἡμέραν ἐπαλινδρόμησεν, εἶτ' αὖθις ἀνήχθη. λέγεται δὲ καὶ, καταπλεύσαντος εἰς Δυῤῥάχιον αὐτοῦ, καὶ μέλλοντος ἀποβαίνειν, σεισμόν τε τῆς γῆς καὶ σπασμὸν ἅμα γενέσθαι τῆς θαλάττης. ἀφ' ὧν συνέβαλλον οἱ μαντικοὶ, μὴ μόνιμον αὐτῷ τὴν φυγὴν ἔσεσθαι· μεταβολῆς γὰρ εἶναι ταῦτα σημεῖα. πολλῶν δὲ φοιτώντων ἀνδρῶν ὑπ' εὐνοίας, καὶ τῶν Ἑλληνίδων πολεων διαμιλλωμένων πρὸς αὐτὸν [2], ὅμως ἀθυμῶν καὶ περίλυπος, διῆγε τὰ πολλὰ, πρὸς [3] τὴν Ἰταλίαν, ὥσπερ οἱ δυσέρωτες, ἀφορῶν, καὶ τῷ φρονήματι μικρὸς ἄγαν καὶ ταπεινὸς ὑπὸ τῆς συμφορᾶς γεγονὼς καὶ συνεσταλμένος, ὡς οὐκ ἄν τις ἄνδρα παιδείᾳ συμβεβιωκότα τοσαύτῃ προσεδόκησε. καίτοι πολλάκις αὐτὸς ἠξίου τοὺς φίλους μὴ ῥήτορα καλεῖν αὐτὸν [4], ἀλλὰ φιλόσοφον. φιλοσοφίαν γὰρ, ὡς ἔργον, ᾑρῆσθαι, ῥητορικῇ δ' ὀργάνῳ χρῆσθαι πολιτευόμενος ἐπὶ τὰς χρείας. ἀλλ' ἡ δόξα δεινὴ [5] τὸν λόγον, ὥσπερ βαφὴν, ἀποκλύσαι τῆς ψυχῆς, καὶ τὰ τῶν πολλῶν ἀνομόρξασθαι [6] πάθη δι' ὁμιλίαν

1 Anon. Οὐεργίλιος; & sic, Xyl. monente, Cic. in Or. pro Plancio, 20. Idem B. recepit.

2 B. hunc locum inquinatissime se habere persuasum habet, & addidit ex V. ταῖς πρεσβείαις, & ex B. 3. πρὸς αὐταῖς pro πρὸς αὐτὸν, vertitque: & Graeciae civitates certatim ei mitterent officiosas legationes.

3 Sic R. e conjectura H. Steph. dedit pro vulg. περί.

4 Has duas voces καλεῖν αὐτὸν, Steph. ex vet. cod. se dedisse ait pro καλεῖσθαι, quod in Junt. Ald. & Crat. legitur.

5 Pertinet δεινὴ ad ἀποκλ. & ἀνομόρξ. constructione, Graecis non modo, sed & Poëtis latinis satis usitata. Xyl.

6 *affricare*; hic significat *sese affigere*, & velut *inprimere*. R. Cum Anon. & B. 3. mavult Dus. ἐνομόρξασθαι. quod & B. recepit.

λίαν καὶ συνήθειαν τοῖς πολιτευομένοις, ἂν μή τις εὖ μάλα φυλαττόμενος, ἕτω συμφέρηται τοῖς ἐκτὸς, ὡς τῶν πραγμάτων αὐτῶν, ἢ τῶν ἐπὶ τοῖς πράγμασι παθῶν συμμεθέξων.

XXXIII. Ὁ δὲ Κλώδιος ἐξελάσας τὸν Κικέρωνα, κατέπρησε μὲν αὐτῦ τὰς ἐπαύλεις, κατέπρησε δὲ τὴν οἰκίαν, καὶ τῷ τόπῳ ναὸν Ἐλευθερίας ἐπῳκοδόμησε. τὴν δ' ἄλλην ὀσίαν ἐπώλησε [1], καὶ διεκήρυττε καθ' ἡμέραν, μηδὲν ὠνυμένυ μηδενός. ἐκ δὲ [2] τύτυ φοβερὸς ὢν τοῖς ἀριστοκρατικοῖς, καὶ τὸν δῆμον ἀνειμένον εἰς ὕβριν πολλὴν καὶ θρασύτητα συνεφελκόμενος, ἐπεχείρει τῷ Πομπηΐῳ, τῶν διῳκημένων ὑπ' αὐτῦ κατὰ τὴν στρατείαν ἔνια σπαράττων. ἐφ' οἷς ὁ Πομπήϊος ἀδοξῶν, ἐκάκιζεν αὐτὸς αὑτὸν, προέμενος τὸν Κικέρωνα· καὶ πάλιν ἐκ μεταβολῆς παντοῖος ἐγίνετο, πράττων κάθοδον αὐτῷ μετὰ τῶν φίλων. ἐνισταμένυ δὲ τῦ Κλωδίυ, συνέδοξε τῇ βυλῇ μηδὲν διὰ μέσυ πρᾶγμα κυρῦν, μηδὲ πράττειν δημόσιον, εἰ μὴ Κικέρωνι κάθοδος γένοιτο. τῶν δὲ περὶ Λέντλον ὑπατευόντων, καὶ τῆς στάσεως πρόσω βαδιζύσης, ὥστε τρωθῆναι μὲν ἐν [3] ἀγορᾷ δημάρχυς, Κόϊντον δὲ, τὸν Κικέρωνος ἀδελφὸν, ἐν τοῖς νεκροῖς, ὡς τεθνηκότα κείμενον, διαλαθεῖν, ὅ τε δῆμος ἤρχετο τρέπεσθαι τῇ γνώμῃ· καὶ τῶν δημάρχων Ἄννιος Μίλων πρῶτος ἐτόλμησε τὸν Κλώδιον εἰς δίκην ἀπάγειν βιαίων [4], καὶ Πομπηΐῳ πολλοὶ συνῆλθον ἔκ τε τῦ δήμυ καὶ τῶν πέριξ πόλεων. μεθ' ὧν προελθὼν [5], καὶ τὸν Κλώδιον ἀναστήσας ἐκ τῆς ἀγορᾶς, ἐπὶ τὴν ψῆφον ἐκάλει τὺς πολίτας.

1 V. ἐπώλει.

2 abest δὲ a Junt. Ald. Crat.

3 abest ἐν a Junt.

4 Sic ex conjectura Mosis Duſ. dedit R. pro vulg. βιαίως. Sic in *Supplem. Liv.* CIV, 47. legitur: *postremo lege Plotia de vi reum fecit.* Vulgatae inhaeret Schirach cum Kindio: *mit Gewalt vor Gericht zu führen.*

5 Junt. Ald. Crat. προσελθὼν.

τας. καὶ λέγεται μηδέποτε μηδὲν ἐκ τοσαύτης ὁμοφροσύνης ἐπιψηφίσασθαι τὸν δῆμον. ἡ δὲ σύγκλητος ἁμιλλωμένη πρὸς τὸν δῆμον, ἔγραψεν ἐπαινεθῆναι τὰς πόλεις, ὅσαι τὸν Κικέρωνα παρὰ τὴν φυγὴν ἐθεράπευσαν, καὶ τὴν οἰκίαν αὐτῷ καὶ τὰς ἐπαύλεις, ἃς Κλώδιος διεφθάρκει, τέλεσι δημοσίοις ἀνασαθῆναι. κατῄει δὲ Κικέρων ἑκκαιδεκάτῳ μηνὶ μετὰ τὴν φυγήν· καὶ τοσαύτη τὰς πόλεις χαρὰ, καὶ σπουδὴ τοὺς ἀνθρώπους περὶ τὴν ἀπάντησιν εἶχεν, ὥσε τὸ ῥηθὲν [1] ὑπὸ Κικέρωνος ὕσερον ἐνδεέσερον εἶναι τῆς ἀληθείας. ἔφη γὰρ, αὐτὸν ἐπὶ τῶν ὤμων τὴν Ἰταλίαν φέρουσαν, εἰς τὴν Ῥώμην εἰσενεγκεῖν. ὅπου καὶ Κράσσος, ἐχθρὸς ὢν αὐτῷ πρὸ τῆς φυγῆς, τότε προθύμως ἀπήντα καὶ διελύετο, τῷ παιδὶ Ποπλίῳ χαριζόμενος, ὡς ἔλεγε, ζηλωτῇ τοῦ Κικέρωνος ὄντι.

XXXIV. Χρόνον δ' οὐ πολὺν διαλιπὼν, καὶ παραφυλάξας ἀποδημοῦντα τὸν Κλώδιον, ἐπῆλθε μετὰ πολλῶν τῷ Καπετωλίῳ, καὶ τὰς δημαρχικὰς δέλτους, ἐν αἷς ἀναγραφαὶ τῶν διῳκημένων ἦσαν, ἀπέσπασε καὶ διέφθειρεν. ἐγκαλοῦντος δὲ περὶ τούτου τοῦ Κλωδίου, τοῦ δὲ Κικέρωνος λέγοντος, ὡς παρανόμως ἐκ πατρικίων εἰς δημαρχίαν παρέλθοι [2], καὶ κύριον οὐδὲν εἶναι τῶν πεπραγμένων υπ' αὐτοῦ· Κάτων ἠγανάκτησε καὶ ἀντεῖπε, τὸν μὲν Κλώδιον οὐκ ἐπαινῶν, ἀλλὰ καὶ δυσχεραίνων τοῖς πεπολιτευμένοις· δεινὸν δὲ καὶ βίαιον ἀποφαίνων, ἀναίρεσιν ψηφίσασθαι δογμάτων καὶ πράξεων τοσούτων τὴν σύγκλητον· ἐν αἷς εἶναι καὶ τὴν ἑαυτοῦ τῶν περὶ Κύπρον καὶ Βυζάντιον διοίκησιν [3]. ἐκ τούτου προσέκρουσεν ὁ Κικέρων αὐτῷ πρόσκρουσιν εἰς οὐδὲν ἐμφανὲς προελθοῦσαν, ἀλλ' ὥσε τῇ φιλοφροσύνῃ χρῆσθαι πρὸς ἀλλήλους ἀμαυρότερον.



1 in Orat. post red. in Sen. 15.
2 B. 3. περιέλθοι.
3 Cf. Plut. in Cat. min. 34. & 40.

XXXV. Μετὰ ταῦτα Κλώδιον μὲν ἀποκτίννυσι Μίλων· καὶ διωκόμενος φόνε, Κικέρωνα παρεστήσατο συνήγορον. ἡ δὲ βελή, φοβηθεῖσα, μή, κινδυνεύοντος ἀνδρὸς ἐνδόξε καὶ θυμοειδȣ̃ς, τȣ̃ Μίλωνος, ταραχὴ γένηται περὶ τὴν πόλιν, ἐπέτρεψε Πομπηΐῳ ταύτην τε καὶ τὰς ἄλλας κρίσεις βραβεῦσαι, παρέχοντα τῇ πόλει καὶ τοῖς δικαστηρίοις ἀσφάλειαν. ἐκείνε δὲ τὴν ἀγορὰν ἔτι νυκτὸς ἀπὸ τῶν ἄκρων περιλαβόντος τοῖς στρατιώταις, ὁ Μίλων τὸν Κικέρωνα δείσας, μὴ πρὸς τὴν ὄψιν ἀηθείᾳ διαταραχθεὶς, χεῖρον διαγωνίσηται, συνέπεισεν ἐν φορείῳ κομισθέντα πρὸς τὴν ἀγορὰν ἡσυχάζειν, ἄχρις ȣ̃ συνίασιν οἱ κριταὶ, καὶ πληρȣ̃ται τὸ δικαστήριον. ὁ δ' ȣ̓ μόνον ἦν, ὡς ἔοικεν, ἐν ὅπλοις ἀθαρσής, ἀλλὰ καὶ τῷ λέγειν μετὰ φόβε προσῄει, καὶ μόλις ἐπαύσατο παλλόμενος καὶ τρέμων ἐπὶ πολλῶν ἀγώνων, ἀκμὴν τȣ̃ λόγε καὶ στάσιν [1] λαβόντος. Λικιννίῳ δὲ Μερήνᾳ [2], φεύγοντι δίκην ὑπὸ Κάτωνος, βοηθῶν, καὶ φιλοτιμȣ́μενος Ὁρτήσιον ὑπερβάλλειν εὐημερήσαντα, μέρος ȣ̓δὲν ἀνεπαύσατο τῆς νυκτὸς, ὡς ὑπὸ τȣ̃ σφόδρα φροντίσαι καὶ διαγρυπνῆσαι κακωθεὶς, ἐνδεέστερος αὐτȣ̃ [3] φανῆναι. τό-
τε

1 Pro καὶ στάσιν B. 3. & V. e Junt. κατάστασιν. Varie haec dictio sumitur. B. vertit: *quamvis eloquentia ejus jam ex multis caussis summum incrementum & maturitatem esset consecuta*, adnotans, sententiam aliter accipi posse: *in multis vero caussis vix finem faciebat tremendi & vacillandi jam ad ipsum quaestionis cardinem oratione provectus.* Prius amplectitur Kind: *und zitterte und bebte noch zu der Zeit, da seine Beredsamkeit schon ihre Reife und Vollkommenheit erreicht hatte.* Ad posterius autem accedit Schirach: *dass er bey verschiedenen derselben kaum alsdenn erst zu zittern und zu zagen aufhörte, wenn er eine Weile fortgeredt hatte, und in die Hitze des Sprechens gekommen war.* Rem ipsam, quam enarrat Plutarchus, fatetur Cicero *pro Cluent.* 18. in Q. Caecil. 13. Cf. Dion. l. 46.

2 Est L. Licinius Murena, pro quo extat hodie Ciceronis oratio.

3 Refertur αὐτȣ̃ ad Hortensium. B. cum Xyl. mavult αὑτȣ̃ legi,

τε δ' ἦν ἐπὶ τὴν τῆ Μίλωνος δίκην ἐκ τῆ Φορεία προελθὼν, καὶ θεασάμενος τὸν Πομπήϊον ἄνω καθεζόμενον, ὥσπερ ἐν στρατοπέδῳ, καὶ κύκλῳ τὰ ὅπλα περιλάμποντα τὴν ἀγορὰν, συνεχύθη, καὶ μόλις ἐνήρξατο τῆ λόγε, κραδαινόμενος τὸ σῶμα, καὶ τὴν φωνὴν ἐνισχόμενος, αὐτῆ τῆ Μίλωνος εὐθαρσῶς καὶ ἀνδρείως παριςαμένε τῷ ἀγῶνι, καὶ κόμην θρέψαι καὶ μεταβαλεῖν [1] ἐσθῆτα φαιὰν ἀπαξιώσαντος· ὅπερ ἐχ ἥκιςα δοκεῖ συναίτιον αὐτῷ γενέσθαι τῆς καταδίκης [2]. ἀλλ' ὅ γε Κικέρων διὰ ταῦτα φιλέταιρος μᾶλλον, ἢ δειλὸς, ἔδοξεν εἶναι.

XXXVI. Γίνεται δὲ καὶ τῶν ἱερέων, ἐς [3] Αὐγέρας Ῥωμαῖοι καλῆσιν, ἀντὶ Κράσσε, τῆ νέε, μετὰ τὴν ἐν Πάρθοις αὐτῆ τελευτήν. εἶτα κλήρῳ λαχὼν τῶν ἐπαρχιῶν Κιλικίαν, καὶ ςρατὸν ὁπλιτῶν μυρίων καὶ δισχιλίων, ἱππέων δέ δισχιλίων ἑξακοσίων, ἔπλευσε. προσταχθὲν αὐτῷ, καὶ τὰ περὶ Καππαδοκίαν Ἀριοβαρζάνῃ, τῷ βασιλεῖ, φίλα καὶ πειθήνια παρασχεῖν. ταῦτά τε δὴ παρεςήσατο καὶ συνήρμοσεν ἀμέμπτως ἄτερ πολέμε· τὲς τε Κίλικας ὁρῶν πρὸς τὸ Παρθικὸν πταῖσμα Ῥωμαίων καὶ τὸν ἐν Συρίᾳ νεωτερισμὸν ἐπηρμένες, κατεπράϋνεν ἡμέρως ἄρχων. καὶ δῶρα μὲν ἐδὲ τῶν βασιλέων διδόντων ἔλαβε, δείπνων δὲ τὲς ἐπαρχικὲς ἀνῆκεν. αὐτὸς [4] δὲ καθ' ἡμέραν τὲς χαρίεντας ἀνελάμβανεν



legi, ut ad ipsum redeat, & sit sensus: *infra se, minor sua fama & existimatione.* Corradus legisse videtur μὴ φανῆναι, sed non cohaerente sensu.

1 B. judice, insolens loquendi genus, ut etiam vitium subesse suspicari liceat, quod tolli posse censet scribendo μεταλαβεῖν.

2 Timuisse videtur Cicero, quo evaderet illa Milonis invidiosa fortitudo. Cf. *pro Milon.* c. 34. Praecipue illam vestis sordidae recusationem haud dubium est, quin inimici Milonis interpretati fuerint in contumeliam judicum factam.

3 Br. εἰς deesse ante ἐς susp.

4 Sola Br. αὐτὲς. R. restituit priorem lectionem.

βανεν ἑςιάσεσιν, οὐ πολυτελῶς, ἀλλ' ἐλευθερίως. ἡ δ' οἰκία θυρωρὸν οὐκ εἶχεν, οὐδ' αὐτὸς ὤφθη κατακείμενος ὑπ' οὐδενὸς, ἀλλ' ἕωθεν ἑςὼς, ἢ περιπατῶν πρὸ τοῦ δωματίου, τοὺς ἀσπαζομένους ἐδεξιοῦτο [1]. λέγεται δὲ μήτε ῥάβδοις αἰκίσασθαί τινα, μήτ' ἐσθῆτα περισχίσαι, μήτε βλασφημίαν ὑπ' ὀργῆς, ἢ ζημίας προσβαλεῖν μεθ' ὕβρεων. ἀνευρὼν δὲ πολλὰ τῶν δημοσίων κεκλεμμένα, τάς τε πόλεις εὐπόρους ἐποίησε, καὶ τοὺς ἀποτίνοντας, οὐδὲν τοῦτο πλεῖον παθόντας, ἐπιτίμους διεφύλαξεν [2]. ἥψατο δὲ καὶ πολέμου [3], λῃςὰς τῶν περὶ τὸν Ἀμανὸν [4] οἰκούντων τρεψάμενος· ἐφ' ᾧ καὶ αὐτοκράτωρ ὑπὸ τῶν ςρατιωτῶν ἀνηγορεύθη. Καιλίου [5] δὲ, τοῦ ῥήτορος, δεομένου παρδάλεις αὐτῷ πρός τινα θέαν εἰς Ῥώμην ἐκ Κιλικίας ἀποςεῖλαι, καλλωπιζόμενος ἐπὶ τοῖς πεπραγμένοις, γράφει πρὸς αὐτὸν, οὐκ εἶναι παρδάλεις ἐν Κιλικίᾳ· πεφευγέναι γὰρ εἰς Καρίαν, ἀγανακτούσας, ὅτι μόναι πολεμοῦνται, πάντων εἰρήνην ἐχόντων. πλέων [6] δ' ἀπὸ τῆς ἐπαρχίας, τοῦτο μὲν Ῥόδῳ προσέσχε, τοῦτο δ' Ἀθήναις ἐνδιέτριψεν ἄσμενος, πόθῳ τῶν πάλαι διατριβῶν. ἀνδράσι δὲ τοῖς πρώτοις ἀπὸ παιδείας συγγενόμε-

1 Cf. ad Att. 6, 2.

2 Cf. ad Attic. 6, 2. In dictione Plutarchi mihi quaedam deesse videntur. Saltem minus perspicua sunt τάς τε πόλ. εὐπ. ἐπ. nisi cum Xyl. & aliis Interpp. inferas, quae deficiunt: Cum invenisset multos peculatus per provinciam factos, *cum iis quae surrepta erant restituendis* urbes ditavit, tum iis, qui ablata redderent —

3 B. ad haec: „Res Ciceronis in bello gestas fere sicco pede transit Plutarchus pro more suo, quae tamen accuratius explicari, Ciceronis gloriae interfuit. Earum pleniorem historiam vide *Ep. ad Att.* 5, 20. *ad Fam.* 15, 4."

4 B. 3. & Junt. Ἀλβανὸν.

5 Ita cum Anon. dederunt R. & B. pro vulg. Κεκιλίου. Κοιλίου scribendum esse Br. & Duf. censuerunt. Extat epistola ad M. Caelium, de qua Plutarchus, *ad Fam.* 2, 11. Ald. & Crat. dant Κελίου.

6 R. susp. ἐπανάπλέων.

νόμενος, καὶ τοὺς τότε [1] φίλους καὶ συνήθεις ἀσπασάμενος, καὶ τὰ πρέποντα θαυμασθεὶς ὑπὸ τῆς Ἑλλάδος, εἰς τὴν πόλιν ἐπανῆλθεν, ἤδη τῶν πραγμάτων, ὥσπερ ὑπὸ φλεγμονῆς, ἀφισαμένων περὶ [2] τὸν ἐμφύλιον πόλεμον.

XXXVII. Ἐν μὲν οὖν τῇ βουλῇ ψηφιζομένων αὐτῷ θρίαμβον, ἥδιον ἂν ἔφη παρακολουθῆσαι Καίσαρι θριαμβεύοντι, συμβάσεων γενομένων. ἰδίᾳ δὲ συνεβούλευε, πολλὰ μὲν Καίσαρι γράφων, πολλὰ δ' αὐτοῦ [3] Πομπηΐου δεόμενος, πραΰνων ἑκάτερον καὶ παραμυθούμενος. ὡς δ' ἦν ἀνήκεστα, καὶ, Καίσαρος ἐπερχομένου, Πομπήϊος οὐκ ἔμεινεν, ἀλλὰ μετὰ πολλῶν καὶ ἀγαθῶν ἀνδρῶν τὴν πόλιν ἐξέλιπε, ταύτης μὲν ἀπελείφθη τῆς φυγῆς ὁ Κικέρων [4], ἔδοξε δὲ Καίσαρι προστίθεσθαι [5]. καὶ δῆλός ἐστι τῇ γνώμῃ πολλὰ ῥιπτασθεὶς ἐπ' ἀμφότερα καὶ δυσπαθήσας. γράφει γὰρ

 ἐν

1 R. hoc τότε dubium eſſe monet, utrum ad tempus reſpiciat, ad tum praeſens: amicos, qui Ciceroni tum erant, ad Vrbem e provincia revertenti: an ad priſtinum: amicos, quibus olim Cicero fuiſſet uſus, quum adoleſcens ſtudiis literarum operam daret Athenis.

2 R. mavult παρὰ, ob. Eodem docente, ἀφίσασθαι dicuntur a medicis eae corporis partes, quae a reliqua carnium maſſa per ſuppurationem expeditae vel reſolutae, diſcedunt & defluunt. ἀπόστασις civilis eſt ſeceſſus in partes. Cf. ad Fam. 16, 11.

3 Abſurdum cenſet Duſ. hoc αὐτοῦ, proque eo ſcribendum αὖ τοῦ. R. tuetur vulgatam, quia Pompejus in Vrbe aderat, & ſic Ciceroni licebat cum eo coram agere, *ipſo*, non per litteras cum abſente.

4 Falſum hoc eſſe, B. monet. Cicero, cum ad Vrbem veniſſet pridie Non. Jan. eam reliquit 14 Cal. Febr. (ad Att. 9, 10.) ut orae Campanae & maritimae praeeſſet. Inde fere Formiis egit, neque aut literis Caeſaris aut precibus conceſſit, ut ad Vrbem reverteretur. Vid. ad Att. 9, 6. 16. 18.

5 Hoc quoque temere poſitum, B. judicat. Cicero ſemper eo animo erat, ut ad Pompejum proficiſci vellet, ſimul ac pacem deſperari ſentiret; neque Caeſar aliud a Cicerone ſperaſſe videtur, quam ut mallet ab omni contentione abeſſe.

ἐν ταῖς ἐπιςολαῖς· Ποτέρωσε [1] χρὴ τρέπεσθαι, Πομπηΐϐ μὲν ἔνδοξον καὶ καλὴν ὑπόθεσιν πρὸς τὸν πόλεμον ἔχοντος, Καίσαρος δ' ἄμεινον τοῖς πράγμασι χρωμένϐ, καὶ μᾶλλον ἑαυτὸν καὶ τὰς Φίλϐς [2] σώζοντος; ὥς' ἔχειν μὲν, ὃν Φύγῃ, μὴ ἔχειν δὲ, πρὸς ὃν Φύγῃ. Τρεβατίϐ [3] δὲ, τινὸς τῶν Καίσαρος ἑταίρων, γράψαντος ἐπιςολὴν, ὅτι Καῖσαρ οἴεται δεῖν μάλιςα μὲν αὐτὸν ἐξετάζεσθαι μεθ' αὐτϐ, καὶ τῶν ἐλπίδων μετέχειν· εἰ δ' ἀναδύεται διὰ γῆρας, εἰς τὴν Ἑλλάδα βαδίζειν, κἀκεῖ καθήμενον ἡσυχίαν ἄγειν, ἐκποδὼν ἀμφοτέροις γενόμενον· θαυμάσας ὁ Κικέρων, ὅτι Καῖσαρ αὐτὸς ὀκ ἔγραψεν [4], ἀπεκρίνατο πρὸς ὀργὴν, ὡς ὀδὲν ἀνάξιον πράξει τῶν πεπολιτευμένων. τὰ μὲν ὖν ἐν ταῖς ἐπιςολαῖς γεγραμμένα τοιαῦτά ἐςι.

XXXVIII. Τϐ δὲ Καίσαρος εἰς Ἰβηρίαν ἀπάραντος, εὐθὺς ὡς Πομπήϊον ἔπλευσε· καὶ τοῖς μὲν ἄλλοις ἄσμενος ὤφθη, Κάτων δ' αὐτὸν ἰδὼν, ἰδίᾳ πολλὰ κατεμέμφετο Πομπηΐῳ προσθέμενον. αὐτῷ [5] μὲν γὰρ ὀχὶ καλῶς ἔχειν ἐγκαταλιπεῖν, ἣν ἀπ' ἀρχῆς εἵλετο τῆς πολι-

1 Ante hanc vocem V. & Anon. inferunt διαπορεῖν. In Ciceronis epiftolis haec ipfa verba non inveniuntur, praeter ultimum illud: *Ego, quem fugiam, habeo; quem fequar, non habeo*, quod extat *ad Att.* 8, 7. In eam fententiam paffim difputatur, ut doleat Cicero fibi in ea caftra eundum effe, ubi tot imperatoris errores effent, cum Caefaris caufa *caufam folummodo non haberet, caeteris rebus abundaret.*

2 Lectio haec in Ind. Frft. ex V. & Anon. profertur; eamque Br. cum Interpp. lat. fecutus effe videtur. In omnibus prioribus edd. eft τοῖς Φίλοις.

3 Trebatius, jurisconfultus egregius, ad quem funt Ciceronis epiftolae l. 7. Epiftola, de qua Plutarchus, non exftat, uti nec Ciceronis refponfum. B.

4 Bartono haec fufpecta funt, cum Caefaris epiftola ad Ciceronem in hoc ipfum argumentum exftet, ad Att. 10, 8.

5 Duf. mavult αὑτῷ. Catonem de fe ipfo loquentem facit Plut.

πολιτείας τάξιν, ἐκεῖνον δὲ χρησιμώτερον ὄντα τῇ πατρίδι καὶ τοῖς φίλοις, εἰ μένων ἴσα [1] ἐκεῖ πρὸς τὸ ἀποβαῖνον ἡρμόζετο, κατ' οὐδένα λογισμὸν, οὐδ' ἐξ ἀνάγκης πολέμιον γεγονέναι Καίσαρι, καὶ τοσούτου μεθέξοντα κινδύνου δεῦρ' ἥκειν. οὗτοι δὲ δὴ τοῦ Κικέρωνος ἀνέστρεφον οἱ λόγοι τὴν γνώμην, καὶ τὸ μέγα μηδὲν αὐτῷ χρῆσθαι Πομπήϊον. αἴτιος δ' ἦν αὐτὸς, οὐκ ἀρνούμενος μεταμέλεσθαι [2], φλαυρίζων δὲ τοῦ Πομπηΐου τὴν παρασκευὴν, καὶ πρὸς τὰ βουλεύματα δυσκολαίνων ὑπούλως, καὶ τοῦ παρασκώπτειν τι καὶ λέγειν χάριεν εἰς τοὺς συμμάχους οὐκ ἀπεχόμενος· ἀλλ' αὐτὸς μὲν ἀγέλαστος ἀεὶ περιϊὼν ἐν τῷ στρατοπέδῳ καὶ σκυθρωπὸς, ἑτέροις δὲ παρέχων γέλωτα μηδὲν δεομένοις [3]. βέλτιον δὲ καὶ τούτων ὀλίγα παραθέσθαι. Δομιτίου [4] τοίνυν ἄνθρωπον εἰς τάξιν ἡγεμονικὴν ἄγοντος οὐ πολεμικὸν, καὶ λέγοντος, ὡς ἐπιεικὴς τὸν τρόπον ἐστὶ καὶ σώφρων· Τί οὖν, εἶπεν, οὐκ ἐπίτροπον αὐτὸν τοῖς τέκνοις φυλάσσεις; Ἐπαινούντων δέ τινων Θεοφάνην [5], τὸν Λέσβιον, ὃς ἦν ἐν τῷ στρατοπέδῳ τεκτόνων ἔπαρχος, ὡς εὖ παραμυθήσαιτο Ῥοδίους τὸν στόλον ἀποβαλόντας· Ἡλίκον, εἶπεν, ἀγαθόν ἐστι, τὸ Γραικὸν ἔχειν ἔπαρχον; Καίσαρος δὲ κατορθοῦντος τὰ πλεῖστα, καὶ τρόπον τινὰ πολιορκοῦντος αὐ-



1 Anon. ἴσος; B. 3. ἴσως. Duf. nullam harum lectionum genuinam censet, delendamque vocem ἴσα, aut in ἡσύχως, mutandam.

2 Cf. ad Fam. 7, 3.

3 Vide Philipp. 2, 15. 16. Macrob. Saturn. 2. 3.

4 L. Domitius Aenobarbus, quem Caesar Corfinio inclusit. Caes. de B. civ. 1, 17.

5 Theophanes, Mitylenaeus, qui res gestas Pompeji scripsit, erat apud eum summa auctoritate & gratia. Eum in concione militum civitate donavit, & Mitylenaeis in ejus gratiam libertatem restituit. Cicero tamen hominem contemnere videtur (*ad Attic.* 9, 1.) Auctor fuit consilii, quod Pompejo fatale erat, ad Ptolemaeum post pugnam Pharsalicam confugiendi. *Plut. in Pomp.* B.

τὸς, Λέντλῳ [1] μὲν εἰπόντι, πυνθάνεσθαι, συγνὸς εἶναι τὸς Καίσαρος Φίλος, ἀπεκρίνατο· Λέγεις αὐτὸς δυσνοεῖν Καίσαρι. Μαρκίυ [2] δέ τινος ἥκοντος ἐξ Ἰταλίας νεωςὶ, καὶ λέγοντος, ἐν Ῥώμῃ φήμην ἐπικρατεῖν, ὡς πολιορκοῖτο Πομπήϊος· Εἶτ' ἐξέπλευσας, εἶπεν, ἵνα τῦτο πιςεύσῃς αὐτὸς θεασάμενος; Μετὰ δὲ τὴν ἧτταν Νοννίυ μὲν εἰπόντος, ὅτι δεῖ χρηςὰς ἐλπίδας ἔχειν· ἑπτὰ γὰρ ἀετὸς ἐν τῷ ςρατοπέδῳ τῦ Πομπηΐυ λελεῖφθαι [3]. Καλῶς ἂν, ἔφη, παρῄνεις, εἰ κολοιοῖς ἐπολεμῦμεν. Λαβιηνῦ [4] δὲ μαντείαις τισὶν ἰσχυριζομένυ, καὶ λέγοντος, ὡς δεῖ περιγενέσθαι [5] Πομπήϊον· Οὐκῦν, ἔφη, ςρατηγήματι τύτῳ χρώμενοι νῦν [6] ἀποβεβλήκαμεν τὸ ςρατόπεδον.

XXXIX. Ἀλλὰ γὰρ [7], γενομένης τῆς κατὰ Φάρσαλον μάχης, ἧς ὐ μετέσχε δι' ἀῤῥωςίαν, καὶ Πομπηΐυ φυγόντος, ὁ μὲν Κάτων, καὶ ςράτευμα συχνὸν ἐν Δυῤῥαχίῳ, καὶ ςόλον ἔχων μέγαν, ἐκεῖνον ἠξίυ ςρατηγεῖν κατὰ

1 L. Corn. Lentulus Crus tunc conſul erat in caſtris Pompejanis. B.

2 Sic ſcriptum enotatur hoc nomen ex Anon. in ind. Frſt. deditque Br. quem R. ſequitur & B. In edd. prioribus eſt Μαρίκυ.

3 Sic Xyl. legendum eſſe monuit, deditque Steph. pro λελῆφθαι, quod eſt in Junt. Ald. Crat.

4 Is eſt, qui, cum Caeſaris legatus fuiſſet in Gallia, in bello civili Pompejum ſecutus eſt, in ſuperſtitionem plus aequo pronus. B.

5 Sic cum Anon. & V. dari voluit Br. & dederunt B. & R. pro vulg. παραγενέσθαι.

6 Non Pharſalica pugna, ſed alia quaepiam, ea vetuſtior, ut deſignetur neceſſe eſt. Nam in Pharſalica periit Labienus, de eaque ſeorſim commemoratur in continenti. R.

7 Duſ. mavult ἀλλὰ καί. R. autem tuetur γάρ, ut ſit Latinorum *verum enimvero*. Eodem monente, ſeries ratiocinii haec eſt: Cicero Pompejo quidem ſe adjunxit, & in ejus caſtra venit; verumtamen imperium hujus belli detrectavit, Pompejo ſublato ad ſe delatum.

κατὰ νόμον, καὶ τὸ τῆς ὑπατείας ἀξίωμα πρῦχοντα. διωθούμενος δὲ τὴν ἀρχὴν ὁ Κικέρων, καὶ ὅλως φεύγων τὸ συστρατεύεσθαι, παρ' ὐδὲν ἦλθεν ἀναιρεθῆναι, Πομπηΐυ τῦ νέυ καὶ τῶν φίλων προδότην ἀποκαλύντων, καὶ τὰ ξίφη σπασαμένων, εἰ μὴ Κάτων ἐνστὰς μόλις ἀφείλετο καὶ διήνεγκεν [1] αὐτὸν ἐκ τῦ στρατοπέδυ. καταχθὼν δ' εἰς Βρεντέσιον, ἐνταῦθα διέτριβε, Καίσαρα περιμένων βραδύνοντα διὰ τὰς ἐν Ἀσίᾳ καὶ περὶ Αἴγυπτον, ἀσχολίας. ἐπεὶ δ' εἰς Τάραντα καθωρμισμένος ἀπηγγέλλετο, καὶ πεζῇ περιιὼν ἐκεῖθεν εἰς Βρεντέσιον, ὥρμησε πρὸς αὐτὸν, ὐ πάνυ μὲν ὢν δύσελπις, αἰδύμενος δὲ, πολλῶν παρόντων, ἀνδρὸς ἐχθρῦ καὶ κρατῦντος λαμβάνειν πεῖραν. ὐ μὴν ἐδέησεν αὐτῷ πρᾶξαί τι παρ' ἀξίαν, ἢ εἰπεῖν. ὁ γὰρ Καῖσαρ, ὡς εἶδεν αὐτὸν πολὺ πρὸ τῶν ἄλλων ἀπαντῶντα, κατέβη καὶ ἠσπάσατο, καὶ διαλεγόμενος μόνῳ συχνῶν σταδίων ὁδὸν προῆλθεν. ἐκ δὲ τύτυ διετέλει τιμῶν καὶ φιλοφρονύμενος, ὥστε καὶ γράψαντι λόγον ἐγκώμιον Κάτωνος ἀντιγράφων, τόν τε λόγον αὐτῦ καὶ τὸν βίον, ὡς μάλιστα τῷ Περικλέυς ἐοικότα καὶ Θηραμένυς [2], ἐπαινεῖν. ὁ μὲν ὖν Κικέρωνος

1 V. διῆκεν. Seq. αὐτὸν abest a Junt. Ald. Crat. dedit Steph.

2 Theramenes Atheniensis, Agnonis filius, faciendi dicendique sapiens a Cicerone dicitur (de orat. 3, 16.) Aristoteles, cum dixisset tres fuisse cives patriae amantissimos, tertium posuit Theramenem (Plut. in Nic.) Habuit hoc cum Cicerone commune, ut levis & inconstans putaretur (nam & Cothurnus probroso nomine appellatus est) ex eo, quod gliscentibus partium studiis moderatioribus consiliis uteretur. Captis a Lysandro Athenis, auctor erat populo, ut Lacedaemoniorum conditiones acciperent. Iis tamen, qui remp. in Oligarchiam vertere studerent, vehementer obstitit; & cum nihil proficeret, unus ex 30. tyrannis delectus collegis suis cives pro lubitu trucidantibus & bona publicantibus se fortiter opposuit. Quapropter, Critia adnitente, capitis damnatus est, mortemque, utpote Socratis praeceptis imbutus, fortissime obiit. Plut. in Lys. Diodor. l. 14. Xenoph. Hell. l. 2.

νος λόγος, Κάτων, ὁ δὲ Καίσαρος, Ἀντικάτων [1] ἐπιγέγραπται. λέγεται δὲ καὶ, Κοΐντου Λιγαρίου δίκην φεύγοντος, ὅτι τῶν Καίσαρος πολεμίων εἷς ἐγεγόνει, καὶ Κικέρωνος αὐτῷ βοηθοῦντος, εἰπεῖν τὸν Καίσαρα πρὸς τοὺς φίλους· Τί κωλύει διὰ χρόνου Κικέρωνος ἀκοῦσαι λέγοντος, ἐπεὶ πάλαι κέκριται πονηρὸς ἀνὴρ [2] καὶ πολέμιος; ἐπεὶ δ' ἀρξάμενος λέγειν ὁ Κικέρων ὑπερφυῶς ἐκίνει, καὶ προὔβαινεν αὐτῷ πάθει τε ποικίλος καὶ χάριτι θαυμαστὸς ὁ λόγος, πολλὰς μὲν ἰέναι [3] χρόας ἐπὶ τοῦ προσώπου τὸν Καίσαρα, πάσας δὲ τῆς ψυχῆς τρεπόμενον τροπὰς κατάδηλον εἶναι. τέλος δὲ τῶν κατὰ Φάρσαλον ἁψαμένου [4] τοῦ ῥήτορος ἀγώνων, ἐκπαθῆ γενόμενον, τιναχθῆναι τῷ σώματι, καὶ τῆς χειρὸς ἐκβαλεῖν ἔνια τῶν γραμματίων. τὸν γοῦν ἄνθρωπον ἀπέλυσε τῆς αἰτίας βεβιασμένος.

XL. Ἐκ τούτου Κικέρων, εἰς μοναρχίαν τῆς πολιτείας μεθεστώσης, ἀφέμενος τοῦ τὰ κοινὰ πράττειν, ἐσχόλαζε τοῖς βουλομένοις φιλοσοφεῖν τῶν νέων, καὶ σχεδὸν ἐκ τῆς πρὸς τούτους συνηθείας, εὐγενεστάτους καὶ πρώτους ὄντας, αὖθις ἴσχυεν ἐν τῇ πόλει μέγιστον [5]. αὐτῷ δ' ἔργον μὲν ἦν τὸ τοὺς φιλοσόφους συντελεῖν διαλόγους καὶ μετα-

1 Brutus etiam Catonem fcripfit, cui Auguftus refcripfit (Suet. in Octav.) Alios etiam Cato laudatores habuit, Fabium Gallum, Ciceronis amicum (Epift. ad Fam. 7, 24.) Munatium, Catonis inprimis familiarem, & Thrafeam, qui natales D. & M. Brutorum & C. Caffii celebrare fuetus erat. B.

2 non Cicero, fed Ligarius. R.

3 Br. fcribi voluit ἰέναι. Sic B. dedit. R. fufp. μὲν ἐμφαίνοντα χρ.

4 Pro Q. Ligar. 3. „*Quid enim, Tubero, diftrictus ille tuus in acie Pharfalica gladius agebat? &c.*"

5 B. monente, fenfus eft: horum amicitiae debuit Cicero, ut poft Caefaris mortem fummam in urbe auctoritatem confequi poffet. Loquitur enim de Panfa, Hirtio & Dolabella, quos Cicero in morem praeceptoris exercuit, quotidie dicens audiensque. Quint. Inft. Or. 8, 3. 12, 11. B.

μεταφράζειν [1], καὶ τῶν διαλεκτικῶν, ἢ φυσικῶν, ὀνομάτων ἕκαστον εἰς Ῥωμαϊκὴν μεταβάλλειν διάλεκτον. ἐκεῖνος γάρ ἐστιν, ὥς φασιν, ὁ καὶ τὴν φαντασίαν, καὶ τὴν συγκατάθεσιν [2], καὶ τὴν ἐποχὴν [3], καὶ τὴν κατάληψιν, ἔτι δὲ τὸ ἄτομον, τὸ ἀμερὲς, τὸ κενὸν, ἄλλα τε πολλὰ τῶν τοιούτων, ἐξονομάσας πρῶτος, ἢ μάλιστα Ῥωμαίοις, τὰ μὲν μεταφοραῖς, τὰ δ' οἰκειότησιν ἄλλαις γνώριμα καὶ προσήγορα [4] μηχανησάμενος. τῇ δὲ πρὸς τὴν ποίησιν εὐκολίᾳ παίζων ἐχρῆτο. λέγεται γὰρ, ὁπηνίκα ῥυείη πρὸς τὸ τοιοῦτον, τῆς νυκτὸς ἔπη ποιεῖν πεντακόσια. τὸ μὲν οὖν πλεῖστον τοῦ χρόνου τούτου περὶ Τοῦσκλον ἐν χωρίοις αὐτοῦ διάγων, ἔγραφε πρὸς τοὺς φίλους, Λαέρτου βίον ζῆν [5], εἴτε παίζων, ὡς ἔθος εἶχεν, εἴθ' ὑπὸ φιλοτιμίας σπαργῶν πρὸς τὴν πολιτείαν, καὶ ἀθυμῶν τοῖς καθεστῶσι. σπανίως δ' εἰς ἄστυ θεραπείας ἕνεκα τοῦ Καίσαρος κατῄει, καὶ πρῶτος ἦν τῶν συναγορευόντων ταῖς τιμαῖς, καὶ λέγειν ἀεί τι καινὸν εἰς τὸν ἄνδρα καὶ τὰ πραττόμενα φιλοτιμουμένων. οἷόν ἐστι καὶ τὸ περὶ τῶν Πομπηΐου λεχθὲν εἰκόνων, ἃς ἀνῃρημένας καὶ καταβεβλημένας ὁ Καῖσαρ ἐκέλευσεν ἀνασταθῆναι· καὶ ἀνεστάθησαν. ἔφη γὰρ ὁ Κικέρων, ὅτι ταύτῃ τῇ φιλανθρωπίᾳ Καῖσαρ τοὺς μὲν Πομπηΐου ἵστησι, τοὺς δ' αὐτοῦ πήγνυσιν ἀνδριάντας.

XLI. Διανοούμενος δ', ὡς λέγεται, τὴν πάτριον ἱστορίαν γραφῇ περιλαβεῖν [6], καὶ πολλὰ συμμίξαι τῶν Ἑλληνικῶν, καὶ ὅλους τοὺς εἰρημένους λόγους αὐτῶν [7] καὶ μύθους

1 Anon. addit τινὰ τοῦ Πλάτωνος, quae addi vult Duf. — V. solum addit Πλάτωνος.

2 Sic dari voluit Steph. & cum V. & Anon. scribendum censuit Br. dederuntque R. & B. pro vulg. κατάθεσιν.

3 V. Anon. B. 3. Junt. ἀποχήν.

4 familiaria, facilem quasi aditum ad se patefacientia. R.

5 Vid. Hom. Odyss. ω. v. 205. 225.

6 V. παραλαβεῖν.

7 R. susp. καὶ ὅλως τοὺς εἰρημένους (vel εὑρημένους) περὶ αὐτῶν

μύθους ἐνταῦθα γράψαι, πολλοῖς μὲν δημοσίοις, πολλοῖς δ' ἰδίοις κατελήφθη πράγμασιν ἀβουλήτοις καὶ πάθεσιν, ὧν αὐθαίρετα δοκεῖ τὰ πλεῖστα [1] συμβῆναι. πρῶτον μὲν γὰρ ἀπεπέμψατο τὴν γυναῖκα, Τερεντίαν, ἀμεληθεὶς ὑπ' αὐτῆς παρὰ [2] τὸν πόλεμον, ὥστε καὶ τῶν ἀναγκαίων ἐφοδίων ἐνδεὴς ἀποσταλῆναι, καὶ μηδ', ὅτε κατῆρεν αὖθις εἰς Ἰταλίαν, τυχεῖν εὐγνώμονος. αὕτη μὲν γὰρ οὐκ ἦλθεν, ἐν Βρεντεσίῳ διατρίβοντος αὐτοῦ πολὺν χρόνον· ἐρχομένῃ δὲ τῇ θυγατρὶ, παιδίσκῃ νέᾳ, τοσαύτην ὁδὸν, οὐ πομπὴν πρέπουσαν [3], οὐ χορηγίαν παρέσχεν, ἀλλὰ καὶ τὴν οἰκίαν τῷ Κικέρωνι πάντων ἔρημον καὶ κενὴν ἀπέδειξεν ἐπὶ πολλοῖς ὀφλήμασι καὶ μεγάλοις. αὗται γάρ εἰσιν αἱ λεγόμεναι τῆς διαστάσεως εὐπρεπέσταται προφάσεις. τῇ δὲ Τερεντίᾳ καὶ ταύτας ἀρνουμένῃ λαμπρὰν ἐποίησε τὴν ἀπολογίαν αὐτὸς ἐκεῖνος, μετ' οὐ πολὺν χρόνον γήμας παρθένον [4], ὡς μὲν ἡ Τερεντία κατεφήμιζεν, ἔρωτι τῆς ὥρας, ὡς δὲ Τύρων, ὁ τοῦ Κικέρωνος ἀπελεύθερος, γέγραφεν, εὐπορίας ἕνεκεν πρὸς διάλυσιν δανείων. ἦν γὰρ ἡ παῖς σφόδρα πλουσία, καὶ τὴν οὐσίαν αὐτῆς [5] ὁ Κικέρων ἐν πίστει κληρονόμος [6] ἀπολειφθεὶς διεφύλαττεν. ὀφείλων δὲ πολλὰς μυριάδας, υπο [7] τῶν φίλων καὶ οἰκείων ἐπείσθη τὴν παῖδα γῆμαι παρ'

τῶν λό. V. & Anon. καὶ ὅλως τοὺς συνηγμένους λόγους αὐτῷ καὶ μύθους ἐνταῦθα τρέψαι, quam lectionem Dacer. praefert. Cf. Cic. de leg. 1. 1.

1 Articulum τὰ R. de suo addidit. Vulgo abest.

2 V. περὶ.

3 Junt. Ald. Crat. τρέπουσαν. Steph. correxit.

4 Popilliam, sive potius Publiliam. *Quint. Inst. Or.* 6, 3. *ad Fam.* 4, 14.

5 Sic cum Junt. & B. 3. scribi voluit Br. & dederunt R. & B. pro vulg. αὖθις. Haec lectio ex Steph. prodiit. Ald. & Crat. habent quoque αὐτῆς.

6 Hujusmodi haeredem fideicommissarium dici notum est. B.

7 Sola Br. ἀπό. R. cum B. restituit lectionem edd. priorum.

παρ' ἡλικίαν, καὶ τὰς δανειστὰς ἀπαλλάξαι, τοῖς ἐκείνης χρησάμενον. Ἀντώνιος δὲ, τοῦ γάμου μνησθεὶς ἐν ταῖς πρὸς τὰς Φιλιππικὰς ἀντιγραφαῖς, ἐκβαλεῖν αὐτόν φησι γυναῖκα, παρ' ᾗ ἐγήρασε· χαριέντως ἅμα τὴν οἰκουρίαν ὡς ἀπράκτου καὶ ἀστρατεύτου παρασκώπτων τοῦ Κικέρωνος. γήμαντι δ' αὐτῷ μετ' οὐ πολὺν χρόνον ἡ θυγάτηρ ἀπέθανε τίκτουσα παρὰ Λέντλῳ [1]. τούτῳ γὰρ ἐγαμήθη μετὰ τὴν Πείσωνος, τοῦ προτέρου ἀνδρὸς, τελευτήν. καὶ συνῆλθον μὲν ἐπὶ τὴν παραμυθίαν τῷ Κικέρωνι πανταχόθεν οἱ φιλόσοφοι· βαρέως δ' ἄγαν ἤνεγκε τὸ συμβεβηκὸς, ὥστε καὶ τὴν γαμηθεῖσαν ἀποπέμψασθαι δόξασαν ἡσθῆναι τῇ τελευτῇ τῆς Τυλλίας.

XLII. Τὰ μὲν οὖν κατ' οἶκον οὕτως εἶχε τῷ Κικέρωνι. τῆς δ' ἐπὶ Καίσαρα [2] συνισταμένης πράξεως οὐ μετέσχε, καίπερ ὢν ἑταῖρος ἐν τοῖς μάλιστα Βρούτου, καὶ βαρύνεσθαι τὰ παρόντα καὶ τὰ πάλαι ποθεῖν πράγματα δοκῶν, ὡς ἕτερος οὐδείς. ἀλλ' ἔδεισαν οἱ ἄνδρες αὐτοῦ τήν τε φύσιν, ὡς ἐνδεᾶ τόλμης, τόν τε χρόνον, ἐν ᾧ καὶ ταῖς ἐρρωμενεστάταις φύσεσιν ἐπιλείπει τὸ θαρρεῖν. ὡς δ' οὖν ἐπέπρακτο τοῖς περὶ Βροῦτον καὶ Κάσσιον τὸ ἔργον, καὶ τῶν Καίσαρος φίλων συνισταμένων [3], αὖθις ἦν δέος ἐμφυ-

1 Lentulum pro Dolabella esse positum, Cruser. annotat. Crassipedis, qui Tulliae maritus inter Pisonem & Dolabellam medius erat, neque Plutarchus meminit, nec Asconius. Ultimo non enim erat P. Corn. Lentulus Dolabella, ut notat Middleton Vol. 2. p. 366. Obiisse Tulliam in patris sui Tusculano contendunt alii, hoc maxime argumento, quod Cicero a villa amoenissima maximeque consolatoria visenda post mortem filiae refugerit. Hunc autem nodum ipse Cicero, B. judice, satis commode explicat *ad Att.* 12, 40. quia ex omnibus villis Tusculanae maxima fuit celebritas, quam non facile ferre se posse fatetur Cicero.

2 Sola Br. *Καίσαρι*. R. & B. priorem restituerunt lectionem.

3 V. & Anon. addunt *ἐπὶ τοὺς ἄνδρας*, quod in textum recipiendum censuit Duf.

ἐμφυλίοις πολέμοις περιπετῆ γενέσθαι τὴν πόλιν. Ἀντώνιος μὲν ὑπατεύων τὴν βȣλὴν συνήγαγε, καὶ βραχέα διελέχθη περὶ ὁμονοίας, Κικέρων δὲ πολλὰ πρὸς τὸν καιρὸν οἰκείως διελθὼν, ἔπεισε τὴν σύγκλητον, Ἀθηναίȣς μιμησαμένην [1], ἀμνηστίαν τῶν ἐπὶ Καίσαρι ψηφίσασθαι, νεῖμαι δὲ τοῖς περὶ Κάσσιον καὶ Βρȣ̃τον ἐπαρχίας. ἔσχε δὲ τȣ́των τέλος ȣ̓δέν. ὁ γὰρ δῆμος, αὐτὸς μὲν ἀφ᾽ ἑαυτȣ̃ πρὸς οἶκτον ἐξαχθεὶς, ὡς εἶδε τὸν νεκρὸν ἐκκομιζόμενον δι᾽ ἀγορᾶς, Ἀντωνίȣ δὲ καὶ τὴν ἐσθῆτα δείξαντος αὐτοῖς αἵματος κατάπλεων [2], καὶ κεκομμένην πάντη τοῖς ξίφεσιν, ἐκμανέντες ὑπ᾽ ὀργῆς, ἐν ἀγορᾷ ζήτησιν ἐποιȣ̃ντο τῶν ἀνδρῶν, καὶ πῦρ ἔχοντες ἐπὶ τὰς οἰκίας ἔθεον, ὡς ἀνάψοντες. οἱ δὲ τȣ̃τον μὲν τῷ προπεφυλάχθαι διέφυγον τὸν κίνδυνον, ἑτέρȣς δὲ πολλȣ̀ς καὶ μεγάλȣς προσδοκῶντες, ἐξέλιπον τὴν πόλιν.

XLIII. Εὐθὺς ȣ̓̃ν ὁ Ἀντώνιος ἐπῆρτο, καὶ πᾶσι μὲν ἦν φοβερὸς, ὡς μοναρχήσων, τῷ δὲ Κικέρωνι φοβερώτατος. ἀναῤῥωννυμένην τε γὰρ αὐτῷ πάλιν ὁρῶν τὴν δύναμιν ἐν τῇ πολιτείᾳ, καὶ τοῖς περὶ Βρȣ̃τον ἐπιτήδειον εἰδὼς, ἤχθετο παρόντι. καί πȣ τι καὶ προϋπῆρχεν ὑποψίας αὐτοῖς πρὸς ἀλλήλȣς κατὰ τὴν τῶν βίων ἀνομοιότητα καὶ διαφοράν. ταῦτα δείσας ὁ Κικέρων, πρῶτον μὲν ὥρμησε πρεσβευτὴς Δολοβέλλᾳ συνεκπλεῦσαι εἰς Συρίαν. ἐπεὶ δ᾽ οἱ μέλλοντες ὑπατεύειν μετ᾽ Ἀντώνιον, Ἵρτιος καὶ Πάνσας, ἄνδρες ἀγαθοὶ καὶ ζηλωταὶ τȣ̃ Κικέρωνος, ἐδέοντο μὴ σφᾶς καταλιπεῖν, ὑποδεχόμενοι καταλύσειν Ἀντώνιον, ἐκείνȣ παρόντος· ὁ δ᾽ ȣ̓́τ᾽ ἀπιςῶν παντάπασιν, ȣ̓́τε πιςεύων, Δολοβέλλαν μὲν εἴασε χαίρειν, ὁμολογήσας δὲ τῆς περὶ τὸν Ἵρτιον τὸ θέρος ἐν Ἀθήναις διάξειν, ὅταν δ᾽ ἐκεῖνοι παραλα-

1 Conf. Cornel. Nep. in Thrasybulo.

2 Cf. Quint. Inst. Or. 6. 1. Pro seq. κεκομμένην R. susp. κατακεκομμένην.

ϱαλάβωσι τὴν ἀρχὴν, ἀφίξεσθαι πάλιν, αὐτὸς καθ' ἑαυτὸν ἐξέπλευσε. γενομένης δὲ περὶ τὸν πλοῦν διατριβῆς, καὶ λόγων ἀπὸ Ῥώμης, οἷα φιλεῖ, καινῶν προσπεσόντων, μεταβεβλῆσθαι [1] μὲν Ἀντώνιον θαυμαστὴν μεταβολὴν, καὶ πάντα πράττειν καὶ πολιτεύεσθαι πρὸς τὴν σύγκλητον, ἐνδεῖν δὲ τῆς ἐκείνου παρουσίας τὰ πράγματα, μὴ τὴν ἀρίστην ἔχειν διάθεσιν [2]. καταμεμψάμενος αὐτὸς [3] αὑτοῦ τὴν πολλὴν εὐλάβειαν, ἀνέστρεφεν αὖθις εἰς Ῥώμην. καὶ τῶν πρώτων οὐ διημάρτανεν ἐλπίδων· τοσοῦτον πλῆθος [4] πρὸς τὴν ἀπάντησιν ἐξεχύθη, καὶ σχεδὸν ἡμερήσιον ἀνήλωσαν χρόνον αἱ περὶ τὰς πύλας καὶ τὴν εἴσοδον αὐτοῦ δεξιώσεις καὶ φιλοφροσύναι. τῇ δ' ὑστεραίᾳ βουλὴν συναγαγόντος Ἀντωνίου, καὶ καλοῦντος αὐτὸν, οὐκ ἦλθεν, ἀλλὰ κατέκειτο, μαλακῶς ἔχειν ἐκ τοῦ κόπου σκηπτόμενος. ἐδόκει δὲ τἀληθὲς ἐπιβουλῆς εἶναι φόβος, ἔκ τινος ὑποψίας καὶ μηνύσεως καθ' ὁδὸν αὐτῷ προσπεσούσης. Ἀντώνιος δὲ χαλεπῶς μὲν εἶχεν ἐπὶ τῇ διαβολῇ, καὶ στρατιώτας ἔπεμψεν ἄγειν αὐτὸν, ἢ καταπρῆσαι τὴν οἰκίαν κελεύσας· ἐνστάντων δὲ πολλῶν καὶ δεηθέντων, ἐνέχυρα λαβὼν μόνον, ἐπαύσατο. καὶ τὸ λοιπὸν οὕτως ἀντιπαρεξιόντες [5] ἀτρέμα καὶ φυλαττόμενοι

1 Sic cum V. & Anon. dari voluit Br. & dederunt B. & R. pro vulg. μετεμεμελῆσθαι.

2 R. fusp. παρουσίας, *opus esse ipsius in Vrbe praesentia*, παρ' ἣν τὰ πράγματα μὴ τὴν ἀρίστην ἔ. δ. *per quam stet, quo minus res optime sese habeant*, vel, καὶ ἄνευ αὐτοῦ τὰ πράγματα — *& sine ipso res pessum ire.*

3 Sola ex Br. excidit αὐτός. Restituit R. auctoritate Juntinae; & B. ex B. 3. In omnibus autem legitur edd. prioribus.

4 V. & Anon. addunt ὑπὸ χαρᾶς καὶ πόθου, quod addendum censet Duf.

5 Sic cum B. 3. dandum censuit Br. & dederunt R. & B. pro vulg. ἀντιπαρεξιόντες.

μενοι διετέλυν. ἄχρις ὃ [1] Καῖσαρ ὁ νέος ἐξ Ἀπολλωνίας παραγενόμενος, τόν τε κλῆρον ἀνεδέξατο τοῦ Καίσαρος ἐκείνου, καὶ περὶ τῶν διχιλίων πεντακοσίων μυριάδων [2], ἃς Ἀντώνιος ἐκ τῆς οὐσίας κατεῖχεν, εἰς διαφορὰν κατέστη πρὸς αὐτόν.

XLIV. Ἐκ δὲ τούτου Φίλιππος, ὁ τὴν μητέρα τοῦ νέου Καίσαρος ἔχων, καὶ Μάρκελλος, ὁ τὴν ἀδελφὴν, ἀφικόμενοι μετὰ τοῦ νεανίσκου πρὸς τὸν Κικέρωνα, συνέθεντο, Κικέρωνα μὲν ἐκείνῳ τὴν ἀπὸ τοῦ λόγου καὶ τῆς πολιτείας [3] δύναμιν ἔν τε τῇ βουλῇ καὶ τῷ δήμῳ παρέχειν, ἐκεῖνον δὲ Κικέρωνι τὴν ἀπὸ τῶν χρημάτων καὶ τῶν ὅπλων ἀσφάλειαν. ἤδη γὰρ οὐκ ὀλίγους τῶν ὑπὸ Καίσαρι στρατευσαμένων περὶ αὐτὸν εἶχε τὸ μειράκιον. ἐδόκει δὲ καὶ [4] ἀναδέξασθαι προθύμως τὴν Καίσαρος φιλίαν.

1 Non fatis conftare temporum rationem, B. monet. Hanc enim Ciceroni contumeliam intulit Antonius ipfis Cal. Sept. (Phil. 5, 7.) Octavius autem jam ante Neapolim venerat, 14. Cal. Maji, ut conftat ex Ep. ad Att. 14. 10. Vide Middleton Praefat. ad Epiftolas Ciceronis & Bruti.

2 Ruald. animadvertit, Plutarchum in hoc loco a fe, a veritate, atque ab aliis fidei certiffimae auctoribus diffentire: a fe quidem, quia idem in M. Antonii vita de eadem re loquens, hanc fummam *quaternum millium talentum* fuiffe prodat, utrobique autem pugnare cum veritate Plutarchum, cum utramque fummam immane quantum excedat illa pecunia, quam apud M. Antonium Calpurnia, caefo marito, depofuerit, collato loco ex Vell. Paterc. Hift. II, 60. & ex ipfo Cicerone. Rem hanc Bart. ita folvit: „ 25000000 drachmae aequant talenta 4166. — Eandem fummam rotundius expreffit Plut. in Antonio. — Miras hic turbas excitat Ruald. — Vellejum citat & Ciceronem auctores, *fepties millies feftertiûm depofitum a Cajo Caefare ad aedem Opis occupatum fuiffe ab Antonio.* Sed fefellit virum doctum eos de pecuniis loqui ad publicos ufus deftinatis, Plutarchum de re Caefaris privata "

3 V. & B. 3. καὶ τὴν ἀπὸ τῆς πολιτείας.

4 Excidiffe poft haec cenfet Br. verba aliquot, quae nobis exhibent

λίαν. ἔτι γὰρ, ὡς ἔοικε, Πομπηΐε ζῶντος καὶ Καίσαρος, ἔδοξε κατὰ τὰς ὕπνες ὁ Κικέρων [1] καλεῖν τινα [2] τὰς τῶν συγκλητικῶν παῖδας εἰς τὸ Καπιτώλιον, ὡς μέλλοντος ἐξ αὐτῶν ἕνα τὰ Διὸς ἀποδεικνύειν τῆς Ῥώμης ἡγεμόνα· τὰς δὲ πολίτας ὑπὸ σπεδῆς θέοντας ἵςαθαι περὶ τὸν νεών· καὶ τὰς παῖδας ἐν τοῖς περιπορφύροις καθέζεθαι σιωπὴν ἔχοντας. ἐξαίφνης δὲ τῶν θυρῶν ἀνοιχθεισῶν, καθ' ἕνα τῶν παίδων ἀνισάμενον [3], κύκλῳ παρὰ τὸν θεὸν παραπορεύεθαι· τὸν δὲ πάντας ἐπισκοπεῖν καὶ ἀποπέμπειν ἀχθομένες. ὡς δ' ἅτος ἦν προσιὼν κατ' αὐτὸν, ἐκτεῖναι τὴν δεξιὰν, καὶ εἰπεῖν· Ὦ Ῥωμαῖοι, πέρας ὑμῖν ἐμφυλίων πολέμων ἅτος [4] ἡγεμὼν γενόμενος. τοιᾶτόν φασιν ἐνύπνιον ἰδόντα τὸν Κικέρωνα, τὴν μὲν ἰδέαν τὰ παιδὸς ἐκμεμάχθαι καὶ κατέχειν ἐναργῶς, αὐτὸν δ' ἐκ ἐπίςαθαι. μεθ' ἡμέραν δὲ καταβαίνοντος εἰς τὸ πεδίον τὸ Ἄρειον αὐτᾶ, τὰς παῖδας ἤδη γεγυμνασμένες ἀπέρχεθαι, κἀκεῖνον ὀφθῆναι τῷ Κικέρωνι πρῶτον, οἷος ὤφθη καθ' ὕπνον· ἐκπλαγέντα δὲ, πυνθάνεθαι, τίνων εἴη γονέων. ἦν δὲ πατρὸς Ὀκταΐε τῶν ἐκ ἄγαν ἐπιφανῶν [5], Ἀττίας δὲ μη-



hibent V. & Anon. nempe *μείζων τις αἰτία γεγονέναι τὰ τὸν Κικέρωνα δέξαθαι*, ut eſt in V. vel potius *ἀναδέξαθαι*, ut eſt in Anon. Recepit eas voces B. omiſſo articulo *τόν*. R. ſuſp. poſt *καὶ* inſerendum *ἀφ' ἑαυτᾶ*, *viſus Cicero tum fuit vel ultro, ſua ſponte, etiam ſine illis invitamentis, Auguſti amicitiam ſuſcepturus fuiſſe.*

1 Cf. Suetou. in Octav. 93. & Dion. l. 45.

2 Sic ex Br. conjectura R. dedit pro vulg. *τινας.*

3 Sic R. de ſuo dedit pro vulg. *ἀνισαμένων.*

4 Poſt h. v. R. deeſſe cenſet *ἔςαι.*

5 B. ad haec: „ Credidit nimirum Plutarchus inimicis Auguſti, in quibus M. Antonius libertinum ei proavum exprobravit reſtionem, e pago Thurino: avum argentarium. Patrem quoque nonnulli argentarium, atque etiam inter diviſores operasque campeſtres prodiderunt. *Sueton. in Oct.* 2. & Seneca

μητρὸς, ἀδελφιδῆς [1] Καίσαρος. ὅθεν Καῖσαρ αὐτῷ, παῖδας ἐκ ἔχων ἰδίες, τὴν ἐσίαν ἑαυτε καὶ τὸν οἶκον ἐν ταῖς διαθήκαις ἔδωκεν. ἐκ τέτε φασὶ τὸν Κικέρωνα τῷ παιδὶ κατὰ τὰς ἀπαντήσεις ἐντυγχάνειν ἐπιμελῶς, κἀκεῖνον οἰκείως δέχεσθαι τὰς φιλοφροσύνας. καὶ γὰρ ἐκ τύχης αὐτῷ γεγονέναι συμβεβήκει, Κικέρωνος ὑπατεύοντος.

XLV. Αὗται μὲν ἐν προφάσεις ἦσαν αἱ λεγόμεναι [2]. τὸ δὲ πρὸς Ἀντώνιον μῖσος Κικέρωνα πρῶτον, εἶτα η φύσις, ἥττων ἐσα τῆς τιμῆς, προσεποίησε Καίσαρι, νομίζοντα [3] προσλαμβάνειν τῇ πολιτείᾳ [4] τὴν ἐκείνε δύναμιν. ἕτω γὰρ ὑπῄει πρὸς τὸ μειράκιον αὐτὸν [5], ὥστε

ca de patre loquitur, tanquam homine prorſus obſcuro. *de benef.* L. 3. Sed conſtat ex Suetonio Octavium jam tum fuiſſe ſenatorem, cum de conjuratis ageretur, poſt praetorem & Macedoniae proconſulem ſumma cum laude & dignitate. Cf. Philipp. 3, 6.

1 Sic Palmer. ſcribi voluit, deditque R. pro vulg. ἀδελφῆς. Fuit enim Attia Octavii uxor, mater Auguſti, filia M. Attii Balbi, & Juliae, ſororis Caeſaris. Ideo fuit ejus ex ſorore *neptis*, non *ſoror*. Sic quoque legi voluiſſe Anonymum, in ind. Frſt. notatur, ſed textus ipſe vitioſe datur, nimirum: Ἀττίας μητρὸς, ἀδελφὸς Καίσαρος, hisce adjectis: Sic legendum eſt, & Actiae matris, quae erat filia ſororis Caeſaris. Xyl. bene vertit: *& Attiae ſororis Caeſaris natae.*

2 Cum artic. αἱ R. dedit. Vulgo abeſt.

3 V. νομίζοντι.

4 R. ſuſp. τῇ ἑαυτε πολιτείᾳ.

5 Locus, omnium judicio corruptus. Xyl. πρὸς delendum cenſuit, quod & V. & B. 3. omittunt. Duſ. nondum acquieſcit. Corrupta ei videtur vox ὑπῄει, niſi quis αὐτὸν poſt πατέρα collocet. Mavult ἕτω γὰρ ὑπεδύετο τὸ μειράκιον, ὥστε &c. B. aut cum Xyl. πρὸς deleri vult, aut potius cum Tunſtallo ſententiam ita ordinare: ὑπῄει τὸ μειράκιον πρὸς αὐτόν. Sententiam etiam uncis includendam cenſet, cum illa quae ſequuntur ἐφ' ᾧ Βρ. ἀγαν. ſuperioribus reſpondeant τὸ δὲ πρὸς Ἀντ. — ut

ὥςε καὶ πατέρα προσαγορεύειν. ἐφ' ᾧ [1] σφόδρα Βροῦτος ἀγανακτῶν, ἐν ταῖς πρὸς Ἀττικὸν ἐπιςολαῖς καθήψατο τοῦ Κικέρωνος, ὅτι διὰ φόβον Ἀντωνίου θεραπεύων [2] Καίσαρα, δῆλός ἐςιν οὐκ ἐλευθερίαν τῇ πατρίδι πράττων, ἀλλὰ δεσπότην φιλάνθρωπον αὑτῷ μνώμενος. οὐ μὴν ἀλλὰ τόν γε παῖδα τοῦ Κικέρωνος ὁ Βροῦτος, ἐν Ἀθήναις διατρίβοντα παρὰ τοῖς φιλοσόφοις, ἀναλαβὼν, ἔσχεν ἐφ' ἡγεμονίας [3], καὶ πολλὰ χρώμενος αὐτῷ κατώρθου. τοῦ δὲ Κικέρωνος ἀκμὴν ἔσχεν ἡ δύναμις ἐν τῇ πόλει τότε μεγίςην, καὶ κρατῶν, ὅσων ἐβούλετο, τὸν μὲν Ἀντώνιον ἐξέκρουσε καὶ κατεςασίασε, καὶ πολεμήσοντας αὐτῷ τοὺς δύο ὑπάτους, Ἵρτιον καὶ Πάνσαν, ἐξέπεμψε· Καίσαρι δὲ ῥαβδούχους καὶ ςρατηγικὸν κόσμον, ὡς δὴ προπολεμοῦντι τῆς πατρίδος, ἔπεισε ψηφίσασθαι τὴν σύγκλητον. ἐπεὶ δ' Ἀντώνιος μὲν ἥττητο, τῶν δ' ὑπάτων ἀμφοτέρων ἀποθανόντων, ἐκ τῆς μάχης πρὸς Καίσαρα συνέςησαν αἱ δυνάμεις, δείσασα ἡ βουλὴ νέον ἄνδρα, καὶ τύχῃ λαμπρᾷ κεχρημένον, ἐπειρᾶτο τιμαῖς καὶ δωρεαῖς ἀποκαλεῖν αὐτοῦ τὰ ςρατεύματα, καὶ περισπᾷν αὐτοῦ [4] τὴν δύναμιν, ὡς μὴ δεομένη τῶν προπολεμούντων, Ἀντωνίου πεφευγότος. οὕτως ὁ Καῖσαρ φο-



ut haec παρενθετικῶς interjecta esse quivis sentiat. R. susp. οὕτω γὰρ ὑπήει προσηνῶς τὸ μειράκιον αὐτὸν, *adolescens enim* (Octavius) *ita blande comiterque palpabatur Tullio, ut vel patrem appellitare nil dubitaret.* Corradus. Xyl. notante, male haec verba ad Ciceronem detorsit, vertens: *nam sic adolescenti se subjecit.*

1 qua de affectione mutuae inter Octavium Tulliumque caritatis. R.

2 Sic, probante Br. cum V. & Anon. & Interpp. dederunt B. & R. pro vulg. θεραπεύοντος.

3 R. susp. ἐφ' ἡγεμονίαις, *habuit eum super praefecturis*, h. e. *aliis atque aliis honoribus militaribus praefecit, in eorumque functione continuit.*

4 Abest αὐτοῦ a B. 3. quod probat Br.

φοβηθεὶς, ὑπέπεμπε τῷ Κικέρωνι τὲς δεομένες καὶ πείθοντας ὑπατείαν μὲν ἀμφοτέροις ὁμῦ πράττειν, χρῆσθαι δὲ τοῖς πράγμασιν, ὅπως αὐτὸς ἔγνωκε, παραλαμβάνοντα τὴν ἀρχὴν [1], καὶ τὸ μειράκιον διοικεῖν ὀνόματος καὶ δόξης γλιχόμενον. ὡμολόγει δὲ καὶ [2] Καῖσαρ αὐτὸς, ὡς δεδιὼς κατάλυσιν, καὶ κινδυνεύων ἔρημος γενέσθαι, χρήσαιτο τῇ Κικέρωνος ἐν δέοντι φιλαρχίᾳ· προτρεψάμενος αὐτὸν [3] ὑπατείαν μετιέναι, συμπράττοντος αὐτῷ καὶ συναρχαιρεσιάζοντος.

XLVI. Ἐνταῦθα μέντοι μάλιςα Κικέρων ἐπαρθεὶς ὑπὸ νέε γέρων, καὶ φενακισθεὶς, καὶ συναρχαιρεσιάσας, καὶ παρασχὼν αὐτῷ τὴν σύγκλητον, εὐθὺς μὲν ὑπὸ τῶν φίλων αἰτίαν εἶχεν, ὀλίγῳ δ' ὕςερον αὐτὸν ἀπολωλεκὼς ᾔσθετο, καὶ τῦ δήμε προϊέμενος τὴν ἐλευθερίαν [4]. αὐξηθεὶς γὰρ ὁ νεανίας, καὶ τὴν ὑπατείαν λαβὼν, Κικέρωνα μὲν εἴασε χαίρειν, Ἀντωνίῳ δὲ καὶ Λεπίδῳ φίλος γενόμενος, καὶ τὴν δύναμιν εἰς ταὐτὸ συνενεγκὼν, ὥσπερ ἄλλο τι κτῆμα τὴν ἡγεμονίαν ἐνείματο πρὸς αὐτές. καὶ κατεγράφησαν ἄνδρες, ὃς ἔδει θνήσκειν, ὑπὲρ διακοσίες. πλείςην δὲ τῶν ἀμφισβητημάτων αὐτοῖς ἔριν ἡ Κικέρωνος προγραφὴ παρέσχεν· Ἀντωνίε μὲν ἀσυμβάτως ἔχοντος, εἰ μὴ πρῶτος ἐκεῖνος ἀποθνήσκοι· Λεπίδε δ' Ἀντωνίῳ προστιθεμένε, Καί-

1 R. susp. ἔγνωκεν, ὑπολαμβάνοντα μετὰ τῆς ἀρχῆς καὶ τὸ μειράκιον δ. *existimantem, una cum honore* (consulatus) *adolescentem quoque in potestate sua fore, facile, quo vellet, versandum, quippe qui adolescens nomen clarum gloriamque appeteret.*

2 R. de suo addidit καί. *Quid? quod ipse adeo Caesar haud inficiabatur.*

3 αὐτὸν redit ad Tullium; seq. αὐτῦ ad Octavium. R.

4 Hoc totum (utcunque Dionis & Appiani testimonio fultum) B. judice, merito rejicit Middleton V. 3. p. 236. Audiendus est ipse Cicero *Ep. ad Brutum* 10. & 15.

Καίσαρος δὲ πρὸς ἀμφοτέρȣς ἀντέχοντος. ἐγίνοντο δ' αἱ σύνοδοι μόνοις ἀπόῤῥητοι περὶ πόλιν Βονωνίαν ἐφ' ἡμέρας τρεῖς, καὶ συνῄεσαν εἰς τόπον τινὰ πρόσω τῶν στρατοπέδων ποταμῷ περιῤῥεόμενον. λέγεται δὲ τὰς πρώτας ἡμέρας διαγωνισάμενος ὑπὲρ τȣ̃ Κικέρωνος ὁ Καῖσαρ, ἐνδȣ̃ναι τῇ τρίτῃ, καὶ προέσθαι τὸν ἄνδρα. τὰ δὲ τῆς ἀντιδόσεως ȣ̈τως εἶχεν. ἔδει Κικέρωνος ἐκστῆναι Καίσαρα, Παύλȣ δὲ, τἀδελφȣ̃, Λέπιδον, Λευκίȣ δὲ Καίσαρος [1] Ἀντώνιον, ὃς ἦν θεῖος αὐτῷ πρὸς μητρός. ȣ̈τως ἐξέπεσον ὑπὸ θυμȣ̃ καὶ λύσσης τῶν ἀνθρωπίνων λογισμῶν, μᾶλλον δ' ἀπέδειξαν, ὡς ȣ̓δὲν ἀνθρώπȣ θηρίον ἐστὶν ἀγριώτερον, ἐξȣσίαν πάθει προσλαβόντος.

XLVII. Πραττομένων δὲ τȣ́των, ὁ Κικέρων ἦν μὲν ἐν ἀγροῖς ἰδίοις περὶ Τȣ̃σκλον, ἔχων τὸν ἀδελφὸν μεθ' αὐτȣ̃. πυθόμενοι δὲ τὰς προγραφὰς, ἔγνωσαν εἰς Ἄστυρα [2] μεταβῆναι, χωρίον πάραλον τȣ̃ Κικέρωνος· ἐκεῖ-



1 L. Aemilius Paulus, M. Aemilii Lepidi frater, Consul erat A. V. C. 703. quo tempore, ut a Caesaris partibus staret, ingenti mercede redemptus fuisse dicitur. Sueton. in Jul. 29. Post victoriam autem Mutinensem auctor erat Senatui, ut legiones quarta & Martia D. Bruto traderentur (Ep. Fam. 11, 19.) & fratrem suum pro hoste habendum censuit. (*Appian.* L. 4.) — L. Julius Caesar Consul erat A. V. C. 689. civis in multis magnisque Reip. temporibus spectatus, in condemnando Lentulo sororis suae viro, (*Phil.* 2, 6.) tum in sententiis contra Antonium sororis suae filium dicendis. (*Phil.* 8, 1. *Ep. Fam.* 10, 28.) Neuter interea eorum occisus est. Paulus enim beneficio centurionum servatus ad M. Brutum trajecit, quo interfecto Miletum se contulit, neque victorum beneficio eum ad patriam revocantium uti voluit. L. Caesarem tutum praestitit soror sua, Antonii mater. B.

2 Anon. εἰς θάλασσαν πρὸς Ἄστυρα. Astura erat insula exigua in ostio fluvii Asturae, inter Antium & Circaeum sita. Ad hujus loci solitudinem confugit Cicero post mortem Tulliae, ad Att. 12, 40. B.

ἐκεῖθεν δὲ πλεῖν εἰς Μακεδονίαν πρὸς Βρῦτον. ἤδη γὰρ ὑπὲρ αὐτῦ λόγος ἐφοίτα κρατῦντος. ἐκομίζοντο δ' ἐν φορείοις, ἀπειρηκότες ὑπὸ λύπης· καὶ κατὰ τὴν ὁδὸν ἐφιςάμενοι, καὶ τὰ φορεῖα παραβαλόντες [1], ἀλλήλοις προσωλοφύροντο. μᾶλλον δ' ὁ Κόϊντος ἠθύμει, καὶ λογισμὸς αὐτὸν [2] εἰσῄει τῆς ἀπορίας. ὐδὲν γὰρ ἔφη [3] λαβεῖν οἴκοθεν. ἀλλὰ καὶ τῷ Κικέρωνι γλίσχρον ἦν ἐφόδιον. ἄμεινον ὖν εἶναι, τὸν μὲν Κικέρωνα προλαμβάνειν τῇ φυγῇ, αὐτὸν δὲ μεταθεῖν, οἴκοθεν συσκευασάμενον [4]. ταῦτ' ἔδοξε· καὶ περιβαλόντες [5] ἀλλήλυς καὶ ἀνακλαυσάμενοι διελύθησαν. ὁ μὲν ὖν Κόϊντος ὐ πολλαῖς ὕςερον ἡμέραις ὑπὸ τῶν οἰκετῶν προδοθεὶς τοῖς ζητῦσιν, ἀνῃρέθη μετὰ τῦ παιδός. ὁ δὲ Κικέρων εἰς Ἄςυρα κομισθεὶς, καὶ πλοῖον εὑρὼν, εὐθὺς ἐνέβη, καὶ παρέπλευσεν ἄχρι Κιρκαίυ, πνεύματι χρώμενος. ἐκεῖθεν δὲ βυλομένων εὐθὺς αἴρειν τῶν κυβερνητῶν, εἴτε δείσας τὴν θάλασσαν, εἴτ' ὔπω παντάπασι τὴν

1 Sic R. dedit de ſuo pro vulg. παραβάλλοντος. Id. diſtinctionem, quae eſt in vulgatis, mutavit, comma dans poſt παραβ. ut ἀλλήλοις non ad lecticas, ſed ad fratres ipſos referatur. Depoſitis lecticis, ita ut altera alteram contingeret, hi duo fratres inter ſe collamentabantur. ἀλλήλοις idem eſt ac πρὸς ἀλλήλυς.

2 Sic cum Junt. legi voluit Duſ. & dederunt R. & B. pro vulg. λογισμὺς αὐτός. Juntinae conſentiunt Ald. & Crat. R. ſuſp. ἠθύμει, ὅτι καὶ λογ. *Quintus dejectior etiam erat animi, quam Marcus, propterea quod, praeter reliquas temporis moleſtias, etiam inopiae recordatio ipſum ſubibat.*

3 Br. probaſſet ἔφθη pro ἔφη, niſi mox ſequeretur εἶναι.

4 Duſ. ſcribendum cenſuit συσκευασόμενον. R. autem bene monet, ſi μεταθεῖν ſit *retro currere*, ad domum ſuam, tum legendum eſſe in futuro: *ad res domi convaſandum, & inde auferendum neceſſaria itineri;* Sin autem μεταθεῖν ſit *eum, qui anteceſſiſſet, perſequi, veſtigia ejus premere, pone eum eadem via proficiſci, nachkommen,* tum vulgatam bene habere.

5 B. 3. & Junt. περιλαβόντες.

τὴν [1] Καίσαρος ἀπεγνωκὼς πίστιν, ἀπέβη, καὶ παρῆλθε πεζῇ σταδίους ἑκατὸν, ὡς εἰς Ῥώμην πορευόμενος. αὖθις δ' ἀλύων καὶ μεταβαλλόμενος κατῄει πρὸς θάλασσαν [2]. κἀκεῖ διενυκτέρευσεν ἐπὶ δεινῶν καὶ ἀπόρων λογισμῶν, ὥστε καὶ παρελθεῖν εἰς τὴν Καίσαρος οἰκίαν διενοήθη κρύφα, καὶ σφάξας ἑαυτὸν ἐπὶ τῆς ἑστίας ἀλάστορα προσβαλεῖν. ἀλλὰ καὶ ταύτης αὐτὸν ἀπέκρουσε τῆς ὁδοῦ δέος βασάνων. καὶ τἄλλα ταραχώδη πάλιν προβουλεύματα τῆς γνώμης μεταλαμβάνων παρέδωκε τοῖς οἰκέταις ἑαυτὸν εἰς Καπίτας κατὰ πλοῦν κομίζειν [3], ἔχων ἐκεῖ χωρία καὶ καταφυγὴν ὥρᾳ θέρους φιλάνθρωπον, ὅταν ἥδιστον οἱ ἐτησίαι καταπνέωσιν. ἔχει δ' ὁ τόπος καὶ ναὸν Ἀπόλλωνος μικρὸν ὑπὲρ τῆς θαλάττης. ἐντεῦθεν ἀρθέντες ἀθρόοι κόρακες [4], ὑπὸ κλαγγῆς προσεφέροντο τῷ πλοίῳ τοῦ Κικέρωνος ἐπὶ γῆν ἐρεσσομένῳ· καὶ καθίσαντες ἐπὶ τὴν κεραίαν ἑκατέρωθεν, οἱ μὲν ἐβόων, οἱ δ' ἔκοπτον τὰς τῶν μηρυμάτων ἀρχάς· καὶ πᾶσιν ἐδόκει τὸ σημεῖον εἶναι πονηρόν. ἀπέβη δ' οὖν ὁ Κικέρων, καὶ παρελθὼν εἰς τὴν ἔπαυλιν, ὡς ἀνα-



1 Vitiose Br. sola τὸν. R. restituit τὴν.

2 Teste H. Steph. in quibusdam vet. codd. additur εἰς Ἄστυρα. Sic V.

3 Ad hunc locum e V. enotatur lectio varians καὶ παλίντροπα βουλεύματα, ex Anon. παλίντροπα Καιήτης κατὰ πλοῦν βουλεύματα. Unde Br. & Duf. pro Καπίτας legendum colligunt Καιάταν, vel quocunque demum pacto Graece *Cajetam* scriptam voluerit Plutarchus. Appianus prope *Capuam* interfectum fuisse ait. Val. Max. in villa Cajetana factum tradit. Xylandro Cajeta legendum videbatur. B. dedit Καιήτην, hisce adjectis: „Reddunt Interpp. Capuam, quo tamen Cicero navigio pervenire non potuit, nisi per amnem Vulturnum delatus: nec ullum esse potuit consilium a salute sua alienius, aut ab instituto Macedoniam petendi: Nam quod Appianus dicit, Ciceronem interfectum esse in villa sua ἀμφὶ Καπύην πόλιν, alia res est, & non incommode de Formiano intelligi potest, ubi (aut quod eodem redit, Cajetae) periisse Ciceronem omnes consentiunt.

4 Vide Val. Max. 1, 4. & Aurel. Vict. B.

παυσόμενος κατεκλίθη. τῶν δὲ κοράκων οἱ πολλοὶ μὲν ἐπὶ τῆς θυρίδος διεκάθηντο φθεγγόμενοι θορυβῶδες· εἷς δὲ καταβὰς ἐπὶ τὸ κλινίδιον, ἐγκεκαλυμμένȣ τȣ Κικέρωνος, ἀπῆγε τῷ ϛόματι κατὰ μικρὸν ἀπὸ τȣ προσώπȣ τὸ ἱμάτιον. οἱ δ' οἰκέται ταῦθ' ὁρῶντες, καὶ κακίσαντες ἑαυτὲς, εἰ περιμένȣσι τȣ δεσπότȣ φονευομένȣ θεαταὶ γενέσθαι, θηρία δ' αὐτῷ [1] βοηθεῖ καὶ προκήδεται παρ' ἀξίαν πράττοντος, αὐτοὶ δ' ȣκ ἀμύνȣσι· τὰ μὲν δεόμενοι, τὰ δὲ βίᾳ λαβόντες, ἐκόμιζον ἐν τῷ φορείῳ πρὸς τὴν θάλασσαν.

XLVIII. Ἐν τȣτῳ δ' οἱ σφαγεῖς ἐπῆλθον, ἑκατοντάρχης Ἑρέννιος καὶ Ποπίλλιος [2] χιλίαρχος, ᾧ πατροκτονίας ποτὲ δίκην φεύγοντι συνεῖπεν ὁ Κικέρων, ἔχοντες ὑπηρέτας. ἐπεὶ δὲ τὰς θύρας κεκλεισμένας εὑρόντες ἐξέκοψαν, ȣ φαινομένȣ τȣ Κικέρωνος, ȣδὲ τῶν ἔνδον εἰδέναι φασκόντων, λέγεται, νεανίσκον τινὰ, τεθραμμένον μὲν ὑπὸ τȣ Κικέρωνος ἐν γράμμασιν ἐλευθερίοις καὶ μαθήμασιν, ἀπελεύθερον δὲ Κοΐντȣ, τȣ ἀδελφȣ, Φιλόλογον [3] τȣνομα, φράσαι τῷ χιλιάρχῳ τὸ φορεῖον κομιζόμενον διὰ τῶν καταφύτων καὶ συσκίων περιπάτων ἐπὶ τὴν θάλατταν. ὁ μὲν ȣν χιλίαρχος, ὀλίγȣς ἀναλαβὼν μεθ' ἑαυτȣ, περιέθει πρὸς τὴν ἔξοδον. τȣ δ' Ἑρεννίȣ δρόμῳ φερομένȣ διὰ τῶν περιπάτων ὁ Κικέρων ᾔσθετο, καὶ τȣς οἰκέτας ἐκέλευσεν ἐνταῦθα καταθέσθαι τὸ φορεῖον. αὐτὸς δ', ὥσπερ εἰώθει, τῇ ἀριϛερᾷ χειρὶ τῶν γενείων ἁπτόμενος, ἀτενὲς ἐνεώρα [4] τοῖς σφα-

1 Sic cum Anon. Duſ. dari voluit, & ſic e Junt. R. dedit pro vulg. αὐτȣ. Eſt quoque αὐτῷ in Ald. & Crat.

2 Sic dandum eſſe docuit Xyl. & correxit Steph. In edd. prioribus uti & in B. 3. dicitur Πίλλιος. Herennii nomen, niſi apud Noſtrum & Euſebium, non occurrit.

3 Cicero ad Quint. Fr. 1, 3. vocat *Philogonum*. Duſ.

4 Sic Duſ. dari voluit ob ſeq. dativum pro vulg. ἑώρα, deditque R. Dativum eſſe fortaſſe propter adverbium ἀτενὲς, B.

σφαγεῦσιν, αὐχμῦ καὶ κόμης ἀνάπλεως, καὶ συντετηκὼς ὑπὸ φροντίδων τὸ πρόσωπον· ὥϛε τὰς πλείϛας ἐγκαλύψαθαι τῦ Ἐρεννίυ σφάζοντος αὐτόν. ἐσφάγη [1] δὲ τὸν τράχηλον ἐκ τῦ φορείυ προτείνας, ἔτος ἐκεῖνο γεγονὼς ἑξηκοϛὸν καὶ τέταρτον [2]. τὴν δὲ κεφαλὴν ἀπέκοψεν αὐτῦ καὶ τὴν χεῖρα [3], Ἀντωνίυ κελεύσαντος, ᾗ τὰς Φιλιππικὰς ἔγραψεν [4]. αὐτός τε γὰρ ὁ Κικέρων τὰς κατ' Ἀντωνίυ λόγυς Φιλιππικὰς ἐπέγραψε, καὶ μέχρι νῦν τὰ βιβλία Φιλιππικοὶ καλῦνται.

XLIX. Τῶν δ' ἀκρωτηρίων εἰς Ῥώμην κομιθέντων, ἔτυχε μὲν ἀρχαιρεσίας τελῶν ὁ Ἀντώνιος, ἀκύσας δὲ καὶ ἰδὼν ἀνεβόησεν, ὡς νῦν αἱ προγραφαὶ τέλος ἔχοιεν. τὴν δὲ κεφαλὴν καὶ τὰς χεῖρας ἐκέλευσεν ὑπὲρ τῶν ἐμβόλων ἐπὶ τῦ βήματος θεῖναι, θέαμα Ῥωμαίοις φρικτὸν, ὐ τὸ Κικέρωνος ὁρᾷν πρόσωπον οἰομένοις, ἀλλὰ τῆς Ἀντωνίυ ψυχῆς εἰκόνα. πλὴν ἕν γέ τι φρονήσας μέτριον ἐν τύτοις, Πομπωνίᾳ, τῇ Κοΐντυ γυναικὶ, τὸν Φιλόλογον παρέδωκεν. ἡ δὲ, κυρία γενομένη τῦ σώματος, ἄλλαις τε δειναῖς ἐχρήσατο τιμωρίαις, καὶ τὰς σάρκας ἀποτέμνοντα τὰς αὐτῦ κατὰ μικρὸν, ὀπτᾷν, εἶτ' ἐσθίειν ἠνάγκασεν. ὕτω γὰρ ἔνιοι τῶν συγγραφέων ἱϛορήκασιν· ὁ δ' αὐτῦ τῦ Κικέρωνος ἀπελεύθερος, Τύρων [5], τοπαράπαν ὐδὲ μέμνηται τῆς τῦ Φιλο-

B. monet, ad exemplum verbi ἀτενίζειν τινὶ, in ſacris literis obvii.

1 Scribit *Ptol. Hephaeſtion* l. 8. c. 5. Ciceroni in lectica Medeam Euripidis legenti cervicem excifam fuiſſe. B.

2 Livius dicit LXXIII. Cruſer.

3 Sic R. dedit ex Vita Antonii c. 20. χεῖρα — ᾗ pro vulg. χεῖρας, αἷς. At cur ſeq. capite non mutatum reliquit τὰς χεῖρας?

4 Deeſt ἔγραψεν Juntinae.

5 Hoc loco Anon. nomen hoc Τίρων habet, quam ſcripturam Duſ. genuinam cenſet. Eam exhibet hoc loco & ſupra Crat. in Junt. & Ald. datur Τήρων.

φιλολόγυ προδοσίας. πυνθάνομαι δὲ, Καίσαρα χρόνοις πολλοῖς ὕστερον εἰσελθεῖν πρὸς ἕνα τῶν θυγατριδῶν· τὸν δὲ, βιβλίον ἔχοντα Κικέρωνος ἐν ταῖς χερσὶν, ἐκπλαγέντα τῷ ἱματίῳ περικαλύπτειν· ἰδόντα δὲ Καίσαρα, λαβεῖν καὶ διελθεῖν ἑστῶτα μέρος πολὺ τοῦ βιβλίου· πάλιν δ' ἀποδιδόντα τῷ μειρακίῳ, φάναι· Λόγιος ἀνὴρ, ὦ παῖ, λόγιος καὶ φιλόπατρις. ἐπεὶ μέντοι τάχιστα κατεπολέμησεν Ἀντώνιον, ὑπατεύων αὐτὸς εἵλετο συνάρχοντα [1] τοῦ Κικέρωνος τὸν υἱὸν, ἐφ' οὗ τάς τ' εἰκόνας ἡ βουλὴ ἀνεῖλεν Ἀντωνίου, καὶ τὰς ἄλλας ἠκύρωσε τιμὰς, καὶ προσεψηφίσατο, μηδενὶ τῶν Ἀντωνίων ὄνομα Μάρκον εἶναι. οὕτω τὸ δαιμόνιον εἰς τὸν Κικέρωνος οἶκον ἐπανήνεγκε τὸ τέλος τῆς Ἀντωνίου κολάσεως.

# COMPARATIO DEMOSTHENIS CVM CICERONE.

Ἃ μὲν οὖν ἄξια μνήμης τῶν περὶ Δημοσθένους καὶ Κικέρωνος ἱστορουμένων εἰς τὴν ἡμετέραν ἀφῖκται γνῶσιν, ταῦτ' ἐστίν. ἀφεικὼς δὲ τὸ συγκρίνειν τὴν ἐν τοῖς λόγοις ἕξιν αὐτῶν, ἐκεῖνό μοι δοκῶ μὴ παρήσειν ἄῤῥητον, ὅτι Δημοσθένης μὲν εἰς τὸ ῥητορικὸν ἐνέτεινε πᾶν, ὅσον εἶχεν ἐκ φύσεως, ἢ ἀσκήσεως, λόγιον, ὑπερβαλλόμενος ἐνεργείᾳ [2] μὲν καὶ δεινότητι τοὺς ἐπὶ τῶν ἀγώνων καὶ τῶν δικῶν συνεξεταζομένους, ὄγκῳ δὲ καὶ μεγαλοπρεπείᾳ τοὺς ἐπιδεικτικοὺς, ἀκριβείᾳ δὲ [3] καὶ τέχνῃ τοὺς

1 In partem anni post V. C. 723. B.

2 V. ἐναργείᾳ, quod & maluit R.

3 abest δὲ a B. 3. Iunt. & Crat. — habet id quidem Ald. omittit autem sequens καὶ. B. annotat, complecti his verbis Plutarchum tria genera dicendi, secundum notam Aristotelis divisionem *Rhet.* I. 3. δικανικὸν, ἐπιδεικτικὸν, συμβουλευτικὸν, quae cum Quintiliano vocare potes *juridiciale*, *demonstrativum*

τὰς σοφιςάς. Κικέρων δὲ, καὶ πολυμαθὴς καὶ ποικίλος τῇ περὶ τὰς λόγας σπεδῇ γενόμενος, συντάξεις μὲν ἰδίας Φιλοσόφας ἀπολέλοιπεν ὀκ ὀλίγας εἰς τὸν Ἀκαδημαϊκὸν τρόπον· ὀ μὴν ἀλλὰ καὶ διὰ τῶν πρὸς τὰς δίκας καὶ τὰς ἀγῶνας γραφομένων λόγων δῆλός ἐςιν ἐμπειρίαν τινὰ γραμμάτων παρεπιδείκνυσθαι βελόμενος. ἔςι δέ τις καὶ τὰ ἤθας ἐν τοῖς λόγοις ἑκατέρα δίοψις. ὁ μὲν γὰρ Δημοσθενικὸς [1] ἔξω παντὸς ὡραϊσμὰ καὶ παιδιᾶς εἰς δεινότητα καὶ σπαδὴν συνηγμένος, ὀκ ἐλλυχνίων ὄδωδεν, ὥσπερ ὁ Πυθέας ἔσκωπτεν, ἀλλ' ὑδροποσίας καὶ Φροντίδων, καὶ τῆς λεγομένης πικρίας τὰ τρόπα καὶ συγνότητος· Κικέρων δὲ πολλαχᾶ τῷ σκωπτικῷ πρὸς τὸ βωμολόχον ἐκφερόμενος, καὶ πράγματα σπεδῆς ἄξια γέλωτι καὶ παιδιᾷ κατειρωνευόμενος ἐν ταῖς δίκαις εἰς τὸ χρειῶδες, ἠφείδει τὰ πρέποντος. ὥσπερ ἐν τῇ Κελία [2] συνηγορίᾳ, μηδὲν ἄτοπον ποιεῖν αὐτὸν ἐν τοσαύτῃ πολυτελείᾳ καὶ τρυφῇ ταῖς ἡδοναῖς χρώμενον. τὸ γὰρ, ὧν ἔξεσι, μὴ μετέχειν, μανικὸν εἶναι, καὶ ταῦτα, ἐν ἡδονῇ τὸ εὔδαιμον τῶν ἐπιφανεςάτων Φιλοσόφων τιθεμένων. λέγεται δὲ, Κάτωνος Μερήναν διώκοντος, ὑπατεύων ἀπολογεῖσθαι [3], καὶ πολλὰ διὰ τὸν Κάτωνα κωμῳδεῖν τὴν Στωϊκὴν αἵρεσιν, ἐπὶ ταῖς ἀτοπίαις τῶν παραδόξων λεγομένων δογμάτων· γέλωτος δὲ λαμπρᾶ

vum f. *laudativum*, *deliberativum* f. *suasorium*. *Iust*. *Or*. 3, 7. 8. 9.

1 Duf. dubius, quonam ὁ Δημοσθ. referendum sit, cum non conveniat substantivis ἦθος & δίοψις, quae praecessere, scribi voluit ὁ Δημοσθένης, uti & infra scriptum occurrat ὁ Κικέρων, aut substantivum, quod exciderit, exhiberi. Facile autem quivis cum B. λόγος subintelliget.

2 Etiam hoc loco Junt. habet Κεκιλία. Duf. scribi vult Κοιλία, ut supra. Extat haec pro Coelio Oratio. Negat Dacier. in ea reperiri sententiam, quam carpit Noster. Attamen c. 17. notante Duf. & B. leges, quae proxime ad Plutarchi sententiam accedunt.

3 R. susp. ὑπεραπολογεῖσθαι τὰ φεύγοντος.

πρῦ κατιόντος ἐκ τῶν περιεςώτων πρὸς τὲς δικαςὰς, ἡσυχῆ διαμειδιάσας ὁ Κάτων [1] πρὸς τὲς καθημένες εἰπεῖν· Ὡς γελοῖον, ὦ ἄνδρες, ἔχομεν ὕπατον. δοκεῖ δὲ καὶ γέλωτος οἰκεῖος ὁ Κικέρων γεγονέναι, καὶ φιλοσκώπτης· τό τε [2] πρόσωπον αὐτῦ μειδίαμα καὶ γαλήνην παρεῖχε. τῷ δὲ Δημοσθένες ἀεί τις ἐπῆν σπεδὴ, καὶ τὸ πεφροντικὸς τῦτο [3] καὶ σύννεν ἐ ῥαδίως ἀπέλιπεν. ὅθεν καὶ δύσκολον αὐτὸν οἱ ἐχθροὶ καὶ δύστροπον, ὡς αὐτός φησιν, ἀπεκάλεν.

II. Ἔτι τοίνυν ἐν τοῖς συγγράμμασι κατιδεῖν ἐςι, τὸν μὲν ἐμμελῶς καὶ ἀνεπαχθῶς τῶν εἰς αὐτὸν ἁπτόμενον ἐγκωμίων, ὅτε τῦτε δεήσαι πρὸς ἕτερόν τι μεῖζον, τἄλλα δ' εὐλαβῆ καὶ μέτριον· ἡ δὲ Κικέρωνος ἐν τοῖς λόγοις ἀμετρία τῆς περιαυτολογίας [4] ἀκρασίαν τινὰ κατηγόρει πρὸς δόξαν, βοῶντος, ὡς τὰ ὅπλα ἔδει τῇ τηβέννῳ καὶ τῇ γλώττῃ τὴν θριαμβικὴν ὑπείκειν δάφνην [5]. τελευτῶν δ' ἐ τὰ ἔργα καὶ τὰς πράξεις μόνον, ἀλλὰ καὶ τὲς λόγες ἐπαινεῖ τὲς εἰρημένες ὑπ' αὐτῦ καὶ γεγραμμένες [6], ὥσπερ Ἰσοκράτει καὶ Ἀναξιμένει, τοῖς σοφι-

1 A vulgatis absunt haec duo vocabula ὁ Κάτων, quae R. inferuit.

2 Duf. mavult γε.

3 Vulgo fic extat σπεδὴ καὶ τὸ πεφροντικός. τῦτῳ καὶ σύννεν — Prava haec effe, Br. monuit, & cum V. & Anon. dari voluit mutata interpunctione σπεδὴ· καὶ τὸ φροντιςικὸν τῦτο καὶ &c. R. & B. affumto commate poft σπεδὴ receperunt τῦτο. R. infuper fufpicatur καὶ τὸ πεφροντικὸς αὐτὸ καὶ σύννεν — *neque facile illum* (vultum Demofthenis: αὐτὸ redeunte ad πρόσωπον) *relinquebat meditabunda fpecies, hominem prodens, cui mens eft in femet alte demerfa affiduis cogitationibus.* Praefert tamen, quod ipfe dedit, & ad ἀπέλιπεν fubaudiendum monet αὐτό.

4 B. 3. Junt. Ald. Crat. περιταυτολογίας.

5 Intelligit notum Ciceronis verfum: *Cedant arma togae, concedat laurea linguae.*

6 Conferas cum hoc judicio Quintiliani de Cicerone fententiam Inft. Orat. II. 1.

σοφισαῖς, διαμειρακευόμενος, ἐ τὸν Ῥωμαίων δῆμον ἄγειν ἀξιῶν καὶ ὀρθὸν,

Βριθὺν [1], ὁπλιτοπάλαν, δάϊον ἀντιπάλοις.

ἰχύειν μὲν γὰρ διὰ λόγε τὸν πολιτευόμενον ἀναγκαῖον, ἀγαπᾶν δ' ἀγεννὲς καὶ λιχνεύειν τὴν ἀπὸ τε λόγε δόξαν. ὅθεν ἐμβριθέϛερος ταύτῃ καὶ μεγαλοπρεπέϛατος [2] ὁ Δημοσθένης, τὴν μὲν αὐτε δύναμιν ἐμπειρίαν τινὰ πολλῆς δεομένην τῆς παρὰ τῶν ἀκροωμένων εὐνοίας ἀποφαινόμενος, ἀνελευθέρες δὲ καὶ βαναύσες, ὥσπερ εἰσὶ, τὲς ἐπὶ τέτῳ φυσωμένες ἡγέμενος.

III. Ἡ μὲν ἐν ἐν τῷ δημηγορεῖν καὶ πολιτεύεθαι δύναμις ὁμαλῶς ἀμφοτέροις ὑπῆρξεν, ὥϛε καὶ τὲς τῶν ὅπλων καὶ ϛρατοπέδων κυρίες δεῖθαι· Δημοσθένες μὲν, Χάρητα καὶ Διοπείθην καὶ Λεωσθένην [3]. Κικέρωνος δὲ, Πομπήϊον καὶ Καίσαρα τὸν νέον, ὡς αὐτὸς ὁ Καῖσαρ ἐν τοῖς πρὸς Ἀγρίππαν καὶ Μαικήναν ὑπομνήμασιν εἴρηκεν [4]. ὃ δὲ δοκεῖ μάλιϛα καὶ λέγεται τρόπον ἀνδρὸς ἐπιδεικνύναι καὶ βασανίζειν, ἐξεσία καὶ ἀρχὴ, πᾶν πάθος κινεσα, καὶ πᾶσαν ἀποκαλύπτεσα κακίαν, Δημοσθένει μὲν ἐχ ὑπῆρξεν, ἐδ' ἔδωκε τοιαύτην διάπειραν ἑαυτε, μηδεμίαν ἀρχὴν τῶν ἐπιφανῶν ἄρξας, ἐδὲ τῆς ὑφ' ἑαυτε συντεταγμένης ἐπὶ Φίλιππον ἐϛρατήγησε δυνάμεως· Κικέρων δὲ, ταμίας εἰς Σικελίαν, καὶ ἀνθύπατος εἰς Κιλικίαν καὶ Καππαδοκίαν ἀποϛαλεὶς, ἐν ᾧ καιρῷ τῆς φιλοπλετίας ἀκμαζέσης, καὶ τῶν πεμπομένων ϛρατηγῶν καὶ ἡγεμόνων, ὡς τε κλέπτειν ἀγεννες ὄντος, ἐπὶ τὸ ἁρπάζειν τρεπομένων, ἐ τὸ λαμβάνειν ἐδόκει δεινὸν, ἀλλ' ὁ μετρίως τετο ποιῶν ἠγαπᾶτο· πολλὴν

1 Versus Aeschyli.

2 H. Steph. voluit *μεγαλοπρεπέϛερος*. Sic est in Anon.

3 B. 3. Λεωσθένη. V. Κλεωσθένη.

4 Scripsit Octavius aliqua de vita sua, quam tredecim libris, Cantabrico tenus bello, nec ultra, exposuit. *Sueton. in Octav.* 85.

λὴν μὲν ἐπίδειξιν ὑπεροψίας χρημάτων ἐποιήσατο, πολλὴν δὲ Φιλανθρωπίας καὶ χρηςότητος. ἐν αὐτῇ δὲ τῇ Ῥώμῃ, λόγῳ μὲν ἀποδειχθεὶς ὕπατος, ἐξȣσίαν δὲ λαβὼν αὐτοκράτορος καὶ δικ]άτωρος ἐπὶ τὰς περὶ Κατιλίναν, ἐμαρτύρησεν ἅμα τῷ Πλάτωνι [1], μαντευομένῳ παῦλαν ἕξιν κακῶν τὰς πόλεις, ὅταν εἰς ταὐτὸ δύναμίς τε μεγάλη καὶ Φρόνησις ἔκ τινος τύχης χρηςῆς ἀπαντήσῃ μετὰ δικαιοσύνης. χρηματίσαθαι τοίνυν ἐπὶ τῷ λόγῳ [2] Δημοσθένης μὲν ἐπιψόγως λέγεται, λογογραΦῶν κρύΦα τοῖς περὶ Φορμίωνα καὶ Ἀπολλόδωρον ἀντιδίκοις· καὶ διαβληθεὶς μὲν ἐπὶ τοῖς βασιλικοῖς χρήμασιν, ὄΦλων δὲ τῶν Ἁρπαλείων. εἰ δὲ [3] ταῦτα τȣς ἀντιγράΦοντας [4] (ἐκ ὀλίγοι δ' εἰσὶν ȣ̃τοι) ψεύδεθαι Φαίημεν, ἀλλ' ὅτι γε πρὸς δωρεὰς βασιλέων σὺν χάριτι καὶ τιμῇ διδομένας ἀντιβλέψαι Δημοσθένης ἐκ ἂν ἐτόλμησεν, ȣ̓δ' ἦν τȣ̃το τὸ ἔργον [5] ἀνθρώπȣ δανεί]ζον]ος ἐπὶ ναυτικοῖς [6], ἀμήχανον ἀντειπεῖν. περὶ δὲ Κικέρωνος, ὅτι καὶ Σικελιωτῶν ἀγορανομȣ̃ν]ι, καὶ βασιλέως τȣ̃ Καππαδοκῶν ἀνθυπατεύον]ι, καὶ τῶν ἐν Ῥώμῃ Φίλων, ὅτ' ἐξέπιπ]ε τῆς πόλεως, δωρȣμένων πολλὰ καὶ δεομένων λαβεῖν, ἀντέσχεν, εἴρηται.

IV. Καὶ μὴν ἥ γε Φυγὴ τῷ μὲν αἰσχρὰ, κλοπῆς ἁλόν]ι, συνέπεσε, τῷ δὲ, κάλλιςον ἔργον [7], ἀνθρώπȣς ἀλι-

1 De Rep. V. quamvis verba aliquantum discrepent. Duf.

2 R. susp. ἀπὸ ]ῶν λόγων, nec non paulo post ἐπὶ ψόγῳ pro ἐπιψόγως.

3 R. addendum susp. καὶ.

4 B. 3. & V. γράΦοντας, quod Duf. probat.

5 R. mavult abesse articulum ]ὸ.

6 Apud Athenienses ναυτικὸς ]όκος fuit ἐπίμεμπ]ος. *Int. Angl.* Hoc genus foenoris Plutarcho valde displicuisse, apparet quoque ex *Cat. maj.* c. 21. T. II. p. 419. l. 2. 3.

7 R. mavult καλλίςων ἔργων, subaudiendo aut ἕνεκεν, aut e prae-

ἀλιτηρίους ἐκκόψαντι τῆς πατρίδος. διὸ τοῦ μὲν οὐδεὶς λόγος ἐκπίπτοντος, ἐφ' ᾧ δ' ἡ σύγκλητος ἐσθῆτά τε διήλλαξε, καὶ πένθος ἔχε, καὶ γνώμην ὑπὲρ οὐδενὸς εἰπεῖν ἐπείσθη πρότερον, ἢ Κικέρωνι κάθοδον ψηφίσασθαι. τὴν μέντοι φυγὴν ἀργῶς ὁ Κικέρων διήνεγκεν ἐν Μακεδονίᾳ καθήμενος· τῷ δὲ Δημοσθένει καὶ ἡ φυγὴ μέγα μέρος τῆς πολιτείας γέγονε. συναγωνιζόμεμενος γὰρ, ὥσπερ εἴρηται, τοῖς Ἕλλησι, καὶ τοὺς Μακεδόνων πρέσβεις ἐξελαύνων, ἐπήρχετο τὰς πόλεις, πολὺ βελτίων Θεμιστοκλέους καὶ Ἀλκιβιάδου παρὰ τὰς αὐτὰς τύχας φανεὶς πολίτης. καὶ μέντοι κατελθὼν [1] αὖθις ἑαυτὸν ἐπέδωκεν εἰς τὴν αὐτὴν ταύτην πολιτείαν· καὶ διετέλει πολεμῶν πρὸς Ἀντίπατρον καὶ Μακεδόνας [2]. Κικέρωνα δ' ὠνείδισεν ἐν τῇ βουλῇ Λαίλιος [3], αἰτουμένου Καίσαρος ὑπατείαν μετιέναι [4] παρὰ νόμον [5], οὔπω γενειῶντος, σιωπῇ καθήμενον. ἔγραφε δὲ καὶ [6] Βροῦτος, ἐγκαλῶν ὡς μείζονα καὶ βαρυτέραν

praemiſſis ἁλόντι: quia Ciceroni pro enormi crimine imputabatur, quod factionem Catilinae, homines nempe inſontes & egregie de republica meritos, oppreſſiſſet.

1 Sic Br. absque ulla correctionis nota, haud dubie Anonymum, ex quo in ind. Frſt. κατελθὼν enotatur, ſecutus, dediſſe videtur pro κατελθεῖν, quod omnes editiones priores exhibent.

2 Junt. ſola Ἀντίπατρον Μακεδονίας.

3 D. Laelius, ut B. notat, qui Aſiaticis Pompeji navibus praeerat in bello civili. *Caeſ. de Bell. civ.* 3, 5. Victo in Africa Cornificio, ſe ipſum interemit.

4 R. monente, αἰτουμένου μετιέναι, idem eſt, atque αἰτουμένου τὸ μετιέναι, *rogante ambitionem conſulatus*, h. e. τὴν ἐξουσίαν μετιέναι, *veniam conſulatum ambiendi.*

5 Sic duabus vocibus ſcribi voluit Br. deditque R. Vulgo una voce παράνομον.

6 Sola Br. omiſit καί. R. reſtituit cum B.

ραν πεπαιδοτριβηκότι τυραννίδα τῆς ὑπ' αὐτῶν καταλυθείσης.

V. Ἐπὶ πᾶσι δὲ τῆς τελευτῆς, τὸν μὲν οἰκτείραι τις, ἄνδρα πρεσβύτην δι' ἀγένειαν [1] ὑπ' οἰκετῶν ἄνω καὶ κάτω περιφερόμενον [2] καὶ περιφεύγοντα τὸν θάνατον καὶ ἀποκρυπτόμενον τὰς ϰ πολὺ πρὸ τῆς φύσεως ἥκοντας [3] ἐπ' αὐτὸν, εἶτ' ἀποσφαγέντα· τῦ δ', εἰ καὶ μικρὰ πρὸς τὴν ἱκετείαν ἐνέδωκεν, ἀγαςὴ μὲν ἡ παρασκευὴ τῦ φαρμάκϰ καὶ τήρησις, ἀγαςὴ δ' ἡ χρῆσις· ὅτι τῦ θεῦ [4] μὴ παρασχόντος αὐτῷ τὴν ἀσυλίαν, ὥσπερ ἐπὶ μείζονα βωμὸν [5] καταφυγὼν, ἐκ τῶν ὅπλων καὶ τῶν δορυφόρων λαβὼν ἑαυτὸν ᾤχετο, τῆς Ἀντιπάτρϰ καταγελάσας ὠμότητος.

ΑΡΤΟ-

1 Sic cum Anon. dari voluit Duf. & dederunt B. & R. pro vulg. εὐγένειαν. Idem Duf. monet οἰκτείραι significare hoc loco *taedere*, & culpam aliquam ignaviae & imbecillitatis connotari.

2 *jusserit* vel *curaverit*, *se circumferendum*. R.

3 Sic R. e Junt. unde & V. enotavit, dedit pro vulg. τὸν — ἥκοντα, quod prima dedit Ald. Subaudiendum est, R. monente, ἐπὶ τὸν θάνατον, vel ἐπὶ τὴν σφαγὴν — *eripere sui conspectum copiamque nitentem iis, qui venissent ad spiritum ipsi eripiendum, paulo ante, quam mors naturalis id idem esset factura.* Duf. lectionem V. reprobat, & tuetur vulgatam.

4 Neptunum puta.

5 Venenum. R.

# ΑΡΤΟΞΕΡΞΗΣ[1].

Ο μὲν πρῶτος Ἀρτοξέρξης, τῶν ἐν Πέρσαις βασιλέων πρᾳότητι καὶ μεγαλοψυχίᾳ πρωτεύσας, Μακρόχειρ ἐπεκαλεῖτο, τὴν δεξιὰν μείζονα τῆς ἑτέρας ἔχων· Ξέρξȣ δ' ἦν υἱός. ὁ δὲ δεύτερος, περὶ ȣ̓ τάδε γράφεται, Μνήμων ἐπικληθεὶς, ἐκ θυγατρὸς ἦν ἐκείνȣ. Δαρείȣ γὰρ καὶ Παρυσάτιδος παῖδες ἐγένοντο τέσσαρες, πρεσβύτατος μὲν Ἀρτοξέρξης, μετ' ἐκεῖνον δὲ Κῦρος· νεώτεροι δὲ τȣ́των Ὀςάνης καὶ Ὀξάθρης. ὁ μὲν ȣ̓ν Κῦρος ἀπὸ Κύρȣ τȣ̃ παλαιȣ̃ τȣ̓́νομα ἔσχεν, ἐκεῖνῳ [2] δ' ἀπὸ τȣ̃ ἡλίȣ γενέσθαι φασί· Κῦρον γὰρ καλεῖν Πέρσας τὸν ἥλιον. ὁ δ' Ἀρτοξέρξης Ἀρσίκας [3] πρότερον ἐκαλεῖτο· καίτοι Δείνων φησὶν, ὅτι Ὀάρτης [4]. ἀλλὰ τὸν Κτησίαν, εἰ καὶ τἄλλα μύθων ἀπιθάνων καὶ παραφόρων [5] ἐμβέβληκεν εἰς τὰ βιβλία παντοδαπὴν πυλαίαν [6], ȣ̓κ εἰκός ἐςιν ἀγνοεῖν τȣ̓́νομα τȣ̃ βασιλέως, παρ' ᾧ διέ-



1 Artaxerxis aetas bello Peloponnesiaco respondet. Fere enim eodem tempore regnum occepit, quo Athenae sunt a Lysandro dirutae, Olympiade nimirum XCIV. Nomen ipsum Regis apud Diod. Sic. l. 14. & apud Xenoph περὶ ἀναβ. Κύρ. *Artaxerxes* constanter, ut apud Nostrum & in Ctesias epitomis *Artoxerxes*. Xyl.

2 SG. ἐκεῖνον.

3 In Ctesiana epit. Ἀρσάκης, *Arsaces*, legitur. Xyl.

4 V. ὁ Ἄρσης, omisso praecedente ὅτι. In SG. extat quidem ὅτι, sed cum superscriptis punctulis, quod indicio est, hanc vocem expungendam esse. Juntinae Br. falso tribuit Ὀάρσης. Est in ea, quod habet V. ὁ ἄρσης. Ald. autem & Crat. exhibent Ὀάρσης.

5 absunt καὶ παραφ. a SG. Id. cod. dat βυβλία pro seq. βιβ.

6 In Var. lect. ex Anon. scholium additum est ad hanc vocem, his verbis: Πυλαιαςὰς, τȣ̀ς Ψευςὰς Ῥόδιοι, τȣ̀ς μηδὲν ὑγιὲς μήτε λέγοντας, μήτε πράττοντας. Conferas, quae de hac voce annotavimus in vita Pyrrhi T. III. p. 50. not. 5.

διέτριβε, θεραπεύων αὐτὸν καὶ γυναῖκα καὶ μητέρα καὶ παῖδας.

II. Ὁ μὲν οὖν Κῦρος ἔντονόν τι καὶ σφοδρὸν εὐθὺς ἐκ πρώτης ἡλικίας εἶχεν, ἅτερος δὲ πρᾳότερος ἐδόκει περὶ πάντα, καὶ ταῖς ὁρμαῖς φύσει μαλακώτερος εἶναι. γυναῖκα δὲ καλὴν καὶ ἀγαθὴν ἔλαβε μὲν, τῶν γονέων κελευόντων, ἐφύλαξε δὲ, κωλυόντων. τὸν γὰρ ἀδελφὸν αὐτῆς ἀποκτείνας ὁ βασιλεὺς ἐβουλεύετο κἀκείνην ἀνελεῖν. ὁ δ' Ἀρσίκας, τῆς μητρὸς ἱκέτης γενόμενος, καὶ πολλὰ κατακλαύσας, μόλις ἔπεισε μήτ' ἀποκτεῖναι, μήτ' αὐτοῦ διαστῆσαι τὴν ἄνθρωπον. ἡ δὲ μήτηρ ὑπῆρχε μᾶλλον τὸν Κῦρον φιλοῦσα [1], καὶ βουλομένη βασιλεύειν ἐκεῖνον. διὸ καὶ τοῦ πατρὸς νοσοῦντος ἤδη, μετάπεμπτος ἀπὸ θαλάσσης γενόμενος, παντάπασιν ἀνέβαινεν εὔελπις ὢν, ὡς κατειργασμένης [2] ἐκείνης, διάδοχον αὐτὸν ἀποδειχθῆναι τῆς ἀρχῆς. καὶ γὰρ εἶχεν εὐπρεπῆ λόγον ἡ Παρυσάτις, ᾧ καὶ Ξέρξης ὁ παλαιὸς ἐχρήσατο, Δημαράτου διδάξαντος, ὡς [3] Ἀρσίκαν μὲν ἰδιώτῃ, Κῦρον δὲ βασιλεύοντι Δαρείῳ τεκεῖν. οὐ μὴν ἔπεισεν, ἀλλ' ὁ πρεσβύτερος ἀπεδείχθη βασιλεὺς, Ἀρτοξέρξης μετονομασθείς· Κῦρος δὲ Λυδίας σατράπης καὶ τῶν ἐπὶ θαλάσσης στρατηγός.

III. Ὀλίγῳ δ' ὕστερον, ἢ τελευτῆσαι Δαρεῖον, ἐξήλασεν εἰς Πασαργάδας ὁ βασιλεὺς, ὅπως τελεσθείη τὴν βασιλικὴν τελετὴν ὑπὸ τῶν ἐν Πέρσαις ἱερέων. ἔστι δὲ θεᾶς πολεμικῆς ἱερὸν, ἣν Ἀθηνᾶν [4] τις εἰκάσειεν. εἰς τοῦτο δεῖ τὸν τελούμενον παρελθόντα, τὴν μὲν ἰδίαν ἀπο-

1 SG. ἡ δὲ μήτηρ ὑπέρχεται τὸν Κῦρον μᾶλλον φιλοῦσα.

2 SG. κατεργασαμένης. Redit ad matrem Cyri, Paryfatidem. *Quoniam ea, mater, jam fubegiffet, oratione fua permoviffet eo atque impuliffet patrem, perfectamque rem atque expeditam dediffet.*

3 Br. deleri voluit ὡς, quod R. recte habere cenfet.

4 Si fervatur Ἀθηνᾶν, fubaudiendum effe monet R. εἶναι; alias praeftare Ἀθηνᾷ in dat.

ἀποθέσθαι στολὴν, ἀναλαβεῖν δ'[1] ἣν Κῦρος ὁ παλαιὸς ἐφόρει, πρὶν ἢ βασιλεὺς γενέσθαι, καὶ σύκων παλάθης ἐκφαγόντα[2], τέρμινθον κατατραγεῖν, καὶ ποτήριον πιεῖν[3] ὀξυγάλακτος. εἰ δὲ πρὸς τούτοις ἕτερ' ἄττα δρῶσιν, ἄδηλόν ἐστι τοῖς ἄλλοις. ταῦτα δρᾶν 'Αρτοξέρξου μέλλοντος, ἀφίκετο Τισαφέρνης[4] πρὸς αὐτὸν, ἄγων ἕνα τῶν ἱερέων[5], ὃς ἐν παισὶ Κύρου τῆς νομιζομένης ἀγωγῆς ἐπιστάτης γενόμενος, καὶ διδάξας μαγεύειν αὐτὸν, οὐδενὸς ἧττον ἐδόκει Περσῶν ἀνιᾶσθαι, μὴ ἀποδειχθέντος ἐκείνου βασιλέως· διὸ καὶ πίστιν ἔσχε κατηγορῶν Κύρου. κατηγόρει δ', ὡς μέλλοντος ἐνεδρεύειν ἐν τῷ ἱερῷ· καὶ ἐπειδὰν ἐκδύηται τὴν ἐσθῆτα ὁ βασιλεὺς, ἐπιτίθεσθαι καὶ διαφθείρειν αὐτόν. οἱ μὲν ἐκ ταύτης τῆς διαβολῆς τὴν σύλληψιν γενέσθαι φασὶν, οἱ δὲ καὶ παρελθεῖν τὸν Κῦρον εἰς τὸ ἱερὸν, καὶ προδοθῆναι[6] κρυπτόμενον ὑπὸ τοῦ ἱερέως. μέλλοντα δ' αὐτὸν ἤδη ἀποθνήσκειν ἡ μήτηρ περισχοῦσα ταῖς ἀγκάλαις, καὶ τοῖς βοστρύχοις περιελίξασα, καὶ συλλαβοῦσα τὸν ἐκείνου τράχηλον πρὸς τὸν αὑτῆς, ὀδυρομένη πολλὰ καὶ ποτνιωμένη παρῃτήσατο, καὶ κατέπεμψεν αὖθις ἐπὶ θάλασσαν ἐκ ἀγαπῶντα τὴν ἀρχὴν ἐκείνην, οὐδὲ μεμνημένον τῆς δεήσεως[7], ἀλλὰ τῆς συλλήψεως, καὶ δι' ὀργὴν σπαργῶντα μᾶλλον, ἢ πρότερον, ἐπὶ τὴν βασιλείαν.



1 δ' abest a Junt.

2 R. mavult ἐμφαγόντα. Sic est in SG. uti & θερμίθου pro τέρμινθον.

3 V. ἐκπιεῖν.

4 Xenoph. semper duplici σ scribit Τισσαφ.

5 Sola Br. ἱερῶν. R. restituit ἱερέων.

6 Junt. & SG. παραδοθῆναι.

7 SG. μεμνημένην τῆς δεήσεως. Junt. Ald. Crat. μεμνημένος. Br. & Duf. legi volunt διήσεως, licet nomen hoc non occurrat, verbum tamen in ea re a Plutarcho, & ab aliis adhiberi asserentes. Sequuntur hanc conjecturam Kind & Schirach. R. tuetur vulgatam, — precum, quibus vitam Cyri mater communis ab Artaxerxe deprecata erat. Eadem vox occurrit c. 6.

IV. Ἔνιοι δέ φασιν, οὐκ ἀρκούμενον, οἷς ἐλάμβανεν εἰς τὸ καθ' ἡμέραν δεῖπνον, ἀποστῆναι βασιλέως [1]. εὐήθη λέγοντες. εἰ γὰρ ἄλλο μηδὲν [2], ἀλλ' ἡ μήτηρ ὑπῆρχε, χρῆσθαι καὶ λαμβάνειν, ὅσα βούλοιτο τῶν αὐτῆς παρέχουσα καὶ διδοῦσα. μαρτυρεῖ δὲ τῷ πλούτῳ καὶ τὸ μισθοφορικὸν πολλαχόθι διὰ τῶν φίλων καὶ ξένων αὐτῷ παρατρεφόμενον, ὡς Ξενοφῶν εἴρηκεν [3]. ἀθρόους μὲν γὰρ οὐ συνῆγεν, ἔτι τὴν [4] παρασκευὴν ἐπικρυπτόμενος, ἀλλαχόθι δ' ἄλλους ἐπὶ πολλαῖς προφάσεσι ξενολογοῦντας εἶχε. βασιλέως δ' ἥ τε μήτηρ παροῦσα [5] τὰς ὑποψίας ἀφήρει, καὶ Κῦρος αὐτὸς ἀεὶ θεραπευτικῶς ἔγραφε, τὰ μὲν αἰτούμενος παρ' αὐτοῦ, τὰ δὲ Τισαφέρνους ἀντικατηγορῶν, ὡς δὴ πρὸς ἐκεῖνον αὐτῷ ζήλου καὶ ἀγῶνος ὄντος. ἦν δέ τις καὶ μέλλησις ἐν τῇ φύσει τοῦ βασιλέως, ἐπιείκεια φαινομένη τοῖς πολλοῖς. ἐν ἀρχῇ δὲ καὶ πάνυ ζηλοῦν ἔδοξε τὴν Ἀρτοξέρξου τοῦ ὁμωνύμου πρᾳότητα, ἡδίω [6] τε ἑαυτὸν παρέχων ἐντυγχάνεσθαι, καὶ περὶ τὸ τιμᾶν καὶ χαρίζεσθαι τὸ κατ' ἀξίαν [7] ὑπερβάλλων. κολάσεως δὲ πάσης ἀφαιρῶν τὸ ὑβρίζον, καὶ ἡδόμενος [8] ἐν τῷ δέχεσθαι χάριτας, οὐχ ἧττον τοῖς διδοῦ-

1 V. τῶν βασιλέων. Huc in ind. Br. refertur. In Frft. ad seqq. referendum videtur, sed difficile est judicatu, quorsum? nisi ad βασιλέως lin. 10.

2 SG. οὐδὲν, sed cum superscripto μη, a manu paulo recentiori.

3 Initio fere Libri primi *de Cyri exped.* Dacer.

4 SG. εἴρηκε· καὶ ἀθρόους μὲν οὐ συνήγαγε, τὴν παρ. superscripto ἔτι super τὴν, eadem fere manu, qua textum scriptum est.

5 Junt. sola vitiose παροῦσαν, & in seq. αὐτὸν pro αὐτός.

6 SG. ἥδιον.

7 Artic. τὸ de suo addidit R. Eundem exhibet SG. ante χαρίζεσθαι.

8 SG. τὸ ἐφυβρίζων· καὶ ἡδόμενον. In Junt. est etiam ἡδόμενον. Sequentia se non intelligere, fatetur R. Quaerit, num ἐν τῷ δέχεσθαι καὶ διδόναι χάριτας? —

διδοῦσιν, ἢ τοῖς λαμβάνουσιν· ἐν δὲ τῷ διδόναι φαινόμενος εὔχαρις καὶ φιλάνθρωπος. οὐδὲν γὰρ ἦν οὕτω σμικρόν τι τῶν διδομένων, ὃ μὴ προσεδέξατο προθύμως· ἀλλὰ καὶ ῥόαν [1] μίαν ὑπερφυᾶ μεγέθει προσενέγκαντος Ὠμίσου [2] τινὸς αὐτῷ· Νὴ τὸν Μίθραν [3], εἶπεν, οὗτος ὁ ἀνὴρ καὶ πόλιν ἂν ἐκ μικρᾶς ταχὺ ποιήσειε μεγάλην πιστευθείς.

V. Ἐπεὶ δ', ἄλλων ἄλλα προσφερόντων, καθ' ὁδὸν [4] αὐτουργὸς ἄνθρωπος οὐδὲν ἐπὶ καιροῦ φθάσας εὑρεῖν, τῷ ποταμῷ προσέδραμε [5], καὶ ταῖν χεροῖν ὑπολαβὼν τοῦ ὕδατος προσήνεγκεν, ἡσθεὶς ὁ Ἀρτοξέρξης φιάλην ἔπεμψεν αὐτῷ χρυσῆν καὶ χιλίους δαρεικούς. Εὐκλείδᾳ δὲ, τῷ Λάκωνι, πολλὰ παῤῥησιαζομένῳ πρὸς αὐτὸν αὐθαδῶς, ἐκέλευσεν εἰπεῖν τὸν χιλίαρχον, ὅτι σοὶ μὲν ἔξεστιν εἰπεῖν, ἃ βασιλεῖ βούλει [6]· ἐμοὶ δὲ καὶ λέγειν καὶ ποιεῖν. ἐν δὲ θήρᾳ τινὶ Τιριβάζου [7] δείξαντος αὐτῷ τὸν κάνδυν ἐσχισμένον, ἠρώτησεν, ὅ τι δεῖ ποιεῖν. ἐκείνου δὲ εἰπόντος· Ἄλλον αὐτὸς ἔνδυσαι, τοῦτον δ' ἐμοὶ δός· οὕτως ἐποίησεν, εἰπών· Δίδωμι μὲν, ὦ Τιρίβαζε, σοὶ τοῦτον, φορεῖν δ' ἀπαγορεύω. τοῦ δὲ Τιριβάζου μὴ φροντίσαντος, (ἦν γὰρ οὐ πονηρὸς, ὑπόκουφος δὲ καὶ παράφορος) ἀλλὰ τόν τε κάνδυν εὐθὺς ἐκεῖνον ἐνδύντος, καὶ δῶρα χρυσᾶ καὶ γυναικεῖα τῶν βασιλικῶν περιθεμένου, πάντες μὲν ἠγανάκτουν· οὐ γὰρ ἐξῆν· ὁ μέντοι βασιλεὺς κατεγέλασε, καὶ εἶπε· Δίδωμί σοι



1 Anon. ῥοίαν. SG. ὑπερφυῆ pro ὑπερφυᾶ.

2 Amiotus *Romises*, Lapus *pauperem* vertit. Teste H. Steph. etiam legitur Ῥωμίσου. Apud Aelian. V. H. 1, 33. prave legitur ὁ Μίσης.

3 Mithras, Persarum deus, Sol est Latinis. Xyl.

4 Comma ante has voces tolli vult Duf. & post ὁδὸν poni.

5 Junt. Ald. Crat. προσέφερε.

6 V. εἰπεῖν βασιλεῖ, ἃ βούλει; quod Duf. probat.

7 Sic quoque in SG. a manu prima scriptum; ab altera emendatum Τηριβάζου; & ita etiam infra.

καὶ τὰ χρυσία Φορεῖν, ὡς γυναικὶ, καὶ τὴν ϛολὴν, ὡς μαινομένῳ· τραπέζης δὲ τῆς αὐτῆς [1] μηδενὸς μετέχοντος, ἀλλ' ἢ μητρὸς βασιλέως, ἢ γαμετῆς γυναικὸς, καθεζομένων τῆς μὲν ὑπ' αὐτὸν, τῆς δὲ μητρὸς ὑπὲρ αὐτὸν, Ἀρτοξέρξης καὶ τὰς ἀδελφὰς ἐπὶ τὴν αὐτὴν ἐκάλει τράπεζαν, Ὀϛάνην καὶ Ὀξάθρην [2], νεωτέρας ὄντας. ἐν δὲ τοῖς μάλιϛα κεχαρισμένην ὄψιν παρεῖχε τοῖς Πέρσαις ἡ τῆς γυναικὸς Στατείρας ἁρμάμαξα, γυμνὴ τῶν παραπετασμάτων ἀεὶ προσφερομένη [3], καὶ διδοῦσα ταῖς δημότισιν ἀσπάσασθαι αὐτὴν, καὶ προσελθεῖν· ὅθεν ἠγαπᾶτο τοῖς πολλοῖς ἡ βασίλεια.

VI. Τὸν μέντοι Κῦρον οἱ νεωτεριϛαὶ καὶ πολυπράγμονες, ὡς λαμπρὸν ἄνδρα τῇ ψυχῇ καὶ πολεμικὸν διαφερόντως καὶ Φιλέταιρον, ᾤοντο τὰ πράγματα ποθεῖν, καὶ τὸ μέγεθος τῆς ἡγεμονίας βασιλέως δεῖσθαι Φρόνημα καὶ Φιλοτιμίαν ἔχοντος. οὐχ ἧττον οὖν τοῖς ἄνω πιϛεύων ὁ Κῦρος, ἢ τοῖς περὶ αὐτὸν, ἐπεχείρει τῷ πολέμῳ· καὶ Λακεδαιμονίοις ἔγραφε παρακαλῶν βοηθεῖν, καὶ συνεκπέμπειν ἄνδρας, οἷς ἔφη δώσειν, ἂν μὲν πεζοὶ παρῶσιν, ἵππους, ἂν δὲ ἱππεῖς, συνωρίδας· ἐὰν δ' ἀγροὺς ἔχωσι, κώμας· ἐὰν δὲ κώμας, πόλεις· μισθοῦ δὲ τοῖς ϛρατευομένοις οὐκ ἀριθμὸν, ἀλλὰ μέτρον ἔσεσθαι. μεγαληγορῶν δὲ περὶ αὐτοῦ πολλὰ, καὶ καρδίαν ἔφη τοῦ ἀδελφοῦ Φορεῖν βαρυτέραν, καὶ Φιλοσοφεῖν μᾶλλον, καὶ μαγεύειν βέλτιον, οἶνον δὲ

1 Junt. τῆς αὐτοῦ; Ald. & Crat. τῆι αὐτοῦ. Steph. dedit τῆς αὐτῆς, cum non de Artaxerxis mensa Plut. loquatur, sed de mensa cujuslibet superiorum regum.

2 Pro Ὀϛάνην SG. Ὀξάνην, id quod etiam in aliis se legisse testatur H Steph. — Crat. habet Ὀϛάνην. Pro Ὀξάθρην Jun'. Ald. Crat. Ὀξάβην. Hinc V. affert Ὀξάθρην. Xyl. *Ostacem & Oxabem* vertens, annotat, aut hic, aut initio libri mendose esse nomina posita, superiora tamen magis probans.

3 SG. προφερομένη.

δὲ πλείονα πίνειν καὶ φέρειν· ἐκεῖνον δ' ὑπὸ δειλίας καὶ μαλακίας ἐν μὲν τοῖς κυνηγεσίοις μηδ' ἐφ' ἵππȣ, ἐν δὲ τοῖς κινδύνοις μηδ' ἐπὶ θρόνȣ [1] καθῆσθαι. Λακεδαιμόνιοι μὲν ȣ̃ν σκυτάλην πρὸς Κλέαρχον ἀπέστειλαν, ὑπηρετεῖν Κύρῳ πάντα κελεύοντες. ὁ δὲ Κῦρος ἀνέβαινεν ἐπὶ βασιλέα, βαρβαρικήν τε πολλὴν ἔχων δύναμιν, καὶ μισθοφόρȣς Ἕλληνας ὀλίγῳ τρισχιλίων καὶ μυρίων ἀποδέοντας, ἄλλας ἐπ' ἄλλαις ποιȣ́μενος προφάσεις τῆς στρατείας. ȣ̓ μὴν ἔλαθέ γ' εἰς πολὺν χρόνον, ἀλλ' ἧκε βασιλεῖ Τισαφέρνης [2] αὐτάγγελος· καὶ πολὺς θόρυβος εἶχε τὰ βασίλεια, τῆς τε Παρυσάτιδος τὴν πλείστην αἰτίαν τȣ̃ πολέμȣ φερομένης, καὶ τῶν φίλων αὐτῆς ἐν ὑποψίᾳ ὄντων καὶ διαβολαῖς. μάλιστα δ' ἠνία τὴν Παρυσάτιν ἡ Στάτειρα, τῷ πολέμῳ περιπαθȣ̃σα, καὶ βοῶσα· Πȣ̃ νῦν αἱ πίστεις ἐκεῖναι; πȣ̃ αἱ [3] δεήσεις, αἷς ἐξελομένη τὸν ἐπιβȣλεύσαντα τῷ ἀδελφῷ, πολέμȣ καὶ κακῶν ἐμπέπληκας ἡμᾶς; ἐκ δὴ τȣ́των μισȣ̃σα τὴν Στάτειραν ἡ Παρυσάτις, καὶ φύσει βαρύθυμος ȣ̃σα, καὶ βάρβαρος ἐν ὀργαῖς καὶ μνησικακίαις, ἐπεβȣ́λευεν αὐτὴν ἀνελεῖν. ἐπεὶ δὲ Δείνων μὲν ἐν τῷ πολέμῳ συντελεσθῆναι τὴν ἐπιβȣλὴν εἴρηκε, Κτησίας δ' ὕστερον, ὃν ȣ̓τ' ἀγνοεῖν τὸν χρόνον εἰκός ἐστι παρόντα ταῖς πράξεσιν, ȣ̓́τε ἑκὼν αἰτίαν εἶχεν ἐκ τȣ̃ χρόνȣ μεταστῆσαι [4] τὸ ἔργον, ὡς ἐπράχθη [5] διηγȣ́μενος· οἷα πάσχει πολλάκις ὁ λόγος αὐτȣ̃, πρὸς τὸ μυθῶδες [6] καὶ δρα-



1 SG. ἐπὶ τȣ̃ θρόνȣ.

2 *Syennesin* Diod. Sic. haec regi nunciasse ait, *Tissaphernem* cum Plutarcho Xenoph. L. I.

3 SG. πȣ̃ δὲ αἱ.

4 Sola Br. μεταστῆναι. R. restituit in aor. 1.

5 V. προσετάχθη.

6 SG. Junt. Ald. Crat. θυμῶδες, quod transponendis literis corrigendum esse, Xyl. monuit, & correxit Steph.

δραματικὸν ἐκτρεπόμενος [1] τῆς ἀληθείας· τοῦτο μὲν [2], ἣν ἐκεῖνος ἀπέδωκε, χώραν ἕξει.

VII. Κύρῳ δὲ προσιόντι φῆμαι καὶ λόγοι προσέπιπτον, ὡς οὐ μάχεσθαι βασιλέως εὐθὺς ἐγνωκότος, οὐδὲ συνδραμεῖν εἰς χεῖρας αὐτῷ σπεύδοντος, ἀλλ' ἐν Πέρσαις ὑπομένειν, ἄχρις ἂν αἱ δυνάμεις ἐκεῖ πανταχόθεν συνέλθωσι. καὶ γὰρ τάφρον εὖρος ὀργυιῶν δέκα, καὶ βάθος ἴσον [3], ἐπὶ σταδίους διὰ τοῦ πεδίου τετρακοσίους ἐνέβαλε. καὶ ταύτης τε περιεῖδε τὸν Κῦρον ἐντὸς παρελθόντα, καὶ Βαβυλῶνος αὐτῆς οὐ μακρὰν γενόμενον. Τιριβάζου δ', ὥς φασι, πρώτου τολμήσαντος εἰπεῖν, ὡς οὐ δεῖ φυγομαχεῖν, οὐδὲ Μηδείας [4] ἐκστάντα καὶ Βαβυλῶνος, ἀλλὰ καὶ Σούσων, ἐνδύεσθαι τῇ Περσίδι, πολλαπλασίαν μὲν ἔχοντα δύναμιν τῶν πολεμίων, μυρίους δὲ σατράπας καὶ στρατηγοὺς, Κύρου καὶ φρονεῖν καὶ μάχεσθαι βελτίονας, ὥρμησε διαγωνίσασθαι τὴν ταχίστην. καὶ τὸ μὲν πρῶτον ἐξαίφνης καταφανεὶς ἐνενήκοντα μυριάσι [5] στρατοῦ διακεκοσμημένου [6] λαμπρῶς, τοὺς πολεμίους, ἀσυντάκτους καὶ ἀνόπλους διὰ τὸ θαῤῥεῖν καὶ καταφρονεῖν ὁδοιποροῦντας, ἐξέπληξε καὶ συνετάραξεν, ὥστε σὺν θορύβῳ καὶ βοῇ πολλῇ μόλις εἰς τάξιν καθίστασθαι [7] τὸν Κῦρον· ἔπειτα σιγῇ καὶ σχέδην ἐπάγων, θαῦμα ἐν τοῖς Ἑλλη-

1 Frft. ἐπιτρεπόμενος, quod mendum in Paris. & Br. inde irrepsit. Dus. restituendum monuit ἐκτρεπ. quod R. dedit.

2 SG. addit οὖν.

3 SG. ἴσων. Dacerio & Schiracho magis probantur, quae Xenoph. refert εὖρος ὀργυιαὶ πέντε, τὸ δὲ βάθος ὀργυιαὶ τρεῖς.

4 SG. Μηδίας.

5 Infra c. 13. cum acies concurrunt, XL. tantum myriades habuisse tradit Ctesias; & ita Diod. Sic. qui & Ephorum testem adducit. Apud Xen. quidem τῶν δὲ πολεμίων ἐλέγοντο εἶναι ἑκατὸν καὶ εἴκοσι μυριάδες. Sed rumor hic erat incertus, ad hostes a transfugis delatus. Br. & Dus.

6 SG. διακεκοσμημέναις.

7 SG. καταστῆναι; Id. omittit lin. seq. ἐν post θαῦμα; nec est in Junt. Ald. Crat.

Ἕλλησι τῆς εὐταξίας παρεῖχε, κραυγὰς ἀτάκτους καὶ σκιρτήματα καὶ πολὺν τάραχον αὐτῶν καὶ διασπασμὸν ἐν πλήθει τοσούτῳ προσδεχομένοις [1]. εὖ δὲ καὶ κατὰ τοὺς Ἕλληνας ἔταξε τῶν δρεπανηφόρων τὰ ῥωμαλεώτατα πρὸ τῆς ἑαυτοῦ φάλαγγος, ὡς, πρὶν ἐν χερσὶ γενέσθαι, διακόψοντα τὰς τάξεις βίᾳ τῆς εἰσελάσεως.

VIII. Τὴν δὲ μάχην ἐκείνην πολλῶν μὲν ἀπηγγελκότων, Ξενοφῶντος δὲ μονονουχὶ δεικνύοντος ὄψει, καὶ τοῖς πράγμασιν, ὡς οὐ γεγενημένοις, ἀλλὰ γινομένοις, ἐφιστάντος ἀεὶ τὸν ἀκροατὴν ἐν πάθει καὶ συγκινδυνεύοντα διὰ τὴν ἐνάργειαν· οὐκ ἔστι νοῦν ἔχοντος ἐπεξηγεῖσθαι, πλὴν ὅσα τῶν ἀξίων λόγου παρῆλθεν εἰπεῖν ἐκεῖνον [2]. ὁ μὲν οὖν τόπος, ἐν ᾧ παρετάξαντο, Κούναξα καλεῖται, καὶ Βαβυλῶνος ἀπέχει σταδίους πεντακοσίους. Κῦρον δὲ πρὸ τῆς μάχης Κλεάρχου παρακαλοῦντος ἐξόπισθεν [3] τῶν Μακεδόνων εἶναι, καὶ μὴ κινδυνεύειν αὐτὸν, εἰπεῖν φασί· Τί λέγεις, ὦ Κλέαρχε; σὺ κελεύεις με, τὸν βασιλείας ὀρεγόμενον, ἀνάξιον εἶναι βασιλείας; ἁμαρτόντος δὲ Κύρου μέγα τῷ δῦναι [4] προπετῶς εἰς μέσα τὰ δεινὰ καὶ μὴ φυλάξασθαι τὸν κίνδυνον, οὐχ ἧττον ἥμαρτεν, εἰ καὶ μὴ μᾶλλον, Κλέαρχος, ἀντιτάξαι κατὰ τὸν βασιλέα μὴ θελήσας τοὺς Ἕλληνας, ἀλλὰ προσμίξας τῷ ποταμῷ τὸ δεξιὸν, ὡς μὴ κυκλωθείη. τὴν γὰρ ἀσφάλειαν ἐξ ἅπαντος διώκοντα, καὶ πλεῖστον λόγον ἔχοντα τοῦ μηδὲν παθεῖν, οἴκοι μένειν ἦν κράτιστον. ὁ δὲ μυρίους σταδίους ἀπὸ θαλάσσης ἐν ὅπλοις

1 V. προσδεχόμενος. Pro seq. ἔταξε SG. ἀντέταξε.

2 Duf. legi vult ἐκεῖνος. R. ἐκεῖνον videtur recte habere — *praeteriit illum dicere*, i. e. *effugit eum*, *quominus diceret*.

3 SG. ἐξόπισθε. Pro seq. Μακεδόνων, cum *Macedonum* in hac expeditione nemo meminerit, Br. Λακεδαιμονίων scribendum esse censuit; Duf. mavult Ἑλλήνων, quorum paulo infra iterum fit mentio.

4 Sic R. e conjectura Br. dedit pro vulg. μετὰ τὸ δῦναι. Teste H. Steph. etiam legitur δῦναι. Sic est in Junt.

ὅπλοις ἀναβεβηκὼς, μηδενὸς ἀναγκάζοντος, ἀλλ᾽ ὅπως Κῦρον εἰς τὸν θρόνον καθίσῃ τὸν βασίλειον, εἶτα περισκοπῶν χώραν καὶ τάξιν, ἐκ ἀφ᾽ ἧς σώσειε τὸν ἡγεμόνα καὶ μισθοδότην, ἀλλ᾽ ἐν τίνι θέμενος ἑαυτὸν ἀσφαλῶς μαχεῖται καθ᾽ ἡσυχίαν, ὅμοιος ἦν ὑπὸ δέες τῶν παρόντων ἐκβεβληκότι τὲς περὶ τῶν ὅλων λογισμὲς, καὶ προϊεμένῳ τὴν τῆς ϛρατηγίας [1] ὑπόθεσιν. ὅτι γὰρ ἐδεὶς ἂν ὑπέμεινε τῶν τεταγμένων περὶ βασιλέα τὲς Ἕλληνας ἐμπεσόντας, ὠθέντων δ᾽ ἐκείνων [2], καὶ βασιλέως φεύγοντος, ἢ πεσόντος, ὑπῆρχε Κύρῳ νικῶντι σώζεσθαι καὶ βασιλεύειν, ἐκ τῶν πεπραγμένων δῆλόν ἐϛι. διὸ τὴν Κλεάρχε μᾶλλον εὐλάβειαν, ἢ τὸ Κύρε [3] θρασος, αἰτιατέον, ὡς τὰ πράγματα καὶ Κῦρον ἀπολέσασαν. εἰ γὰρ αὐτὸς ἐσκόπει βασιλεὺς, ὅπε τάξας τὲς Ἕλληνας ἀβλαβεϛάτοις χρήσεται πολεμίοις, ἐκ ἂν ἐξεῦρεν ἑτέραν [4], ἢ τὴν ἀπωτάτω χώραν ἑαυτε καὶ τῶν περὶ ἑαυτόν· ἀφ᾽ ἧς ἔτε νικηθεὶς αὐτὸς ᾔσθετο, καὶ Κῦρος ἔφθη κατακοπεὶς, ἢ χρησάμενός τι τῇ Κλεάρχε νίκῃ. καίτοι Κῦρος τὸ συμφέρον ἐκ ἠγνόηκεν [5], ἀλλ᾽ ἐκεῖ Κλέαρχον ἐκέλευε τάττεσθαι, κατὰ μέσον. ὁ δ᾽ αὐτῷ μέλειν [6] εἰπὼν, ὅπως ἕξει κάλλιϛα, τὸ πᾶν διέφθειρεν.

IX. Οἱ μὲν γὰρ Ἕλληνες, ὅσον ἐβέλοντο, τὲς βαρβάρες ἐνίκων, καὶ διώκοντες ἐπὶ τὸ πλεῖϛον προῆλθον· Κύρῳ δὲ γενναῖον ἵππον, ἄϛομον δὲ καὶ ὑβριϛὴν, ἐλαύνοντι, Πασάκαν καλέμενον, ὡς Κτησίας φησὶν, ἀντεξήλασεν ὁ Καδεσίων ἄρχων, Ἀρταγέρσης, μέγα βοῶν· Ὦ τὸ κάλλιϛον ἐν Πέρσαις ὄνομα Κύρε καταιχύ-

1 SG. & V. ϛρατείας, quod Duſ. probat.
2 Sic cum V. probante Br. dedit R. pro vulg. δι᾽ ἐκείνων.
3 SG. τὸ τε Κύρε.
4 SG. inverſo ordine ἑτέραν ἐξεῦρεν.
5 SG. ἠγνόησεν.
6 Sic ſcribi voluit Duſ. deditque R. pro vulg. αὐτῷ μέλλων.

αἰσχύνων, ἀδικώτατε ἀνθρώπων [1] καὶ ἀφρονέστατε, κακοὺς μὲν Ἕλληνας ἔρχῃ κακὴν ὁδὸν ἄγων ἐπὶ τὰ Περσῶν ἀγαθά· δεσπότην δὲ σεαυτοῦ καὶ ἀδελφὸν ἐλπίζων ἀναιρήσειν, ὃς σοῦ μυριάκις μυρίους δούλους ἔχει κρείσσονας. αὐτίκα δὲ πειράσῃ· πρότερον γὰρ ἀπολεῖς ἐνταῦθα τὴν σεαυτοῦ κεφαλὴν, ἢ θεάσασθαι τὸ βασιλέως πρόσωπον. Ταῦτ' εἰπὼν, ἐξηκόντισεν ἐπ' αὐτόν. ὁ δὲ θώραξ στερεῶς ἀντέσχε, καὶ οὐκ ἐτρώθη μὲν ὁ Κῦρος, ἐκραδάνθη δὲ, τῆς πληγῆς ἰσχυρᾶς προσπεσούσης. ἀποστρέψαντος δὲ τὸν ἵππον τοῦ Ἀρταγέρσου, βαλὼν ὁ Κῦρος ἔτυχε, καὶ διήλασε παρὰ τὴν κλεῖδα διὰ τοῦ τραχήλου τὴν αἰχμήν. τὸν μὲν οὖν Ἀρταγέρσην ἀποθανεῖν ὑπὸ Κύρου σχεδὸν ἅπαντες ὁμολογοῦσι· περὶ δὲ τῆς αὐτοῦ Κύρου τελευτῆς ἐπεὶ Ξενοφῶν ἁπλῶς καὶ συντόμως, ἅτε δὴ μὴ παρὼν αὐτὸς, εἶπεν, οὐδὲν ἴσως κωλύει, τὰ Δείνωνος ἰδίᾳ, καὶ πάλιν τὰ Κτησίου διελθεῖν.

X. Φησὶν οὖν ὁ μὲν Δείνων, ὅτι, τοῦ Ἀρταγέρσου πεσόντος, εἰσελάσας βιαίως ὁ Κῦρος εἰς τοὺς προτεταγμένους τοῦ βασιλέως, κατέτρωσεν αὐτοῦ τὸν ἵππον, ὁ δ' ἀπεῤῥύη· Τιριβάζου δ' ἀναβαλόντος [2] αὐτὸν ἐπ' ἄλλον ἵππον ταχὺ, καὶ εἰπόντος αὐτῷ [3]· Ὦ βασιλεῦ, μέμνησο τῆς ἡμέρας ταύτης· οὐ γὰρ ἀξία λήθης ἐστί· πάλιν ὁ Κῦρος ἐνσείσας [4] τῷ ἵππῳ κατέβαλε τὸν Ἀρτοξέρξην. πρὸς δὲ τὴν τρίτην ἐπέλασιν δυσανασχετήσας ὁ βασιλεὺς, καὶ εἰπὼν πρὸς τοὺς παρόντας, ὡς βέλτιόν ἐστι μὴ ζῆν, ἀντεξήλαυνε τῷ Κύρῳ προπετῶς καὶ ἀπερισκέπτως εἰς ἐναντία βέλη φερομένῳ. καὶ βάλλει μὲν αὐτὸς ἀκοντίῳ, βάλλουσι δ' οἱ περὶ αὐτόν. πίπτει δ' ὁ Κῦρος, ὡς μὲν ἔνιοι λέγουσι, πληγεὶς ὑπὸ τοῦ βασιλέως· ὡς δ' ἕτεροί τινες, Καρὸς ἀνθρώπου πατάξαντος,

ᾧ

1 SG. ἀνδρῶν. Seq. κακοὺς e more Graecorum Br. dari voluit, deditque R. pro vulg. καλούς.

2 Sic R. de suo dedit pro vulg. ἀναλαβόντος.

3 abest αὐτῷ a SG. — Junt. αὐτοῦ.

4 V. σείσας. Pro seq. κατέβαλε SG. κατέλαβε.

ῷ γέρας ἔδωκε τῆς πράξεως ταύτης ὁ βασιλεὺς, ἀλεκτρυόνα χρυσοῦν ἐπὶ δόρατος ἀεὶ πρὸ τῆς τάξεως ἐν ταῖς ϛρατείαις [1] κομίζειν. καὶ γὰρ αὐτοὺς τοὺς Κᾶρας ἀλεκτρυόνας οἱ Πέρσαι, διὰ τοὺς λόφους, οἷς κοσμοῦσι τὰ κράνη, προσηγόρευον.

XII. Ἡ δὲ Κτησίου διήγησις, ὡς ἐπιτεμόντι [2] πολλὰ συντόμως ἀπαγγεῖλαι, τοιαύτη τις ἐϛί. Κῦρος, ἀποκτείνας Ἀρταγέρσην, ἤλαυνεν εἰς αὐτὸν βασιλέα τὸν ἵππον, καὶ αὐτὸς εἰς ἐκεῖνον, ἀμφότεροι σιωπῇ. φθάνει δὲ βάλλων Ἀριαῖος, ὁ Κύρου φίλος, βασιλέα, καὶ οὐκ ἔτρωσε. βασιλεὺς δ᾽ ἀφεὶς τὸ δόρυ, Κύρου μὲν οὐκ ἐτυχε, Τισαφέρνην [3] δὲ, πιϛὸν ἄνδρα Κύρῳ καὶ γενναῖον, ἔβαλε καὶ κατέκτεινε. Κῦρος δ᾽ ἐπ᾽ αὐτὸν ἐξακοντίσας διὰ τοῦ θώρακος, ἔτρωσε τὸ ϛῆθος, ὅσον ἐνδῦναι δύο δακτύλους τὸ ἀκόντιον, πεσεῖν δ᾽ αὐτὸν ὑπὸ [4] τῆς πληγῆς ἀπὸ τοῦ ἵππου. Φυγῆς δὲ καὶ ταραχῆς τῶν περὶ αὐτὸν γενομένης, ὁ μὲν ἀναϛὰς μετ᾽ ὀλίγων, ἐν οἷς καὶ Κτησίας ἦν, λόφον τινὰ πλησίον καταλαβὼν ἡσύχαζε· Κῦρον δὲ τοῖς πολεμίοις ἐνειλούμενον ὁ ἵππος ἐξέφερεν ὑπὸ θυμοῦ μακρὰν, ἤδη σκότους ὄντος, ἀγνοούμενον ὑπὸ τῶν πολεμίων, καὶ ζητούμενον ὑπὸ τῶν φίλων. ἐπαιρόμενος δὲ τῇ νίκῃ, καὶ μεϛὸς ὢν ὁρμῆς [5] καὶ θράσους, διεξήλαυνε βοῶν· Ἐξίϛαθε, πενιχροί. τοῦτο δὲ Πέρσισι πολλάκις αὐτοῦ βοῶντος, οἱ μὲν ἐξίϛαντο προσκυνοῦντες· ἀποπίπτει δὲ τῆς κεφαλῆς ἡ τιάρα τοῦ Κύρου, καὶ παρατρέχων νεανίας Πέρσης, ὄνομα Μιθριδάτης, ἀκοντίῳ βάλλει τὸν κρόταφον αὐτοῦ παρὰ τὸν ὀφθαλμὸν, ἀγνοῶν,

1 Sic cum SG. dedit R. pro vulg. ϛρατιαῖς.

2 R. monente, dativus servari potest, subaudiendo ὑπάρχει; alias legi potest ἐπιτεμόντα.

3 Dacer. & SG. profert & mavult Σατιφέρνην. Collector autem Var. lect. hujus codicis habet Τασιφέρνην. Br. susp. Σατιβαρζάνην, de quo infra cap. 12.

4 SG. ἀπό.

5 SG. ὀργῆς.

ἀγνοῶν, ὅστις ἐστί [1]. πολὺ δ' αἷμα τοῦ τραύματος ἐκβαλόντος, ἰλιγγιάσας καὶ καρωθεὶς ὁ Κῦρος ἔπεσε. καὶ ὁ μὲν ἵππος ὑπεκφυγὼν ἐπλάζετο· τὸν δ' ἐφίππειον [2] πῖλον ἀποῤῥυέντα λαμβάνει τοῦ τὸν Κῦρον βαλόντος ἀκόλουθος, αἵματος περίπλεω [3]. τὸν δὲ Κῦρον, ἐκ τῆς πληγῆς ἀναφέροντα χαλεπῶς καὶ μόλις, εὐνοῦχοί τινες παρόντες ὀλίγοι [4] ἐπεχείρουν ἐπ' ἄλλον ἵππον ἀναθέσθαι, καὶ σώζειν. ἀδυνάτως δ' ἔχοντα, καὶ δι' αὐτοῦ προθυμέμενον βαδίζειν, ὑπολαβόντες ἦγον· τῷ μὲν σώματι καρηβαροῦντα καὶ σφαλλόμενον, οἰόμενον δὲ νικᾷν, ἀκούοντα τῶν φευγόντων ἀνακαλουμένων Κῦρον βασιλέα, καὶ φείδεσθαι δεομένων. ἐν δὲ τούτῳ Καύνιοί τινες ἄνθρωποι κακόβιοι καὶ ἄποροι, καὶ ταπεινῶν ὑπουργημάτων ἕνεκα τῇ τοῦ βασιλέως στρατιᾷ παρακολουθοῦντες, ἔτυχον ἀναμιχθέντες [5] ὡς φίλοι, τοῖς περὶ τὸν Κῦρον. ὡς δὲ μόλις συνεῖδον τὰ περιθωρακίδια [6] φοινικᾶ, λευκοῖς χρωμένων τῶν βασιλικῶν ἁπάντων, ἔγνωσαν πολεμίους ὄντας. εἷς οὖν ἐκείνων ἐτόλμησεν ἀγνοῶν ἐξόπισθεν βαλεῖν τὸν Κῦρον ἀκοντίῳ. τῆς δὲ περὶ τὴν ἰγνύαν φλεβὸς ἀναῤῥαγείσης, πεσὼν ὁ Κῦρος, ἅμα παίει πρός τινι λίθῳ τὸν τετρωμένον κρόταφον, καὶ ἀποθνήσκει. τοιοῦτος μὲν ὁ Κτησίου λόγος, ᾧ, καθάπερ ἀμβλεῖ ξιφιδίῳ, μόλις ἀναιρῶν τὸν ἄνθρωπον ἀνήρηκεν.

XII. Ἤδη δ' αὐτοῦ τεθνηκότος, Ἀρτασύρας, ὁ βασιλέως ὀφθαλμὸς [7], ἔτυχεν ἵππῳ παρεξελαύνων· γνωρίσας οὖν τοὺς εὐνούχους ὀλοφυρομένους, ἠρώτησε τὸν πιστό-

1 V. & SG. εἴη.
2 Sic cum V. probante Duſ. dedit R. pro vulg. ἐφίππιον.
3 V. περιπλέων.
4 SG. inverſo ordine ὀλίγοι παρόντες.
5 V. & SG. συναναμιχθέντες. A SG. abeſt τὸν poſt περὶ ſeq.
6 SG. ἐπιθωρακίδια.
7 Xyl. vertit: *regis ſpeculator.* Hoc nomine appellabantur, qui erant ex intimis regis.

πιςότατον αὐτῶν· Τίνα τῦτον, ὦ Παρίσκα, κλαίεις παρακαθήμενος; ὁ δ' εἶπεν· Οὐχ ὁρᾷς, ὦ Ἀρτασύρα, Κῦρον τεθνηκότα; θαυμάσας ἒν ὁ Ἀρτασύρας, τῷ μὲν εὐνέχῳ θαῤῥεῖν παρεκελεύσατο καὶ φυλάτ]ειν τὸν νεκρόν· αὐτὸς δὲ συντείνας πρὸς τὸν Ἀρτοξέρξην, ἀπεγνωκότα μὲν ἤδη τὰ πράγματα, κακῶς δὲ καὶ τὸ σῶμα διακείμενον ὑπό τε δίψης καὶ τῦ τραύματος, χαίρων φράζει, ὡς αὐτὸς ἴδοι τεθνηκότα Κῦρον. ὁ δὲ πρῶτον μὲν εὐθὺς ὥρμησεν αὐτὸς [1] ἰέναι, καὶ τὸν Ἀρτασύραν ἄγειν ἐκέλευσεν ἐπὶ τὸν τόπον. ἐπεὶ δὲ πολὺς ἦν λόγος τῶν Ἑλλήνων καὶ φόβος, ὡς διωκόντων, καὶ πάντα νικών]ων καὶ κρατέν]ων, ἔδοξε πλείονας πέμψαι τὺς [2] κατοψομένυς· καὶ τριάκον]α, λαμπάδας ἔχον]ες, ἐπέμφθησαν. αὐτῷ δὲ, μικρὸν ἀπολείποντι τῦ τεθνᾶναι διὰ τὸ δίψῆν, Σατιβαρζάνης [3], ὁ εὐνῦχος, περιθέων ἐζήτει ποτόν. ὐ γὰρ εἶχε τὸ χωρίον ὕδωρ, καὶ ὐδ' ἦν ἐγγὺς τὸ ςρατόπεδον. μόλις ὖν ἐπιτυγχάνει τῶν Καυνίων ἐκείνων τῶν κακοβίων ἑνὸς, ἐν ἀσκίῳ φαύλῳ διεφθαρμένον ὕδωρ καὶ πονηρὸν ἔχοντος, ὅσον ὀκ]ὼ κοτύλας· καὶ λαβὼν τῦτο καὶ κομίσας βασιλεῖ [4] δίδωσιν. ἐκπιόν]α δ' ἅπαν ἠρώτησεν, εἰ μὴ πάνυ δυσχεραίνοι τὸ ποτόν. ὁ δ' ὤμοσε τὺς θεὺς, μήτ' οἶνον ἡδέως ὕτως πώποτε πεπωκέναι, μήτε ὕδωρ τὸ κυφότατον καὶ καθαρώτατον. ὥςε, ἔφη, τὸν δόντα σοι τῦτο ἄνθρωπον ἂν ἐγὼ μὴ δυνηθῶ ζητήσας [5] ἀμείψασθαι, τὺς θεὺς εὔχομαι ποιῆσαι μακάριον καὶ πλύσιον.

XIII.

1 abest *αὐτὸς* a SG.
2 abest *]ὺς* a SG.
3 Mosi Dus. videtur hoc nomen, uti & *Bagoas*, Eunuchorum proprium fuisse, & forsan Persarum lingua id significare, quod Graece voce *κατακοιμιςὴς* exprimitur.
4 SG. *]ῷ βασ.*
5 Br. mavult *ζήσας.*

XIII. Ἐν δὲ τέτῳ προσήλαυνον οἱ τριάκοντα λαμπροὶ καὶ περιχαρεῖς, ἀναγγέλλοντες αὐτῷ τὴν ἀνέλπιστον εὐτυχίαν. ἤδη δὲ καὶ πλήθει τῶν συντρεχόντων πάλιν πρὸς αὐτὸν καὶ συνισαμένων ἐθάῤῥει, καὶ κατέβαινεν ἀπὸ τῦ λόφυ φωτὶ πολλῷ περιλαμπόμενος. ὡς δ' ἐπέστη τῷ νεκρῷ, καὶ κατὰ δή τινα νόμον Περσῶν ἡ δεξιὰ χεὶρ ἀπεκόπη καὶ ἡ κεφαλὴ τῦ σώματος, ἐκέλευσε τὴν κεφαλὴν αὐτῦ [1] κομισθῆναι· καὶ τῆς κόμης δραξάμενος ὔσης βαθείας καὶ λασίας, ἐπεδείκνυε τοῖς ἀμφιδοξῦσιν ἔτι καὶ φεύγυσιν. οἱ δ' ἐθαύμαζον καὶ προσεκύνυν· ὥστε ταχὺ μυριάδας ἑπτὰ περὶ αὐτὸν γενέσθαι, καὶ συνεισελάσαι πάλιν εἰς τὸ στρατόπεδον. ἐξεληλάκει δ', ὡς ὁ Κτησίας φησὶν, ἐπὶ τὴν μάχην τεσσαράκοντα μυριάσιν. οἱ δὲ περὶ Δείνωνα καὶ Ξενοφῶντα πολὺ πλείονας γενέσθαι λέγυσι τὰς μεμαχημένας. ἀριθμὸν δὲ νεκρῶν ὁ Κτησίας ἐνακισχιλίυς [2] ἀνενεχθῆναί φησι πρὸς τὸν Ἀρτοξέρξην, αὐτῷ δὲ δισμυρίων [3] ὐκ ἐλάττυς φανῆναι τὺς κειμένυς. ταῦτα μὲν ὖν ἔχε [4] διαμφισβήτησιν· ἐκεῖνο δὲ τῦ Κτησίυ λαμπρὸν ἤδη ψεῦσμα, τὸ πεμφθῆναι φάναι πρὸς τὺς Ἕλληνας αὐτὸν μετὰ Φαΰλλυ [5], τῦ Ζακυνθίυ, καί τινων ἄλλων. ὁ γὰρ Ξενοφῶν ἠπίστατο συνδιατρίβοντα βασιλεῖ Κτησίαν. μέμνηται γὰρ αὐτῦ, καὶ τοῖς βιβλίοις τύτοις ἐντετυχὼς [6] δῆλός ἐστιν. ὐκ ἂν ὖν ἐλθόντα, καὶ λόγων τοσύτων ἑρμηνέα γενόμενον, παρῆκεν ἀνώνυμον, Φάϋλλον δὲ,

1 Duf. mavult αὐτῷ.

2 Diod. Sic. XV. millia habet. Br. In SG. scribitur dupliti Ny.

3 SG. δισμυρίυς. Xylandro locus est ambiguus & obscurus, cum non constet, de Cyrine, an regis, exercitu perierint, neo quo illud αὐτῷ pertineat.

4 SG. ἔχει.

5 V. Φαλλῆνυ, Φαλλῆλυ. Ex Diod. Sic. & Xenoph. Br. & Duf. hoc loco reponendum censent Φαλήνυ.

6 SG. ἐντετυχηκὼς, quod & R. conjecit.

δὲ, τὸν Ζακύνθιον, ὠνόμαζεν. ἀλλὰ δαιμονίως ὁ Κτησίας, ὡς ἔοικε, Φιλότιμος ὤν, καὶ ἐχ ἧττον Φιλολάκων καὶ [1] Φιλοκλέαρχος, ἀεί τινας ἐν τῇ διηγήσει χώρας ἑαυτῷ δίδωσιν· ἐν αἷς γενόμενος πολλὰ καὶ καλὰ μιμνήσκεται [2] Κλεάρχε καὶ τῆς Λακεδαίμονος.

XIV. Μετὰ δὲ τὴν μάχην δῶρα κάλλιστα μὲν ἐξέπεμψε καὶ μέγιστα τῷ Ἀρταγέρσε παιδὶ, τῦ πεσόντος ὑπὸ Κύρε· καλῶς δὲ καὶ Κτησίαν καὶ τὲς ἄλλες ἐπετίμησε [3]. τὸν δὲ Καύνιον ἐκεῖνον ἐξανευρὼν, ὃς ἐπέδωκε τὸ ἀσκίον, ἐξ ἀδόξε καὶ πένητος ἔντιμον καὶ πλέσιον ἐποίησεν. ἦν δέ τις ἐμμέλεια [4] καὶ περὶ τὰς τῶν ἐξαμαρτόντων δικαιώσεις. Ἀρβάκην μὲν γάρ τινα Μῆδον, ἐν τῇ μάχῃ πρὸς Κῦρον Φυγόντα [5], καὶ πάλιν, ἐκείνε πεσόντος, μεταστάντα, δειλίαν καὶ μαλακίαν καταγνὲς, ἐ προδοσίαν, ἐδὲ κακόνοιαν, ἐκέλευσε γυμνὴν ἀναλαβόντα πόρνην περιβάδην ἐπὶ τῦ τραχήλε δι' ἡμέρας ὅλης ἐν ἀγορᾷ περιφέρειν. ἑτέρε δὲ πρὸς τῷ [6] μεταστῆναι ψευσαμένε καταβαλεῖν δύο τῶν πολεμίων, προσέταξε διαπεῖραι τρισὶ βελόναις τὴν γλῶτταν. οἰόμενος δὲ καὶ βελόμενος δοκεῖν καὶ λέγειν πάντας ἀνθρώπες, ὡς αὐτὸς ἀπεκτόνοι Κῦρον, Μιθριδάτῃ τε [7], τῷ βαλόντι πρώτῳ Κῦρον, ἐξέπεμψε δῶρα, καὶ λέγειν ἐκέλευσε τὲς διδόντας, ὡς τέτοις σε τιμᾷ ὁ βασιλεὺς, ὅτι τὸν ἐφίππειον [8] Κύρε πῖλον εὑρὼν ἀνήνεγκας. τῦ δὲ

1 Excidit e Br. haec partic. καὶ. R. restituit.

2 V. e Junt. & SG. μεμνήσεται. R. quaerit, num μέμνηται?

3 R. susp. simplex ἐτίμησε, cum ἐπιτιμᾶν sit *increpare*, *objurgare*.

4 SG. ἐπιμέλεια. Id. διορθώσεις pro seq. δικαιώσεις.

5 Sic cum Anon. probante Dus. dedit R. pro vulg. Φεύγοντα.

6 SG. τό.

7 Frft. & Br. omittunt τε. R. restituit. Seq. πρώτῳ abest a SG.

8 Sic scriptam omnes edd. hanc vocem exhibent, praeter Frft. & Br. Restituit R.

δὲ Καρὸς [1], ὑφ' ȣ̓ τὴν ἰγνύαν πληγεὶς ὁ Κῦρος ἔπεσε, καὶ αὐτȣ̃ δωρεὰν αἰτȣ̃ντος, ἐκέλευσεν εἰπεῖν τȣ̀ς διδόντας, ὅτι σοι ταῦτα δίδωσι βασιλεὺς εὐαγγελίων δευτερεῖα. πρῶτος γὰρ Ἀρτασύρας, μετ' ἐκεῖνον δὲ σὺ τὴν Κύρȣ τελευτὴν ἀπήγγειλας. ὁ μὲν ȣ̃ν Μιθριδάτης ἀπῆλθε σιωπῇ λυπȣ́μενος· τὸν δ' ἄθλιον Κᾶρα κοινόν τι πάθος ἐξ ἀβελτερίας κατέσχε. διαφθαρεὶς γὰρ ὑπὸ τῶν παρόντων, ὡς ἔοικεν, ἀγαθῶν, καὶ ἀναπεισθεὶς εὐθὺς ἀντιποιεῖσθαι τῶν ὑπὲρ αὐτὸν, ἐκ ἠξίȣ τὰ δοθέντα μισθὸν εὐαγγελίων [2] ἔχειν, ἀλλ' ἠγανάκτει μαρτυρόμενος καὶ βοῶν, ὅτι Κῦρον ȣ̓δεὶς ἕτερος, ἀλλ' αὐτὸς, ἀπεκτόνοι, καὶ τὴν δόξαν ȣ̓ δικαίως [3] ἀποστεροῖτο. ταῦτα δ' ἀκȣ́σας ὁ βασιλεὺς, σφόδρα παρωξύνθη, καὶ τὴν κεφαλὴν ἐκέλευσεν ἀποτεμεῖν τȣ̃ ἀνθρώπȣ. παρȣ̃σα δ' ἡ μήτηρ· Μὴ σύ γ', εἶπεν, ȣ̃τω τὸν Κᾶρα τȣ̃τον, ὦ βασιλεῦ, τὸν ὄλεθρον [4] ἀπαλλάξῃς, ἀλλὰ παρ' ἐμȣ̃ τὸν ἄξιον ἀπολήψεται μισθὸν, ὧν τολμᾷ λέγειν. ἐπιτρέψαντος δὲ τȣ̃ βασιλέως, ἐκέλευσε τȣ̀ς ἐπὶ τῶν τιμωριῶν ἡ Παρυσάτις λαβόντας τὸν ἄνθρωπον, ἐφ' ἡμέρας δέκα στρεβλȣ̃ν, εἶτα τȣ̀ς ὀφθαλμȣ̀ς ἐξορύξαντας, εἰς τὰ ὦτα θερμὸν ἐντήκειν χαλκὸν, ἕως ἀποθάνοι [5].

XV. Κακῶς δ' ἀπώλετο καὶ Μιθριδάτης μετ' ὀλίγον χρόνον ἐκ τῆς αὐτȣ̃ ἀβελτερίας. κληθεὶς γὰρ ἐπὶ δεῖπνον, ἔνθα καὶ βασιλέως [6] καὶ τῆς μητρὸς εὐνȣ̃χοι



1 A Caunio quodam hoc factum esse, supra c. 11. memoravit Plut.

2 V. εὐαγγελίȣ.

3 Pro ȣ̓ δικαίως V. & SG. ἀδίκως.

4 Sic etiam legi testatur H. Steph. & probat, ut elegantius; & sic, Br. consentiente, cum Junt. & SG. R. dedit. Vulgo τὸν ὀλέθριον, quod & e V. enotatur.

5 SG. ἀποθάνῃ.

6 Quae post h. v. sequuntur, omisit Aldina usque ad ἐπεὶ δ' εἰς — quod bis posito genitivo illo, librarius ab uno ad alterum transiit, omissis, quae interjecta sunt. Steph.

παρῆσαν, ἧκεν ἐϑῆτι καὶ χρυσῷ [1] κεκοσμημένος, οἷς ἔλαβε παρὰ βασιλέως. ἐπεὶ δ' εἰς τὸ πίνειν [2] ἀφίκοντο, λέγει πρὸς αὐτὸν ὁ μέγιστον δυνάμενος τῶν Παρυσάτιδος εὐνέχων· Ὡς καλὴν μὲν ἐσθῆτά σοι ταύτην, Μιθριδάτης [3], ὁ βασιλεὺς δέδωκε, καλὰ δὲ στρεπτὰ καὶ ψέλλια· πολλοῦ δ' ἄξιος ὁ ἀκινάκης. ἦ μακάριόν σε καὶ περίβλεπτον ἅπασι πεποίηκεν. ἤδη δὲ μεθύων ὁ Μιθριδάτης· Τί δὲ ταῦτ' ἐστιν, εἶπεν, ὦ Σπαραμίξη [4]· μειζόνων γὰρ ἐγὼ καὶ καλλιόνων βασιλεῖ τὴν ἡμέραν ἐκείνην ἄξιον ἐμαυτὸν παρέσχον. καὶ ὁ Σπαραμίξης ἐπιμειδιάσας· Φθόνος μὲν οὐδεὶς, ὦ Μιθριδάτα, εἶπεν [5]· ἐπεὶ δέ φασιν Ἕλληνες, οἶνον καὶ ἀλήθειαν εἶναι [6], τί λαμπρὸν, ὦ τὰν, ἢ μέγα, πῖλον εὑρεῖν ἵππου περιῤῥυέντα, καὶ τοῦτον ἀνενεγκεῖν; ταῦτα δ' οὐκ ἀγνοῶν τὸ ἀληθὲς ἔλεγεν, ἀλλὰ βουλόμενος ἐκκαλύψαι πρὸς τοὺς παρόντας, ὑπεκίνει τὴν κουφότητα τοῦ ἀνθρώπου, λάλου καὶ ἀκρατοῦς γεγονότος διὰ τὸν οἶνον. εἶπεν οὖν μὴ κατασχών· Ὑμεῖς μὲν, ὅ τι βούλεσθε, πίλους λέγετε καὶ φλυάρους· ἐγὼ δ' ὑμῖν λέγω διαῤῥήδην, ὑπὸ ταύτης ἀνῃρῆσθαι [7] Κῦρον τῆς χειρός. οὐ γὰρ, ὡς Ἀρταγέρσης, ἠκόντισα κενὸν καὶ μάταιον, ἀλλὰ τοῦ μὲν ὀφθαλμοῦ μικρὸν ἥμαρτον, τοῦ δὲ κροτάφου τυχὼν καὶ διελάσας, κατέβαλον τὸν ἄνδρα· καὶ τέθνηκεν ὑπ' ἐκείνου τοῦ τραύματος. οἱ μὲν οὖν ἄλλοι τὸ τέλος ἤδη τοῦ

1 Sic cum V. Anon. SG. & Junt. scribi voluit Br. deditque R. Est quoque in Crat. Vulgo ἐσθῆτι χρυσῇ. In seq. Steph. scribendum censuit καὶ ἄλλοις, οἷς ἔλ.

2 Sic cum Ms. Steph. SG. V. & Anon. dedit R. pro vulg. δειπνεῖν.

3 SG. Μιθριδάτα. Id. in seq. cum Junt. Ald. Crat. ψίλια pro ψέλλ.

4 SG. Σπαραμίζη hoc loco; sed infra ut editi.

5 SG. εἰπεῖν.

6 Anon. οἴνῳ καὶ ἀλήθειαν ἐνεῖναι.

7 SG. ἀναιρεῖσθαι. Ex eod. cod. enotatur ὅτι pro ὅ τι. quod praecessit. Seq. ὡς ante Ἀρτ. deest Juntinae.

τοῦ Μιθριδάτου καὶ τὴν κακοδαιμονίαν ὁρῶντες, εἰς τὴν γῆν ἔκυψαν· ὁ δ᾽ ἑστιῶν αὐτούς· Ὦ τὰν [1], ἔφη, Μιθριδάτα, πίνωμεν ἐν τῷ παρόντι καὶ ἐσθίωμεν, τὸν βασιλέως δαίμονα προσκυνοῦντες, λόγους δὲ μείζους, ἢ καθ᾽ ἡμᾶς, ἐάσωμεν.

XVI. Ἐκ τούτου τῇ μὲν Παρυσάτιδι φράζει τὸν λόγον ὁ εὐνοῦχος, ἐκείνη δὲ τῷ [2] βασιλεῖ, βασιλεὺς δ᾽ ἠγανάκτησεν, ὥσπερ ἐλεγχόμενος, καὶ τὸ κάλλιστον καὶ ἥδιστον ἀπολλύων τῆς νίκης. ἐβούλετο γὰρ βαρβάρους ἅπαντας πεπεῖσθαι καὶ Ἕλληνας, ὡς ἐν ταῖς ἐξελάσεσι καὶ συμπλοκαῖς δοὺς καὶ λαβὼν πληγὴν, ἐτρώθη μὲν αὐτὸς, ἔκτεινε δ᾽ ἐκεῖνον. ἐκέλευσε γοῦν [3] τὸν Μιθριδάτην ἀποθανεῖν σκαφευθέντα. τὸ δὲ σκαφευθῆναι τοιοῦτόν ἐστι· σκάφας δύο πεποιημένας ἐφαρμόζειν ἀλλήλαις λαβόντες, εἰς τὴν ἑτέραν κατακλίνουσι τὸν κολαζόμενον ὕπτιον· εἶτα τὴν ἑτέραν ἐπάγοντες καὶ συναρμόζοντες, ὥστε τὴν κεφαλὴν καὶ τὰς χεῖρας ἔξω καὶ τοὺς πόδας ἀπολαμβάνεσθαι, τὸ δ᾽ ἄλλο σῶμα πᾶν ἀποκεκρύφθαι, διδόασιν ἐσθίειν τῷ ἀνθρώπῳ. κἂν μὴ θέλῃ, προσβιάζονται, κεντοῦντες τὰ ὄμματα· φαγόντι δὲ, πιεῖν μέλι, καὶ γάλα συγκεκραμένον ἐγχέουσιν [4] εἰς τὸ στόμα, καὶ κατὰ τοῦ προσώπου καταχέουσιν. εἶτα πρὸς τὸν ἥλιον ἀεὶ στρέφουσιν ἐναντία [5] τὰ ὄμματα,

 καὶ

1 SG. ὦ τᾶν.

2 abest τῷ a SG. Idem cod. repetit artic. τὸ ante ἥδιστον.

3 V. οὖν; SG. γάρ.

4 Quae post h. v. sequuntur, desunt Junt. Ald. & Crat. usque ad εἶτα πρὸς. &c. H. Steph. notante, a librario temere omissa ob concursum verborum ἐγχέουσιν & καταχ. Etiam a Cruser. & Xyl. eadem sunt praetermissa. R. post συγκεκραμ. videtur deesse κἂν μὴ θέλῃ, & ad eandem vocem subaudiendum monet e praemissis διδόασιν.

5 Ita etiam in SG. manus prima dedit, altera ἐναντίον emendavit. V. in ind. Frft. ἐναντίον πλῆθος, in Br. ind. ἐναντία πλῆθος; incertum, utrum ille codex det, & praeterea num ver-

καὶ μυιῶν προσκαθημένων πλήθυς πᾶν ἀποκρύπτεται τὸ πρόσωπον. ἐντὸς δὲ ποιοῦντος, ὅσα ποιεῖν ἀναγκαῖόν ἐστιν ἐσθίοντας ἀνθρώπους καὶ πίνοντας, εὐλαὶ καὶ σκώληκες ὑπὸ φθορᾶς καὶ σηπεδόνος ἐκ τοῦ περιττώματος ἀναζέουσιν, ὑφ' ὧν ἀναλίσκεται τὸ σῶμα διαδυομένων εἰς τὰ ἐντός. ὅταν γὰρ ἤδη φανερὸς [1] ᾖ τεθνηκὼς ὁ ἄνθρωπος, ἀφαιρεθείσης τῆς ἐπάνω σκάφης, ὁρῶσι τὴν μὲν σάρκα κατεδηδεσμένην, περὶ δὲ σπλάγχνα τοιούτων θηρίων ἑσμοὺς ἐσθιόντων καὶ προσπεφυκότων. οὕτως ὁ Μιθριδάτης ἑπτακαίδεκα ἡμέρας φθειρόμενος μόλις ἀπέθανε.

XVII. Λοιπὸς δ' ἦν τῇ Παρυσάτιδι σκοπὸς, ο την κεφαλὴν ἀποτεμὼν καὶ τὴν χεῖρα τοῦ Κύρου Μεσαβάτης [2], βασιλέως εὐνοῦχος. ὡς οὖν αὐτὸς οὐδεμίαν καθ' ἑαυτοῦ λαβὴν παρεδίδου, τοιοῦτον ἐπιβουλῆς τρόπον ἡ Παρυσάτις συνέθηκεν. ἦν τά τ' ἄλλα θυμόσοφος γυνὴ καὶ δεινὴ κυβεύειν· διὸ καὶ βασιλεῖ πρὸ τοῦ πολέμου πολλάκις συνεκύβευε· μετὰ δὲ τὸν πόλεμον [3] διαλυθεῖσα

verba intermedia inter ἐναντία & πλήθους desint, an πλῆθος tantum pro πλήθους legatur, an vero denique voc. πλῆθος utroque loco, & post ἐναντία, & eo loco, quem in vulgatis occupat, positum sit. R. pro πλήθους mavult ὑπὸ πλήθους. Pro μυιῶν SG. Junt. Ald. Crat. μυῶν.

1 SG. φανερῶς. Id. paulo post περὶ δὲ τὰ σπλαγ. & fin. cap. ἡμέραις pro ἡμέρας. Junt. Ald. Crat. προπεφυκότων pro προσπεφ.

2 Junt. Ald. Crat. SG. Μασαβάτης. Id. secutus est Xyl. qui etiam observat, in Ctesiae reliquiis Βαγαβάτης legi.

3 Quae nunc post h. v. leguntur usque ad λαβοῦσα omissa sunt a Steph. Frst. & Br. ita ut in his edd. post πόλεμον statim sequatur δή ποτε. Vitii ansam inversio paginae in Steph. dedisse videtur. R. monentibus Br. & Duf. supplenda dedit ex Junt. Ald. & Crat. quibus SG. & Anon. testimonium exhibent. αὐτῷ post μικρότατον dedit R. de suo, pro αὐτοῦ, quod est in impressis, in Anon. autem omittitur, & Br. delendum censuit. In Junt. porro est αὐτῇ βουλομένῃ; Ald. & Crat. αὐτὴ βουλομένῃ habent; Anon. & SG. αὐτὴ βουλομένη, quod recepit R.

θεῖσα πρὸς αὐτὸν, ὀκ ἔφευγε τὰς φιλοφροσύνας, ἀλλὰ καὶ συνέπαιζε, καὶ τῶν ἐρωτικῶν ἐκοινώνει, συμπράτ]ȣσα καὶ παρȣ͂σα. καὶ ὅλως μικρότατον αὐτῷ τῇ Στατείρᾳ μετεδίδȣ χρῆθαι καὶ συνεῖναι, μισȣ͂σά τε μάλιςα πάν]ων ἐκείνην, καὶ μέγιςον αὐτὴ βȣλομένη δύναθαι. λαβȣ͂σα δή ποτε τὸν Ἀρτοξέρξην ὡρμημένον ἀλύειν, χολῆς ὄσης, πρȣκαλεῖτο περὶ χιλίων δαρεικῶν κυβεῦσαι· καὶ κυβεύοντα περιεῖδε νικῆσαι, καὶ τὸ χρυσίον ἀπέδωκε. προσποιȣμένη δ' ἀνιᾶθαι καὶ φιλονεικεῖν, ἐκέλευσεν αὖθις ἐξ ἀρχῆς περὶ εὐνȣ́χȣ διακυβεῦσαι· κἀκεῖνος ὑπήκȣσε. ποιησάμενοι δὲ συνθήκας, πέντε μὲν ἑκάτερον ὑπεξελέθαι τȣ̀ς πιςοτάτȣς, ἐκ δὲ τῶν λοιπῶν, ὃν ἂν ὁ νικῶν [1] ἕληται, δȣ͂ναι τὸν ἡτ]ώμενον· ἐπὶ τȣ́τοις ἐκύβευον. σφόδρα δὲ γενομένη πρὸς τῷ πράγματι, καὶ σπȣδάσασα περὶ τὴν παιδιὰν, εὖ δέ πως αὐτῇ καὶ τῶν κύβων πεσόν]ων, νικήσασα λαμβάνει τὸν Μεσαβάτην. ȣ̓ γὰρ ἦν ἐν τοῖς ὑπεξῃρημένοις. καὶ πρὶν ἐν ὑποψίᾳ βασιλέα γενέθαι [2] τȣ͂ πράγματος, ἐγχειρίσασα τοῖς ἐπὶ τῶν τιμωριῶν, προσέταξεν ἐκδεῖραι ζῶντα· καὶ τὸ μὲν σῶμα πλάγιον διὰ τριῶν ςαυρῶν ἀναπῆξαι [3], τὸ δὲ δέρμα χωρὶς διαπατ]αλεῦσαι. γενομένων δὲ τȣ́των, καὶ βασιλέως χαλεπῶς φέρον]ος, καὶ παροξυνομένȣ πρὸς αὐτὴν, εἰρωνευομένη μετὰ γέλωτος, ὡς ἡδὺς, ἔφασκεν· Εἶς [4] καὶ μακάριος, εἰ χαλεπαίνεις διὰ γέροντα πονηρὸν εὐνȣ͂χον, ἐγὼ δὲ χιλίȣς ἐκκυβευθεῖσα δαρεικȣ̀ς σιωπῶ καὶ ςέργω. βασιλεὺς μὲν ȣ͂ν ἐφ' οἷς ἐξηπατήθη μεταμελόμενος, ἡσυχίαν ἦγεν· ἡ δὲ Στάτειρα καὶ πρὸς τἄλλα φανερῶς ἠναντιȣ͂το, καὶ τȣ́τοις ἐδυσχέραινεν, ὡς ἄνδρας εὐνȣ́χȣς καὶ πιςȣ̀ς βασιλεῖ διὰ Κῦρον ὠμῶς καὶ παρανόμως ἀπολλυȣ́σης αὐτῆς.



1 Cum artic. ὁ restituit R. e Junt. & SG. monente Br. Eundem exhibent Ald. & Crat.

2 SG. ordine inverso γενέθαι βασιλέα.

3 V. ἀναπῆξαι.

4 Junt. & SG. εἶναι.

XVIII. Ἐπεὶ δὲ Κλέαρχον καὶ τὰς ἄλλας στρατηγὰς Τισαφέρνης ἐξηπάτησε καὶ παρεσπόνδησεν [1], ὅρκων γενομένων, καὶ συλλαβὼν ἀνέπεμψεν ἐν πέδαις δεδεμένας, δεηθῆναί φησιν αὐτᾶ τὸν Κλέαρχον ὁ Κτησίας, ὅπως κτενὸς εὐπορήσειε. τυχόντα δὲ καὶ τημελήσαντα τὴν κεφαλὴν ἡσθῆναί τε τῇ χρείᾳ, καὶ τὸν δακτύλιον αὐτῷ δᾶναι, σύμβολον φιλίας πρὸς τὰς ἐν Λακεδαίμονι συγγενεῖς καὶ οἰκείας· εἶναι δὲ γλυφὴν ἐν τῇ σφραγῖδι, Καρυάτιδας ὀρχαμένας [2]. τὰ δὲ πεμπόμενα σιτία τῷ Κλεάρχῳ τὰς συνδεδεμένας στρατιώτας ἀφαιρεῖσθαι καὶ καταναλίσκειν, ὀλίγα τῷ Κλεάρχῳ διδόντας ἀπ' αὐτῶν. ἰᾶσθαι [3] δὲ καὶ τᾶτο φησὶν ὁ Κτησίας, πλείονα τῷ Κλεάρχῳ πέμπεσθαι διαπραξάμενος, ἰδίᾳ δ' ἕτερα τοῖς στρατιώταις δίδοσθαι· καὶ ταῦτα μὲν ὑπεργῆσαι καὶ παρασχεῖν, χάριτι καὶ γνώμῃ τῆς Παρυσάτιδος. πεμπομένα δὲ καθ' ἡμέραν τῷ Κλεάρχῳ κωλῆνος ἐπὶ τοῖς σιτίοις, παρακαλεῖν αὐτὸν καὶ διδάσκειν, ὡς χρὴ μικρὸν εἰς τὸ κρέας ἐμβαλόντα μαχαίριον, ἀποκρύψαντα πέμψαι, καὶ μὴ περιϊδεῖν ἐν τῇ [4] βασιλέως ὠμότητι τὸ τέλος αὐτᾶ γενόμενον, αὐτὸν δὲ φοβάμενον μὴ ἐθελῆσαι· βασιλέα δὲ τῇ μὲν μητρὶ παραιταμένῃ, μὴ κτεῖναι τὸν Κλέαρχον, ὁμολογῆσαι καὶ ὀμόσαι· πεισθέντα δ' αὖθις ὑπὸ τῆς Στατείρας, ἀποκτεῖναι πάντας, πλὴν Μένωνος. ἐκ δὲ τάτα τὴν Παρυσάτιν ἐπιβαλεῦσαι τῇ Στατείρᾳ, καὶ συσκευάσασθαι τὴν φαρμακείαν κατ' αὐτῆς· ἀκ εἰκότα λέγων, ἀλλὰ πολλὴν ἀλογίαν ἔχοντα τῆς αἰτίας· εἰ δεινὸν ἔργον ἅτως ἔδρασε καὶ παρεκινδύνευσεν ἡ Παρυσάτις, διὰ Κλέαρχον ἀνελεῖν τολ-

1 Voces καὶ παρεσπ. absunt a Junt. Ald. Crat.

2 καρυατίζειν genus est saltandi a Castore & Polluce Lacedaemoniis traditum Caryis, Laconicae oppido. Xyl. Pro praecedente voce γλυφὴν V. γλυφίδας.

3 V. Anon. ἰάσασθαι, quod probat Duf.

4 Duf. mavult ἐπὶ τῇ β. ὠμ.

τολμήσασα τὴν γνησίαν βασιλέως γυναῖκα, καὶ τέκνων κοινωνὸν ἐπὶ βασιλείᾳ [1] τρεφομένων. ἀλλὰ ταῦτα μὲν ἐκ ἄδηλον ὡς ἐπιτραγῳδεῖται τῇ Κλεάρχȣ μνήμῃ. καὶ γὰρ ἀναιρεθέντων φησὶ τῶν ϛρατηγῶν τȣ̀ς μὲν ἄλλȣς ὑπὸ κυνῶν σπαράττεσθαι καὶ ὀρνέων· τῷ δὲ Κλεάρχȣ νεκρῷ θύελλαν ἀνέμȣ, γῆς θῖνα πολλὴν φέρȣσαν, ἐπιχῶσαι καὶ ἐπικρύψαι τὸ σῶμα· φοινίκων δέ τινων διασπαρέντων, ὀλίγῳ χρόνῳ θαυμαϛὸν ἄλσος ἀναφῦναι καὶ κατασκιάσαι τὸν τόπον· ὥϛε καὶ βασιλεῖ σφόδρα μεταμέλειν, ὡς ἄνδρα θεοῖς φίλον ἀνῃρηκότι, τὸν Κλέαρχον.

XIX. Ἡ δ' ȣ̂ν Παρυσάτις, μίσȣς τε πρὸς τὴν Στάτειραν ἐξ ἀρχῆς ὑποκειμένȣ καὶ ζηλοτυπίας, ὁρῶσα τὴν μὲν αὐτῆς δύναμιν αἰδȣμένȣ βασιλέως καὶ τιμῶντος ȣ̂σαν, τὴν δ' ἐκείνης ἔρωτι καὶ πίϛει βέβαιον καὶ ἰσχυρὰν, ἐπεβȣ́λευσεν ὑπὲρ τῶν μεγίϛων, ὡς ᾤετο, παραβαλλομένη. θεράπαιναν εἶχε πιϛὴν καὶ δυναμένην παρ' αὐτῇ μέγιϛον, ὄνομα Γίγιν [2]· ἣν ὁ μὲν Δείνων ὑπȣργῆσαι [3] τῇ φαρμακείᾳ φησὶ, συγγνῶναι [4] δὲ μόνον ἄκȣσαν ὁ Κτησίας. τὸν δὲ δόντα τὸ φάρμακον ȣ̂τος μὲν ὀνομάζει Βελιτάραν, ὁ δὲ Δείνων Μελάνταν [5]. ἐκ δὲ τῆς πρόσθεν ὑποψίας καὶ διαφορᾶς ἀρξάμεναι πάλιν εἰς τὸ αὐτὸ φοιτᾶν καὶ συνδειπνεῖν ἀλλήλαις, ὅμως τῷ [6]

 δεδιέ-

1 SG. ἐπὶ βασιλείας.

2 In Ctesianis Eclogis est Γίγγη; & nomen avis, de qua paulo post Ῥυνδάκη. Xyl.

3 Sic, Duf. probante, cum V. Anon. & SG. dedit R. pro vulg. ὑπȣργεῖσθαι.

4 R. adnotat, raro modo συγγνῶναι h. l. usurpatum esse pro συνίϛορα εἶναι. Id. pro ἄκȣσαν mavult ἀκȣ́σασαν, eo, *quod hac de re fando inaudisset.*

5 Sic Graece nomen *Beltassar* a Ctesia expressum fuisse arbitratur Huetius, Dem. Evang. Ed. Lips. p. 466. pro quo Dinon Μελάντας perperam scripserit, deceptus similitudine priscae figurae 7ȣ β, quae ad figuram 7ȣ μ accedebat. Dacer.

6 SG. τῷ.

δεδιέναι καὶ φυλάττεσθαι, τοῖς αὐτοῖς σιτίοις καὶ ἀπὸ τῶν αὐτῶν ἐχρῶντο. γίνεται δὲ μικρὸν ἐν Πέρσαις ὀρνίθιον, ᾧ περιττώματος οὐδὲν ἐστιν, ἀλλ' ὅλον διάπλεων πιμελῆς τὰ ἐντός· ᾗ [1] καὶ νομίζουσιν ἀνέμῳ καὶ δρόσῳ τρέφεσθαι τὸ ζῶον· ὀνομάζεται δὲ ῥυντάκης. τοῦτο φησὶν ὁ Κτησίας μικρᾷ μαχαιρίδι κεχρισμένῃ τῷ φαρμάκῳ κατὰ θάτερα τὴν Παρυσάτιν διαιροῦσαν, ἐκμάξαι τῷ ἑτέρῳ μέρει τὸ φάρμακον· καὶ τὸ μὲν ἄχραντον καὶ καθαρὸν εἰς τὸ στόμα βαλοῦσαν αὐτὴν ἐσθίειν, δοῦναι δὲ τῇ Στατείρᾳ τὸ πεφαρμαγμένον, ὁ δὲ Δείνων οὐ τὴν Παρυσάτιν, ἀλλὰ τὸν Μελάνταν τέμνοντα τῷ μαχαιρίῳ τὰ φαρμασσόμενα τῶν κρεῶν τιθέναι κατὰ τὴν Στάτειραν. ἀποθνήσκουσα γοῦν [2] ἡ γυνὴ μετὰ πόνων μεγάλων καὶ σπαραγμῶν, αὐτή τε συνῃσθάνετο τοῦ κακοῦ, καὶ βασιλεῖ παρέσχεν ὑποψίαν κατὰ τῆς μητρὸς, εἰδότι τὸ θηριῶδες αὐτῆς καὶ δυσμείλικτον. ὅθεν εὐθὺς ἐπὶ τὴν ζήτησιν ὁρμήσας, τοὺς μὲν ὑπηρέτας καὶ τραπεζοκόμους τῆς μητρὸς συνέλαβε καὶ κατεστρέβλωσε· τὴν δὲ Γίγιν ἡ Παρυσάτις πολὺν χρόνον εἶχεν οἴκοι μεθ' αὐτῆς, καὶ, βασιλέως ἐξαιτοῦντος, οὐκ ἔδωκεν· ἀλλ' ὕστερον αὐτῆς δεηθείσης εἰς τὸν οἶκον [3] ἀφεθῆναι νυκτὸς, αἰσθόμενος καὶ λόχον ὑφεὶς συνήρπασε, καὶ κατέγνω θάνατον. ἀποθνήσκουσι δ' οἱ φαρμακεῖς ἐν Πέρσαις κατὰ νόμον οὕτως· λίθος ἐστὶ πλατὺς, ἐφ' οὗ τὴν κεφαλὴν καταθέντες αὐτῶν, ἑτέρῳ λίθῳ παίουσι καὶ πιέζουσιν, ἄχρις οὗ συνθλάσωσι [4] τὸ πρόσωπον καὶ τὴν κεφαλήν. ἡ οὖν Γίγις οὕτως ἀπέθανε. τὴν δὲ Παρυσάτιν ὁ Ἀρτοξέρξης ἄλλο μὲν οὐδὲν οὔτ' εἶπε κακὸν, οὔτ' ἐποίησεν, εἰς δὲ Βαβυλῶνα βουλομένην ἐξέπεμψεν, εἰπὼν,

ἕως

1 abest ᾗ a SG.

2 SG. οὖν.

3 R. quaerit, num εἰς τὸν ἑαυτῆς οἶκον, *ad suam*, Gigis, *mansionem remitti*.

4 SG. συνθλάσουσι.

ἕως ἐκείνη περίεστιν, αὐτὸς οὐκ ὄψεσθαι [1] Βαβυλῶνα. τὰ μὲν οὖν κατὰ τὴν οἰκίαν οὕτως εἶχεν.

XX. Ἐπεὶ δὲ τοὺς Κύρῳ συναναβάντας Ἕλληνας σπουδάσας λαβεῖν ὁ βασιλεὺς οὐδὲν ἧττον, ἢ Κύρου περιγενέσθαι, καὶ τὴν βασιλείαν κατασχεῖν, οὐκ ἔλαβεν, ἀλλὰ Κῦρον, τὸν ἡγεμόνα, καὶ τοὺς αὐτῶν στρατηγοὺς ἀποβαλόντες ἐξ αὐτῶν μονονουχὶ τῶν βασιλείων ἐσώθησαν, ἐξελέγξαντες καὶ ἀποφήναντες τὰ Περσῶν καὶ βασιλέως πράγματα, χρυσὸν ὄντα πολὺν καὶ τρυφὴν, καὶ γυναῖκας, τὰ δ' ἄλλα τῦφον καὶ ἀλαζονείαν· πᾶσα μὲν ἡ Ἑλλὰς ἐξεθάῤῥησε καὶ κατεφρόνησε τῶν βαρβάρων· Λακεδαιμονίοις δὲ καὶ [2] δεινὸν ἐφαίνετο, μὴ νῦν γε δουλείας ἐξελέσθαι τοὺς τὴν Ἀσίαν κατοικοῦντας Ἕλληνας, μηδὲ παῦσαι προπηλακιζομένους ὑπ' αὐτῶν. πρότερον δὲ διὰ Θίμβρωνος [3], εἶτα διὰ Δερκυλίδου πολεμοῦντες, οὐδὲν δὲ πράττοντες ἀξιόλογον, Ἀγησιλάῳ, τῷ βασιλεῖ, τὸν πόλεμον ἐπέτρεψαν. ὁ δὲ περαιωθεὶς ναυσὶν εἰς Ἀσίαν εὐθὺς ἦν ἐνεργὸς, καὶ δόξαν εἶχε μεγάλην· καὶ Τισαφέρνην παραταξάμενος ἐνίκησε, καὶ τὰς πόλεις ἀφίστη. τούτων δὲ γενομένων, συμφρονήσας ὁ Ἀρτοξέρξης, ὃν τρόπον αὐτοῖς ἐστι πολεμητέον, ἔπεμψεν Ἑρμοκράτην, τὸν Ῥόδιον, εἰς τὴν Ἑλλάδα, χρυσίον πολὺ κομίζοντα, διδόναι καὶ διαφθείρειν τοὺς πλεῖστον ἐν ταῖς πόλεσι δυναμένους κελεύσας, καὶ πόλεμον Ἑλληνικὸν κινεῖν ἐπὶ τὴν Λακεδαίμονα. τοῦ δ' Ἑρμοκράτους ταῦτα πράττοντος [4], καὶ τῶν μεγίστων πόλεων συνισταμένων, καὶ τῆς Πελοποννήσου διαταραττομένης, μετεπέμποντο τὸν Ἀγησίλαον ἐκ τῆς Ἀσίας οἱ ἄρχοντες. ὅτε δὴ καὶ φασιν αὐτὸν ἀπιόντα πρὸς τοὺς φίλους εἰπεῖν,

1 Junt. Ald. Crat. ὄψεται.

2 καὶ abest a Junt. Ald. Crat.

3 Vid. Xenoph. l. 3. rerum Graec. & Diod. Sic. l. 14. & Plut. in Agesil. Cornel.

4 SG. τοῦ δὲ Τιμοκράτους ταῦτα πράσσοντος.

πεῖν, ὡς τρισμυρίοις τοξόταις ἐξελαύνοιτο [1] τῆς Ἀσίας ὑπὸ βασιλέως. τὸ γὰρ Περσικὸν νόμισμα τοξότην ἐπίσημον εἶχεν.

XXI. Ἐξέβαλε δὲ καὶ τῆς θαλάσσης Λακεδαιμονίους, Κόνωνι, τῷ Ἀθηναίῳ, μετὰ Φαρναβάζου στρατηγῷ χρησάμενος. ὁ γὰρ Κόνων διέτριβε μὲν ἐν Κύπρῳ μετὰ τὴν ἐν Αἰγὸς ποταμοῖς ναυμαχίαν, οὐ τὴν ἀσφάλειαν ἀγαπῶν, ἀλλὰ τὴν τῶν πραγμάτων μεταβολήν, ὥσπερ ἐν πελάγει τροπήν, περιμένων. ὁρῶν δὲ καὶ τοὺς ἑαυτοῦ λογισμοὺς δυνάμεως, καὶ τὴν βασιλέως δύναμιν ἀνδρὸς ἔμφρονος δεομένην, ἔπεμψεν ἐπιστολὴν βασιλεῖ περὶ ὧν διενοεῖτο. καὶ ταύτην ἐκέλευσε τὸν κομίζοντα μάλιστα μὲν ἀποδοῦναι διὰ Ζήνωνος, τοῦ Κρητός, ἢ Πολυκρίτου, τοῦ Μενδαίου· τούτων δ' ἦν ὁ μὲν Ζήνων ὀρχηστής, ὁ δὲ Πολύκριτος ἰατρός· ἂν δ' οὗτοι μὴ παρῶσι, διὰ Κτησίου, τοῦ ἰατροῦ. λέγεται δ' ὁ Κτησίας τὴν ἐπιστολὴν λαβὼν παρεγγράψαι τοῖς ὑπὸ τοῦ Κόνωνος ἐπεσταλμένοις, ὅπως καὶ Κτησίαν ἀποστείλῃ πρὸς αὐτόν, ὡς [2] ὠφέλιμον ὄντα ταῖς ἐπὶ θαλάσσῃ πράξεσιν. ὁ δὲ Κτησίας αὐτὸν ὑφ' ἑαυτοῦ βασιλέα φησὶ προσθεῖναι τὴν λειτουργίαν αὐτῷ ταύτην. ἀλλ' ἐπεὶ κρατήσας τῇ περὶ Κνίδον ναυμαχίᾳ διὰ Φαρναβάζου καὶ Κόνωνος, ἀφείλετο τὴν κατὰ θάλατταν ἀρχὴν Λακεδαιμονίους, ἐπέστρεψε πᾶσαν ὁμοῦ τὴν Ἑλλάδα πρὸς αὐτόν, ὥστε καὶ τὴν περιβόητον εἰρήνην βραβεῦσαι τοῖς Ἕλλησι, τὴν ἐπ' Ἀνταλκίδου προσαγορευομένην. ὁ δ' Ἀνταλκίδης Σπαρτιάτης Λέοντος ἦν υἱὸς [3], καὶ σπουδάσας βασιλεῖ, διεπράξατο τὰς ἐν Ἀσίᾳ πόλεις Ἑλληνίδας ἁπάσας, καὶ νήσους, ὅσαι προσκυροῦσιν Ἀσίᾳ, παρεῖναι Λακεδαιμονίους αὐτῷ κεκτῆσθαι φόρων ὑποτελεῖς, εἰρήνης γενομένης τοῖς Ἕλλησιν· εἰ δεῖ τὴν τῆς Ἑλλά-

δος

1 V. ἐλαύνοιτο.
2 ὡς deest Junt. Ald. Crat.
3 SG. Σπαρτιάτης ἦν Λέοντος υἱός.

δος ὕβριν καὶ προδοσίαν εἰρήνην καλεῖν, ἧς πόλεμος ἐδεὶς ἀκλεέϛερον ἤνεγκε τὸ [1] τέλος τοῖς κρατηθεῖσι.

XXII. Διὸ καὶ τὲς ἄλλες Σπαρτιάτας ἀεὶ βδελυττόμενος ὁ Ἀρτοξέρξης, καὶ νομίζων, ὥς φησι Δείνων, ἀνθρώπων ἁπάντων ἀναιδεϛάτες εἶναι, τὸν Ἀνταλκίδαν ὑπερηγάπησεν εἰς Πέρσας ἀναβάντα. καί ποτε λαβὼν ἕνα τῶν ἀνθινῶν ϛεφάνων, καὶ βάψας εἰς μύρον τὸ πολυτελέϛατον, ἀπὸ δείπνε ἔπεμψε τῷ Ἀνταλκίδᾳ· καὶ πάντες ἐθαύμασαν τὴν φιλοφροσύνην. ἦν δ', ὡς ἔοικεν, ἕτος ἐπιτήδειος [2] ἐντρυφηθῆναι καὶ τοιοῦτον λαβεῖν ϛέφανον, ὀρχησάμενος [3] ἐν Πέρσαις τὸν Λεωνίδαν καὶ τὸν Καλλικρατίδαν. ὁ μὲν γὰρ Ἀγησίλαος, ὡς ἔοικε, πρὸς τὸν εἰπόντα· Φεῦ τῆς Ἑλλάδος, ὅπε μηδίζεσιν ἡμῖν οἱ Λάκωνες· Οὔ [4] μᾶλλον, εἶπεν, οἱ Μῆδοι λακωνίζεσι. τε̃ δὲ ῥήματος ἡ κομψότης τὴν τε̃ πράγματος αἰσχύνην ἐκ ἀφεῖλεν, ἀλλὰ τὴν μὲν ἡγεμονίαν ἀπώλεσαν, ἐν Λεύκτροις ἀγωνισάμενοι κακῶς· ἡ δὲ δόξα τῆς Σπαρτης προσαπώλετο [5] ταῖς ὁμολογίαις ἐκείναις. ἄχρι μὲν ἕν ἐπρώτευεν ἡ Σπάρτη, ξένον ἐποιεῖτο καὶ φίλον ὠνόμαζεν ἑαυτε̃ τὸν Ἀνταλκίδαν [6]. ἐπεὶ δ' ἡττήθησαν ἐν Λεύκτροις, ταπεινὰ πράττον-

1 abest τὸ a SG.

2 SG. ordine inverso: ἐπιτήδειος ἕτος.

3 V. & Anon. ἐξορχησάμενος, additis ex Anon. his: id est ὑβρίσας, testante Hesychio. Sic legendum censuit Duf. & amplectuntur Kind & Schirach. Xyl. vertit *saltans*, sed vulgata ei fuit suspecta. Lapus: per saltationem & lasciviam Leonidae & Callicratidae insultans.

4 *ubi.* R. dedit de suo pro vulg. ἐ, non.

5 Duf. mavult προαπώλετο. Anni XVI. intercesserunt inter Pacem illam & cladem Leuctricam.

6 Xyl. vitiose sic legi pro Ἀρτοξέρξην, censet, & vertit Artoxerxem, cum Antalcidae tribui ξένε & φίλε nomen, quippe civi, a Spartanis non potuerit. At non observasse videtur ἑαυτε̃, male ad Σπάρτη referendum. Sermo est de Artaxerxe,

τον]ες, ἐδέοντο μὲν χρημάτων, καὶ τὸν Ἀγησίλαον εἰς Αἴγυπ]ον ἐξέπεμψαν· ὁ δ᾽ Ἀνταλκίδας ἀνέβη πρὸς τὸν Ἀρτοξέρξην, παρακαλῶν ἐπαρκέσαι τοῖς Λακεδαιμονίοις. ὁ δ᾽ ὖτος ἐξημέλησε καὶ παρεῖδε καὶ ἀπέῤῥιψεν αὐτὸν, ὥσε καταβάντα, καὶ χλευαζόμενον [1] ὑπὸ τῶν ἐχθρῶν, φοβύμενον δὲ καὶ τὺς Ἐφόρυς, ἀποκαρτερῆσαι. ἀνέβη δὲ πρὸς τὸν βασιλέα καὶ Ἰσμηνίας, ὁ Θηβαῖοις, καὶ Πελοπίδας, ἤδη τὴν ἐν Λεύκ]ροις μάχην νενικηκώς. ἀλλ᾽ ὖτος μὲν ὐδὲν αἰχρὸν ἐποίησεν· Ἰσμηνίας δὲ, προσκυνῆσαι κελευόμενος, ἐξέβαλε πρὸ αὐτῦ χαμάζε τὸν δακ]ύλιον, εἶτα κύψας ἀνείλετο, καὶ παρέσχε δόξαν προσκυνῦντος. Τιμαγόρᾳ δὲ, τῷ Ἀθηναίῳ, διὰ Βηλύριδος, τῦ γραμματέως, εἰσπέμψαντι γραμματίδιον ἀπόῤῥητον, ἡσθεὶς, μυρίυς τε δαρεικὺς ἔδωκε, καὶ γάλακ]ος βοείυ [2] δεομένῳ δι᾽ ἀσθένειαν ὀγδοήκοντα βῦς ἀμέλγεσθαι παρηκολύθυν. ἔτι δὲ κλίνην καὶ σρώματα καὶ τὺς σρωννύντας ἔπεμψεν, ὡς ὐ μεμαθηκότων Ἑλλήνων ὑποσρωννύναι· καὶ φορεῖς τὺς κομίζον]ας αὐτὸν ἄχρι [3] θαλάσσης μαλακῶς ἔχον]α. παρόντι δὲ δεῖπνον ἐπέμπετο λαμπρότατον· ὥσε καὶ τὸν ἀδελφὸν τῦ βασιλέως, Ὀσάνην· Ὦ Τιμαγόρα, φάναι, μέμνησο ταύτης τῆς τραπέζης· ὐ γὰρ ἐπὶ σμικροῖς ὔτω σοι κεκοσμημένη παράκειται. τῦτο δ᾽ ἦν ὀνειδισμὸς εἰς προδοσίαν μᾶλλον, ἢ χάριτος ὑπόμνησις [4].

Τιμα-

xerxe, qui Antalcidam, re Spartana valente, hospitem & amicum nominavit, illa autem fracta, neglexit. Sic verterunt Kind & Schirach.

1 R. mavult ὥσε καταβύντα, *ut, cum ex Artaxerxis aula rediisset ad civitates maritimas Asiae minoris*, χλευαζόμενον μὲν ὑπὸ ]ῶν ἐχθρῶν —

2 R. quaerit, num ὀνείκ, & in seq. ὄνυς pro βῦς? Cf. Plut. in Pelop. T. II. c. 30.

3 V. & SG. μέχρι. Pro sep. ἔχοντα R. quaerit, num βαίνοντας, *molliter incedentes*?

4 Sic, Duf. probante, cum V. & SG. dedit R. pro vulg. ὑπό-

Τιμαγόρε μὲν ἒν διὰ τὴν δωροδοκίαν Ἀθηναῖοι θάνατον κατέγνωσαν.

XXIII. Ὁ δ' Ἀρτοξέρξης ἓν ἀντὶ πάντων, ὧν ἐλύπει, τὲς Ἕλληνας ηὔφρανε [1], Τισαφέρνην, τὸν ἔχθισον αὐτοῖς καὶ δυσμενέστατον, ἀποκτείνας. ἀπέκτεινε δὲ, ταῖς διαβολαῖς αὐτε τῆς Παρυσάτιδος συνεπιθεμένης. ἐ γὰρ ἐνέμεινεν ἐν τῇ ὀργῇ [2] πολὺν χρόνον ὁ βασιλεὺς, ἀλλὰ διηλλάγη τῇ μητρὶ, καὶ μετεπέμψατο, νῦν μὲν ὁρῶν ἔχεσαν καὶ φρόνημα βασιλείας ἄξιον, αἰτίας δὲ μηδεμιᾶς ἐμποδὼν ἔσης ἔτι, δι' ἣν ὑπόψονται συνόντες ἀλλήλοις, ἢ λυπήσεσιν. ἐκ δὲ τέτε πάντα πρὸς χάριν ὑπεργεσα βασιλεῖ, καὶ τῷ πρὸς μηδὲν, ὧν ἐκεῖνος ἔπραττε, δυσκολαίνειν, ἔχεσα τὸ δύνασθαι παρ' αὐτῷ καὶ τυγχάνειν ἁπάντων, ᾔσθετο τῆς ἑτέρας τῶν θυγατέρων, Ἀτόσσης, ἐρῶντος ἔρωτα δεινόν· ἐπικρυπτομένε δὲ δι' ἐκείνην ἐχ ἥκιστα, καὶ κολάζοντος τὸ πάθος, ὥς φασιν ἔνιοι, καίτοι γεγενημένης ἤδη πρὸς τὴν παρθένον ὁμιλίας αὐτῷ λαθραίας. ὡς ἒν ὑπώπτευσεν ἡ Παρυσάτις, τὴν παῖδα μᾶλλον, ἢ πρότερον, ἠσπάζετο· καὶ πρὸς τὸν Ἀρτοξέρξην ἐπῄνει τό τε κάλλος αὐτῆς καὶ τὸ ἦθος, ὡς βασιλικῆς καὶ μεγαλοπρεπες. τέλος γεν, γῆμαι τὴν κόρην ἔπεισε, καὶ γνησίαν ἀποδεῖξαι γυναῖκα, χαίρειν ἐάσαντα δόξας Ἑλλήνων καὶ νόμες· Πέρσαις δὲ [3] νόμον αὐτὸν, ὑπὸ τε θεε, καὶ δικαιωτὴν αἰσχρῶν καὶ καλῶν, ἀποδεδειγμένον. ἔνιοι μέντοι λέγεσιν, ὧν ἐστι καὶ Ἡρακλείδης, ὁ Κυμαῖος, ε μίαν μόνον τῶν θυγατέρων, ἀλλὰ καὶ δευτέραν, Ἄμηστριν, γῆμαι τὸν Ἀρτοξέρξην, περὶ ἧς ὀλίγον ὕστε-

ὑπόμνησιν. Id. restituit articulum τὴν ante δωροδ. e Junt. Ald. Crat. & SG.

1 V. εὔφρανε. SG. ηὔφραινε.

2 SG. ἐνέμεινε τῇ ὀργῇ, omisso ἐν.

3 scil. ἀποδεῖξαι — *Persis autem, ut semet ipse ferret pro lege atque norma, ab ipso deo iis data, & pro arbitrio turpium honestorumque.* R.

ὕστερον ἀπαγγελοῦμεν. τὴν δ' Ἄτοσσαν οὕτως ἠγάπησεν ὁ πατὴρ συνοικοῦσαν, ὥστ', ἀλφοῦ καταινεμηθέντος αὐτῆς τὸ σῶμα, δυσχερᾶναι μὲν ἐπὶ τούτῳ μηδ' ὁτιοῦν· εὐχόμενος δὲ περὶ αὐτῆς τῇ Ἥρᾳ, προσκυνῆσαι μόνην θεῶν ἐκείνην, ταῖς χερσὶ τῆς γῆς ἁψάμενος· δῶρά τε τῇ θεῷ τοσαῦτα πέμψαι τοὺς σατράπας καὶ φίλους, αὐτοῦ κελεύσαντος, ὥστε τὰ μεταξὺ τοῦ ἱεροῦ καὶ τῶν βασιλείων ἑκκαίδεκα στάδια χρυσοῦ καὶ ἀργύρου καὶ πορφύρας καὶ ἵππων [1] ἐμπλησθῆναι.

XXIV. Πόλεμον δὲ πρὸς μὲν Αἰγυπτίους [2] διὰ Φαρναβάζου καὶ Ἰφικράτους ἐξενεγκὼν ἀπέτυχε, στασιασάντων ἐκείνων· ἐπὶ δὲ Καδουσίους αὐτὸς ἐστράτευσε τριάκοντα μυριάσι πεζῶν καὶ μυρίοις ἱππεῦσιν. ἐμβαλὼν δ' εἰς χώραν τραχύτητι χαλεπὴν καὶ ὁμιχλώδη, καὶ τῶν ἀπὸ σπόρου καὶ [3] καρπῶν ἄγονον, ἀπίοις δὲ καὶ μήλοις καὶ τοιούτοις ἄλλοις ἀκροδρύοις τρέφουσαν ἀνθρώπους πολεμικοὺς καὶ θυμοειδεῖς, ἔλαθε μεγάλαις ἀπορίαις καὶ κινδύνοις περιπεσών. οὐδὲν γὰρ ἐδώδιμον ἦν λαμβάνειν, οὐδ' ἔξωθεν ἐπεισάγεσθαι. τὰ δ' ὑποζύγια μόνον κατέκοπτεν [4], ὥστ' ὄνου κεφαλὴν μόλις δραχμῶν ἑξήκοντα ὤνιον εἶναι. τὸ δὲ βασιλικὸν δεῖπνον ἐξελείφθη· καὶ τῶν ἵππων ὀλίγοι περιῆσαν [5] ἔτι, τοὺς δ' ἄλλους ἐσθίοντες κατηναλώκεσαν [6]. ἐνταῦθα Τιρίβαζος, ἀνὴρ πολλάκις μὲν ἐν πρώτῃ δι' ἀνδραγαθίαν τάξει γενόμενος,

1 Dacer. legi vult λίθων. Quaerit e contrario Schirach, annon ſupponere liceat, tantam donorum vim equis pretioſe ornatis eo traductam fuiſſe?

2 Deſcribitur tota res eleganter a Diod. Sic. l. 25. Xyl.

3 abeſt καὶ a SG.

4 Anon. & SG. κατέκοπτον, quod Duſ. probat, niſi forſin κατέκαπτον ſcribi ſatius ſit. R. ſuſp. μόνον οὐ πάντα κατέκοπτον.

5 Sic Junt. Ald. Crat. Anon. & SG. & dedit R. probante Br. pro παρῆσαν, quod e Steph. prodiit.

6 SG. καταινηλώκεσαν; Id. in ſeq. & infra ubique Τηρίβαζος.

πος, πολλάκις δ' ἀποῤῥιφεὶς διὰ κουφότητα, καὶ τότε ταπεινὰ πράττων καὶ περιορώμενος, ἔσωσε βασιλέα καὶ τὸν στρατόν. ὄντων γὰρ δυοῖν ἐν τοῖς Καδουσίοις βασιλέων, ἑκατέρου δὲ χωρὶς στρατοπεδεύοντος, ἐντυχὼν τῷ Ἀρτοξέρξῃ, καὶ φράσας περὶ ὧν διενοεῖτο πράττειν, ἐβάδιζεν αὐτὸς πρὸς τὸν ἕτερον τῶν Καδουσίων, καὶ πρὸς τὸν ἕτερον κρύφα τὸν υἱὸν ἔπεμψεν [1]. ἐξηπάτα δ' ἑκάτερον ἑκάτερος, λέγων, ὡς ἅτερος ἐπιπρεσβεύεται πρὸς τὸν Ἀρτοξέρξην, φιλίαν μόνῳ πράττων ἑαυτῷ καὶ συμμαχίαν· ἐκεῖνον, εἰ σωφρονεῖ [2], χρῆναι πρότερον ἐντυγχάνειν ἐκείνῳ, αὐτὸν δὲ [3] συμπράξειν ἅπαντα. τούτοις ἐπείσθησαν ἀμφότεροι, καὶ φθονεῖν ἀλλήλοις [4] νομίζοντες, ὁ μὲν τῷ Τιριβάζῳ συνέπεμψε πρέσβεις, ὁ δὲ τῷ παιδὶ τοῦ [5] Τιριβάζου. διατριβῆς δὲ γενομένης, ὑποψίαι καὶ διαβολαὶ κατὰ τοῦ Τιριβάζου τῷ Ἀρτοξέρξῃ προσέπιπτον. αὐτὸς δὲ δυσθύμως εἶχε, καὶ μετενόει πιστεύσας τῷ Τιριβάζῳ, καὶ τοῖς φθονοῦσιν ἐγκαλεῖν παρεῖχεν. ἐπεὶ δ' ἧκεν [6] ὁ Τιρίβαζος, ἧκε δὲ καὶ υἱὸς αὐτοῦ, τοὺς Καδουσίους ἄγοντες, ἐγένοντο δὲ σπονδαὶ πρὸς ἀμφοτέρους καὶ εἰρήνη· μέγας ὢν ὁ Τιρίβαζος ἤδη καὶ λαμπρὸς ἀνεζεύγνυε μετὰ τοῦ βασιλέως, ἐπιδεικνυμένου πᾶσαν [7] τὴν δειλίαν καὶ τὴν μαλακίαν, οὐ τρυφῆς καὶ πολυτελείας, ὥσπερ οἱ πολλοὶ νομίζουσιν, ἔκγονον οὖσαν, ἀλλὰ μοχθηρᾶς φύσεως καὶ ἀγεννοῦς, καὶ δόξαις [8] πο-

νηραῖς

1 SG. ἔπεμπεν. Sic & in ind. Frst. absque nota codicis; in ind. Br. V. tribuitur.

2 SG. Junt. Ald. Crat. σωφρονεῖς.

3 abest δὲ a SG.

4 Br. susp. φθάνειν ἀλλήλους.

5 abest τοῦ a SG.

6 V. ἦλθεν. In seq. SG. ὁ υἱὸς cum articulo.

7 Br. susp. πᾶσιν. Pro δειλίαν Junt. φιλίαν.

8 Vulgo μοχθηρᾶς φύσεως ἀγεννοῦς δόξαις. Junt. habet καὶ post ἀγεννοῦς; Ald. & Crat. καὶ ante ἀγεννοῦς ponit. Utroque loco exhibet SG. & dedit R.

νηραῖς ἑπομένης. ὔτε γὰρ χρυσὸς, ὔτε κάνδυς, ὔτε ὁ τῶν μυρίων καὶ δισχιλίων ταλάντων περικείμενος ἀεὶ τῷ βασιλέως σώματι κόσμος ἐκεῖνον ἀπεκώλυε πονεῖν καὶ ταλαιπωρεῖν, ὥσπερ οἱ τυχόντες· ἀλλὰ τήν τε Φαρέτραν ἐνημμένος, καὶ τὴν πέλτην Φέρων αὐτὸς, ἐβάδιζε πρῶτος ὁδὲς ὀρεινὰς καὶ προσάντεις, ἀπολιπὼν τὸν ἵππον, ὥςε τὲς ἄλλες πτερῦσθαι καὶ συνεπικεφίζεσθαι, τὴν ἐκείνε προθυμίαν καὶ ῥώμην ὁρῶντας. καὶ γὰρ διακοσίων καὶ πλειόνων ςαδίων κατήνυεν ἡμέρας ἑκάςης πορείαν.

XXV. Ἐπεὶ δ' εἰς ςαθμὸν κατέβη βασιλικὸν, παραδείσες ἔχοντα θαυμαςὲς καὶ κεκοσμημένες διαπρεπῶς ἐν τῷ πέριξ ἀδένδρῳ καὶ ψιλῷ χωρίῳ, κρύες ὄντος, ἐπέτρεψε τοῖς ςρατιώταις ἐκ τῦ παραδείσε ξυλίζεσθαι, τὰ δένδρα κόπτοντας, μήτε πεύκης, μήτε κυπαρίττε Φειδομένες. ὀκνέντων δὲ καὶ Φειδομένων διὰ τὰ κάλλη καὶ τὰ μεγέθη, λαβὼν πέλεκυν αὐτὸς, ὅπερ ἦν μέγιςον καὶ κάλλιςον τῶν Φυτῶν ἔκοψεν. ἐκ δὲ τέτε ξυλιζόμενοι, καὶ πολλὰ πυρὰ ποιῦντες, εὐμαρῶς ἐνυκτέρευσαν. ὐ μὴν ἀλλὰ πολλὲς καὶ ἀγαθὲς ἀποβαλὼν ἄνδρας, ἵππες δ' ὁμῦ τι πάντας, ἐπανῆλθε. καὶ δόξας καταΦρονεῖσθαι διὰ τὴν ἀτυχίαν καὶ τὴν ἀπότευξιν τῆς ςρατείας, ἐν ὑποψίαις εἶχε τὲς πρώτες· καὶ πολλὲς μὲν ἀνήρει δι' ὀργὴν, πλείονας δὲ Φοβέμενος. ἡ γὰρ δειλία Φονικώτατόν ἐςιν ἐν ταῖς τυραννίσιν· ἵλεων δὲ καὶ πρᾶον καὶ ἀνύποπτον ἡ θαῤῥαλεότης. διὸ καὶ τῶν θηρίων τὰ ἀτιθάσσευτα καὶ δυσεξημέρωτα 1, ψοΦοδεῆ καὶ δειλά· τὰ δὲ γενναῖα, πιςεύοντα μᾶλλον διὰ τὸ θαῤῥεῖν, ὐ Φεύγει τὰς ΦιλοΦροσύνας.

XXVI. Ὁ δ' Ἀρτοξέρξης, ἤδη πρεσβύτερος ὢν, ᾐσθάνετο τὲς υἱὲς ἀγῶνα περὶ τῆς βασιλείας ἐν τοῖς Φίλοις καὶ τοῖς δυνατοῖς ἔχοντας. οἱ μὲν γὰρ εὐγνώμονες

1 Hanc V. scripturam Duf. probavit, & recepit R. pro vulg. δυσεξημερώτατα.

νος ἦξίου, ὡς ἔλαβεν αὐτὸς, οὕτως ἀπολιπεῖν (τὰ [1]) πρεσβεῖα Δαρείῳ τὴν ἀρχήν. ὁ δὲ νεώτατος [2], Ὦχος, ὀξὺς ὢν καὶ βίαιος, εἶχε μὲν καὶ τῶν περὶ τὸ βασίλειον οὐκ ὀλίγους σπουδαστὰς, ἤλπιζε δὲ μάλιστα κατεργάσεσθαι [3] τὸν πατέρα διὰ τῆς Ἀτόσσης. ἐκείνην γὰρ ἐθεράπευεν [4], ὡς γαμησομένην καὶ συμβασιλεύσουσαν αὐτῷ μετὰ τὴν τοῦ πατρὸς τελευτήν. ἦν δὲ λόγος, ὅτι καὶ ζῶντος ἐλάνθανεν αὐτῇ πλησιάζων. ἀλλὰ τοῦτο μὲν ἠγνόησεν ὁ Ἀρτοξέρξης· ταχὺ δὲ βουλόμενος ἐκκροῦσαι τῆς ἐλπίδος τὸν Ὦχον, ὅπως μὴ, τὰ αὐτὰ Κύρῳ τολμήσαντος αὐτοῦ, πόλεμοι καὶ ἀγῶνες αὖθις καταλάβωσι τὴν βασιλείαν, ἀνέδειξε τὸν Δαρεῖον βασιλέα, πεντηκοστὸν [5] ἔτος γεγονότα, καὶ τὴν καλουμένην κίταριν ὀρθὴν φέρειν ἔδωκε. νόμου δ' ὄντος ἐν Πέρσαις, δωρεὰν αἰτεῖν τὸν ἀναδειχθέντα, καὶ διδόναι τὸν ἀναδείξαντα πᾶν τὸ αἰτηθὲν, ἄνπερ ᾖ δυνατὸν, ᾔτησεν Ἀσπασίαν ὁ Δαρεῖος, τὴν μάλιστα σπουδασθεῖσαν ὑπὸ Κύρου, τότε δὲ βασιλεῖ [6] παλλακευομένην. ἦν δὲ Φωκία [7] τὸ γένος ἀπ' Ἰωνίας, ἐλευθέρων γονέων, καὶ τεθραμμένη κοσμίως. ἐπεὶ δὲ, Κύρου δειπνοῦντος, εἰσήχθη μεθ' ἑτέρων γυναικῶν, αἱ μὲν ἄλλαι παρακαθεζόμεναι, προσπαιζοντος αὐτοῦ καὶ ἁπτομένου καὶ σκώπτοντος, οὐκ

 ἀηδῶς

1 Hunc artic., a SG. omissum, uncis inclusit R. supervacaneum — *ut relinqueret imperium*, πρεσβεῖα, h. e. ἐν τάξει πρεσβείων, praecipuum, jus honorarium, pro jure primogenitutae.

2 SG. νεώτερος.

3 Junt. Ald. Crat. κατεργάσασθαι, R. judice, non vitiose.

4 Junt Ald. Crat. ἐθεράπευσεν.

5 V. & Anon. πέμπτον καὶ εἰκοστὸν, hisce ex Anon. adjectis, πεντηκοστὸν hic legendum non esse, quod eum, de quo loquitur hic Plutarchus, paulo post νεανίσκον vocet.

6 Vulgo cum artic. τῷ, quem omisit R. cum Junt. Ald. Crat.

7 V. Anon. & SG. Φωκαΐς, quod Dus. probat.

ἀηδῶς ἀνεδέχοντο [1] τὰς φιλοφροσύνας, ἐκείνη δὲ παρὰ τὴν κλίνην εἱστήκει σιωπῇ, καὶ, Κύρου καλοῦντος, οὐχ ὑπήκουε. βουλομένων δὲ προσάγειν τῶν κατευνασῶν· Οἰμώξεται μέντοι τούτων, εἶπεν, ὃς ἂν ἐμοὶ προσαγάγῃ τὰς χεῖρας. ἔδοξεν οὖν ἄχαρις τοῖς παροῦσιν εἶναι καὶ ἄγροικος. ὁ δὲ Κῦρος ἡσθεὶς ἐγέλασε, καὶ εἶπε πρὸς τὸν ἀγαγόντα τὰς γυναῖκας· Ἆρα ἤδη συνορᾷς, ὅτι μοι μόνην ταύτην ἐλευθέραν καὶ ἀδιάφθορον ἥκεις κομίζων; Ἐκ δὲ τούτου προσεῖχεν ἀρξάμενος αὐτῇ, καὶ μάλιστα πασῶν ἔστερξε, καὶ σοφὴν προσηγόρευσεν. ἑάλω δὲ, Κύρου πεσόντος ἐν τῇ μάχῃ, καὶ διαρπαζομένου τοῦ στρατοπέδου.

XXVII. Ταύτην ὁ Δαρεῖος αἰτήσας, ἠνίασε τὸν πατέρα. δύσζηλα γὰρ τὰ βαρβαρικὰ δεινῶς περὶ τὸ ἀκόλαστον, ὥστε μὴ μόνον τὸν προσελθόντα καὶ θίγοντα παλλακῆς βασιλέως, ἀλλὰ καὶ τὸν ἐν πορείᾳ [2] προεξελθόντα καὶ διελάσαντα τὰς ἁμάξας, ἐφ' αἷς κομίζονται, θανάτῳ κολάζεσθαι. καίτοι τὴν μὲν Ἄτοσσαν εἶχεν ἔρωτι ποιησάμενος γυναῖκα παρὰ τὸν νόμον· ἑξήκοντα δὲ καὶ τριακόσιαι παρετρέφοντο κάλλει διαφέρουσαι παλλακίδες. οὐ μὴν ἀλλὰ καὶ αἰτηθεὶς ἐκείνην, ἐλευθέραν ἔφησεν εἶναι, καὶ λαμβάνειν ἐκέλευσε βουλομένην,

1 Junt. Ald. Crat. ἐνεδέχοντο.

2 Regis Perſarum puta. R. ad hunc locum haec habet: „Cum rex iter facit, mulieres ejus una quoque proficiſcuntur in carrhucis. Ubi ventum eſt in manſionem, deſcendunt mulieres e carrhucis, & inſerviunt neceſſitatibus ſuis, libereque ſpatiantur, ſed procul viris; donec, ubi ſatis quieti datum eſt, rurſus in carrhucas inſcenditur, & iter continuatur, dato ſigno. Quodſi ergo fuerit, qui ante datum illud ſignum relinquere diverſorium virorum, & in muliebre irrumpere, easque extra carrhucas agentes ſpectare, & praeterambulare carrhucas auſit, is morte luit.“ Seq. προεξελθόντα dari voluit Duſ. deditque R. pro vulg. προσεξελθ. Ex ed. Par. manavit mendum προσεξελθόντα in Br. uti annotat Duſ. Pro διελάσαντα V. & SG. διεξελάσαντα, quod mavult Duſ.

μένην, ἄκεσαν δὲ μὴ βιάζεσθαι. μεταπεμφθείσης δὲ τῆς Ἀσπασίας, καὶ παρ' ἐλπίδας τοῦ βασιλέως ἑλομένης τὸν Δαρεῖον, ἔδωκε μὲν ὑπ' ἀνάγκης τοῦ νόμου, δοὺς δ', ὀλίγον ὕστερον ἀφείλετο. τῆς γὰρ Ἀρτέμιδος τῆς ἐν Ἐκβατάνοις, ἣν Ἀνεῖτιν [1] καλοῦσιν, ἱέρειαν ἔδειξεν αὐτὴν, ὅπως ἁγνὴ διάγῃ τὸν ἐπίλοιπον βίον· οἰόμενος, οὐ χαλεπὴν, ἀλλὰ μετρίαν [2] τινὰ καὶ παιδιᾷ μεμιγμένην ταύτην λήψεσθαι δίκην παρὰ τοῦ παιδός. ὁ δ' ἤνεγκεν οὐ μετρίως, εἴτ' ἔρωτι τῆς Ἀσπασίας περιπαθὴς γεγονὼς, εἴτε ὑβρίσθαι καὶ κεχλευάσθαι νομίζων ὑπὸ τοῦ πατρός. αἰσθόμενος δ' αὐτὸν οὕτως ἔχοντα Τιρίβαζος, ἔτι μᾶλλον ἐξετράχυνεν, ἐν τοῖς ἐκείνου συνιδὼν τὰ καθ' αὐτόν. ἦν δὲ τοιαῦτα. πλειόνων οὐσῶν βασιλεῖ θυγατέρων, ὡμολόγησε Φαρναβάζῳ μὲν Ἀπάμαν δώσειν γυναῖκα, Ῥοδογύνην δ' Ὀροίτῃ [3], Τιριβάζῳ δ' Ἄμηστριν. καὶ τοῖς μὲν ἄλλοις ἔδωκε, Τιρίβαζον δ' ἐψεύσατο, γήμας αὐτὸς τὴν Ἄμηστριν. ἀντ' ἐκείνης δὲ τῷ Τιριβάζῳ τὴν νεωτάτην, Ἄτοσσαν, ἐγγύησεν [4]. ἐπεὶ δὲ καὶ ταύτην ἐρασθεὶς ἔγημεν, ὡς εἴρηται, παντάπασι δυσμενῶς πρὸς αὐτὸν ὁ Τιρίβαζος ἔσχεν, οὐδ' ἄλλως στάσιμος ὢν τὸ ἦθος, ἀλλ' ἀνώμαλος καὶ παράφορος. διὸ καὶ νῦν μὲν εὐημερῶν ὅμοια τοῖς πρώτοις, νῦν δὲ προσκρούων καὶ σκορακιζόμενος, οὐδεμίαν ἔφερεν ἐμμελῶς [5] μεταβολήν· ἀλλὰ καὶ τιμώμενος, ἦν ἐπαχθὴς ὑπὸ χαυνότητος· καὶ τὸ κολουόμενον, οὐδὲ ταπεινὸν [6], οὐδ' ἡσυχαῖον, ἀλλὰ τραχὺ καὶ ἀγέρωχον εἶχε.



1 Apud Pausaniam fuisse dicitur in Lydia templum Ἀρτέμιδος Ἀναΐτιδος, quam eandem putat Duf. Pro seq. ἔδειξεν R. mavult ἀνέδειξεν.

2 SG. ἀλλὰ καὶ μετρίαν.

3 Xyl. ex Diod. l. 16. legi vult, & vertit *Oronti*.

4 V. & SG. ἐνηγγύησεν.

5 V. ἐμμενῶς.

6 V. & SG. οὐ ταπεινόν.

XXVIII. Πῦρ οὖν ἐπὶ πῦρ ἐγένετο τῷ νεανίσκῳ προσκείμενος ὁ Τιρίβαζος ἀεὶ, καὶ λέγων, ὡς οὐδὲν ὀνίνησιν ἡ κίταρις ἑστῶσα περὶ τῇ κεφαλῇ τοὺς ὑπ' αὐτὸν, μὴ ζητοῦντος ὀρθοῦσθαι αὐτοῖς τὰ πράγματα [1]. κἀκεῖνον ἀβέλτερα φρονεῖν, εἰ, τοῦ μὲν ἀδελφοῦ διὰ τῆς γυναικωνίτιδος ἐνδυομένου τοῖς πράγμασι, τοῦ δὲ πατρὸς οὕτως ἔμπληκτον ἦθος καὶ ἀβέβαιον ἔχοντος, οἴεται βέβαιον αὐτῷ τὴν διαδοχὴν ὑπάρχειν. ὁ γὰρ Ἑλληνικοῦ χάριν γυναίου τὸν ἄψευστον ἐν Πέρσαις ψευσάμενος νόμον, οὐ δή που πιστός ἐστι τὰς περὶ τῶν μεγίστων ὁμολογίας ἐμπεδώσειν. οὐ ταὐτὸ [2] δ' εἶναι τὸ μὴ τυχεῖν Ὤχῳ, κἀκείνῳ τὸ στέρεσθαι τῆς βασιλείας. Ὦχον μὲν γὰρ οὐδένα [3] κωλύσειν ἰδιώτην βιοῦν μακαρίως, ἐκείνῳ δ' ἀποδεδει-

1 Locum hunc sic refinxit R. suo arbitratu — τοὺς ὑπ' αὐτὸν (scil. ὄντας) μὴ ζητοῦντος (scil. αὐτοῦ) ὀρθοῦσθαι αὐτοῖς τὰ πράγματα — parentibus ejus imperio nil prodesse, quod rectam ille tiaram gestet, nisi conetur quoque efficere, ut res & fortunae ipsorum recto talo stent. Bry. τοὺς ὑφ' αὑτῆς (Junt. τοὺς ὑπ' αὐτῶν; Ald. & Crat. τοὺς ὑπ' αὐτῶν; Steph. & Frft. τοὺς ὑφ' αὐτῶν) μὴ ζητοῦντας ὀρθοῦσθαι τοῖς πράγμασι. An cuivis lectori probetur correctio, quam R. adhibuit, multum dubito. Durius & nimis coactum mihi videtur, de subjectis imperio aliquam mentionem afferre. Equidem malim περὶ τῇ κεφαλῇ τοῦ μὴ ζητοῦντος, ὀρθοῦσθαι ὑπ' αὐτοῦ τὰ πράγματα. Quin etiam satis sanus, me judice, sensus ex ipsa vulgata eruitur, si ὑφ' αὑτῶν translocare placet — τοὺς μὴ ζητ. ὑφ' αὑτῶν ὀρθ. τοῖς πράγμασι, haud nitentes, a se ipsis stabiliri rebus gestis. — Sequentia a κἀκεῖνον usque ad τοῖς πράγμασι omittunt Junt. Ald. Crat. lapsu, a priori πράγμασι, quod est in vulgatis pro τὰ πράγματα ad posterius, solenni librariorum & proclivi. H. Steph. textum supplevit, omisso tamen εἰ in impresso, post φρονεῖν, quod ipse in annotatione praefigendum monuit, & ex Anon. enotatur, & R. dedit.

2 SG. οὔτ' αὐτῷ. Sed ω paulo recentior est; accentus autem circumflexus ejusdem est manus, non recentioris.

3 R. mavult οὐδὲν, *nil esse intercessurum, quo minus* — Id. restituit κωλύσειν pro κωλύειν, quod est in Br.

δεδειγμένῳ βασιλεῖ βασιλεύειν ἀνάγκην [1], ἢ μηδὲ ζῆν εἶναι. καθόλου μὲν οὖν ἴσως [2] τὸ Σοφόκλειον·

Ταχεῖα πειθὼ τῶν κακῶν ὁδοιπορεῖ.

λεία γάρ τις ἡ πορεία καὶ κατάντης ἐπὶ τὸ βουλόμενον. βούλονται δ' οἱ πλεῖστοι τὰ φαῦλα δι' ἀπειρίαν τῶν καλῶν καὶ ἄγνοιαν. οὐ μὴν ἀλλὰ τὸ μέγεθος τὸ τῆς ἀρχῆς, καὶ τὸ πρὸς τὸν Ὦχον τοῦ Δαρείου δέος, ὑπόθεσιν τῷ Τιριβάζῳ παρεῖχε. Κυπρογένεια [3] δ' οὐ πάμπαν ἀναίτιος, ἡ τῆς Ἀσπασίας ἀφαίρεσις.

XXIX. Ἐπέδωκεν οὖν ἑαυτὸν τῷ [4] Τιριβάζῳ, καὶ πολλῶν ἤδη συνισταμένων, εὐνοῦχος ἐδήλωσε τῷ βασιλεῖ τὴν ἐπιβουλὴν καὶ τὸν τρόπον· εἰδὼς ἀκριβῶς, ὅτι νυκτὸς ἐγνώκασιν ἐν τῷ θαλάμῳ κατακείμενον ἀναιρεῖν αὐτὸν ἐπεισελθόντες. ἀκούσαντι δὲ τῷ Ἀρτοξέρξῃ, καὶ τὸ παριδεῖν κίνδυνον τηλικοῦτον, ἀμελήσαντα τῆς διαβολῆς, δεινὸν ἐδόκει, καὶ τὸ πιστεῦσαι, μηδενὸς ἐλέγχου γενομένου, δεινότερον. οὕτως οὖν ἐποίει· τὸν μὲν εὐνοῦχον ἐκείνοις ἐκέλευσε παρεῖναι καὶ παρακολουθεῖν· αὐτὸς δὲ τοῦ θαλάμου τὸν ὄπισθεν τῆς κλίνης τοῖχον ἐκκόψας καὶ θυρώσας, κατεκάλυψεν αὐλαίᾳ τὰς θύρας [5]. ἐνστάσης δὲ τῆς ὥρας, καὶ φράσαντος τοῦ εὐνούχου τὸν καιρὸν, ἐπὶ τῆς κλίνης ὑπέμεινε, καὶ οὐκ ἐξανέστη πρότερον, ἢ τῶν ἐπ' αὐτὸν ἐρχομένων τὰ πρόσωπα κατιδεῖν, καὶ γνωρίσαι σαφῶς ἕκαστον. ὡς δ' εἶδεν ἐσπασμένους τὰ ἐγχειρίδια καὶ προσφερομένους, ταχὺ τὴν αὐλαίαν ὑπολα-



1 Sic H. Steph. dari voluit, & dedit R. probante Duf. cum Anon. pro vulg. ἀνάγκη.

2 R. post ἴσως deesse videtur ἀληθές ἐστι, vel ὀρθῶς ἔχει, vel tale quid.

3 Ejusdem Sophoclis esse putat haec Duf. cujus priora. Illa vocabula ἡ τῆς Ἀσπ. ἀφαιρ. a Plutarcho addita sunt ad declarandum Sophoclis dictum: Κυπρογένεια &c. *Per Venerem*, inquit, *designo violentam Aspasiae a Dario abductionem.* R.

4 abest τῷ a SG.

5 SG. ταῖς θύραις.

βὼν [1] ἀνεχώρησεν εἰς τὸ ἐντὸς οἴκημα, καὶ τὰς θύρας ἐπήῤῥαξε κράζων. ὀφθέντες γοῦν οἱ σφαγεῖς ὑπ' αὐτοῦ, πράξαντες δὲ μηθὲν, ἀπεχώρουν φυγῇ διὰ θυρῶν· καὶ τοὺς περὶ τὸν Τιρίβαζον ἐκέλευον ἀποχωρεῖν, ὡς φανεροὺς γεγονότας. οἱ μὲν οὖν ἄλλοι διαλυθέντες ἔφυγον· ὁ δὲ Τιρίβαζος συλλαμβανόμενος, πολλοὺς ἀπέκτεινε τῶν βασιλέως δορυφόρων, καὶ μόγις ἀκοντίῳ πληγεὶς πόῤῥωθεν ἔπεσε. τῷ δὲ Δαρείῳ, μετὰ τῶν τέκνων αναχθέντι καθίσας [2] τοὺς βασιλείους δικαστὰς, οὐ παρὼν αὐτὸς, ἀλλ' ἑτέρων κατηγορησάντων, ἐκέλευσεν ὑπηρέτας τὴν ἑκάστου γραψαμένους ἀπόφασιν ὡς αὐτὸν ἐπανενεγκεῖν [3]. ἀποφηναμένων δὲ πάντων ὁμοίως, καὶ καταγνόντων τοῦ Δαρείου θάνατον, οἱ μὲν ὑπηρέται συλλαβόντες αὐτὸν, εἰς οἴκημα πλησίον ἀπήγαγον· ὁ δὲ δήμιος κληθεὶς ἧκε μὲν ξυρὸν ἔχων, ᾧ τὰς κεφαλὰς ἀποτέμνουσι τῶν κολαζομένων, ἰδὼν δὲ τὸν Δαρεῖον ἐξεπλάγη, καὶ ἀνεχώρει πρὸς τὰς θύρας ἀποβλέπων [4], ὡς οὐ δυνησόμενος, οὐδὲ τολμήσων, αὐτόχειρ γενέσθαι βασιλέως. ἔξωθεν δὲ τῶν δικαστῶν ἀπειλούντων καὶ διακελευομένων, ἀναστρέψας, καὶ τῇ ἑτέρᾳ χειρὶ δραξάμενος τῆς κόμης αὐτοῦ καὶ καταγαγὼν, ἀπέτεμε τῷ ξυρῷ τὸν τράχηλον. ἔνιοι δέ φασι, τὴν κρίσιν γενέσθαι, βασιλέως αὐτοῦ παρόντος, τὸν δὲ Δαρεῖον, ὡς κατελαμβάνετο τοῖς ἐλέγχοις, ἐπὶ στόμα πεσόντα, δεῖσθαι καὶ ἱκετεύειν· τὸν δ' ὑπ' ὀργῆς ἀναστάντα καὶ σπασάμενον τὸν ἀκινάκην, τύπτειν, ἕως ἀπέκτεινεν· εἶτ' εἰς τὴν αὐλὴν προελθόντα, τὸν Ἥλιον προσκυνῆσαι, καὶ εἰπεῖν· Εὐφραίνεσθε ἀπιόντες, ὦ Πέρσαι, καὶ λέγετε τοῖς ἄλλοις, ὅτι τοῖς ἀθέσμα

1 R. ὑπολαβὼν suspectum est, & tota haec narratio pueriliter nugax videtur.

2 R. hanc vocem restituit pro καθισὰς, quod est in Br.

3 V. ὑπενεγκεῖν.

4 R. susp. πρὸς τὰς θύρας, retro se ad fores recipiebat, κάτω βλέπων, oculis dejectis.

σμα καὶ παράνομα διανοηθεῖσιν ὁ μέγας Ὠρωμάζης [1] δίκην ἐπιτέθεικεν.

XXX. Ἡ μὲν οὖν ἐπιβουλὴ τοιοῦτον ἔσχε τέλος. ὁ δ' Ὦχος ἤδη μὲν ἦν ταῖς ἐλπίσι λαμπρὸς, ὑπὸ τῆς Ἀτόσσης ἐπαιρόμενος· ἔτι δ' ἐφοβεῖτο τῶν μὲν γνησίων τὸν ὑπόλοιπον, Ἀριάσπην [2], τῶν δὲ νόθων Ἀρσάμην. ὁ μὲν γὰρ Ἀριάσπης, οὐ διὰ τὸ πρεσβύτερος εἶναι τοῦ Ὤχου, πρᾶος δὲ καὶ ἁπλοῦς καὶ φιλάνθρωπος, ἠξιοῦτο βασιλεύειν ὑπὸ τῶν Περσῶν· ὁ δ' Ἀρσάμης [3] καὶ νοῦν ἔχειν ἐδόκει, καὶ μάλιστα τῷ πατρὶ προσφιλὴς ὢν, οὐκ ἐλάνθανε τὸν Ὦχον. ἐπιβουλεύων οὖν ἀμφοτέροις, καὶ δολερὸς ὢν ὁμοῦ καὶ φονικὸς, ἐχρήσατο τῇ μὲν ὠμότητι τῆς φύσεως πρὸς τὸν Ἀρσάμην, τῇ δὲ κακουργίᾳ καὶ δεινότητι πρὸς τὸν Ἀριάσπην. ὑπέπεμψε γὰρ πρὸς αὐτὸν εὐνούχους καὶ φίλους βασιλέως, ἀπειλάς τινας ἀεὶ καὶ λόγους φοβεροὺς ἀπαγγέλλοντας, ὡς τοῦ πατρὸς ἐγνωκότος ἀποκτιννύειν αὐτὸν ὠμῶς καὶ ἐφυβρίστως. οἱ δὲ ταῦτα καθ' ἡμέραν ἐκφέρειν δοκοῦντες ὡς ἀπόῤῥητα, καὶ τὰ μὲν μέλλειν, τὰ δ' ὅσον οὔπω πράσσειν βασιλέα λέγοντες, οὕτως ἐξέπληξαν τὸν ἄνθρωπον, καὶ τοσαύτην ἐνέβαλον πτοίαν αὐτῷ καὶ ταραχὴν καὶ δυσθυμίαν εἰς τοὺς λογισμοὺς, ὥστε φάρμακον σκευάσαντα τῶν θανασίμων καὶ πιόντα τοῦ ζῆν ἀπαλλαγῆναι. πυθόμενος δ' ὁ βασιλεὺς τὸν τρόπον τῆς τελευτῆς, ἐκεῖνον μὲν ἀπέκλαυσε, τὴν δ' αἰτίαν ὑπώπτευεν. ἐλέγχειν δὲ καὶ ζητεῖν ἐξαδυνατῶν διὰ τὸ [4] γῆρας, ἔτι μᾶλλον ἠσπάζετο τὸν Ἀρσάμην, καὶ δῆλος ἦν μάλιστα πιστεύων ἐκείνῳ καὶ παῤῥησιαζόμενος. ὅθεν οἱ περὶ τὸν Ὦχον

οὐκ

1 Deus Perfarum, is, quem nos folem vocamus. Xyl.

2 V. & SG. Ἀριάσπου. Sic & lin. feq. SG. Ἀριάσπος, ita tamen, ut litera ο non ejusdem manus effe videatur.

3 V. Ἀρσάβης.

4 abeft τὸ a SG.

ἐκ ἀνεβάλοντο [1] τὴν πρᾶξιν, ἀλλ' Ἀρπάτην, υἱὸν Τιριβάζε, παρασκευάσαντες, ἀπέκτειναν δι' ἐκείνε τὸν ἄνθρωπον. ἦν μὲν ἔν ἐπὶ ῥοπῆς μικρᾶς [2] ὁ Ἀρτοξέρξης διὰ τὸ γῆρας ἤδη τότε· προσπεσόντος [3] δ' αὐτῷ τε περὶ τὸν Ἀρσάμην πόθες, ἐδ' ὀλίγον ἀντέσχεν, ἀλλ' εὐθὺς ὑπὸ λύπης καὶ δυσθυμίας ἀπεσβέσθη, βιώσας μὲν ἐνενήκοντα καὶ τέσσαρα ἔτη, βασιλεύσας δὲ δύο καὶ ἑξήκοντα [4]. δόξας δὲ πρᾷος εἶναι καὶ φιλυπήκοος, ἐχ ἥκιστα διὰ τὸν υἱὸν Ὦχον, ὠμότητι καὶ μιαιφονίᾳ πάντας ὑπερβαλλόμενον.

1 SG. ἀνεβάλλοντο.

2 Ex Anon. ad h. l. in ind. Frft. enotantur haec: σμικρὰ παλαιὰ σώματ' εὐνάζει ῥοπή.

3 V. πεσόντος.

4 Diod. Sic. XLIII. tantum annos regnaviffe ait; XLVI. ei tribuit Humphr. Prideaux.

BIBLIOTEKA UNIWERSYTECKA W TORUNIU

BIBLIOTEKA ŚLĄSKA

ROTANOX
2014

92399